***ἀνασκολοπισμός, ὁ,** *impalement, crucifixion* *δέχεται...τὸν ἐπὶ κεφαλὴν ἀ. ὁ...Πέτρος* Gr.Nyss.*beat.*8(M.44.1297D).

***ἀνασοβή, ἡ,** *disturbance, sedition* *μὴ θελήσητε τὴν ἡσυχίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἀ. διαβολικὴν διεγεῖραι A.*(*Pass.*) *Andr.*7(p.16.14); Constantius Imp.ap.Ath.*apol.sec.*55(p.135.36; M. 25.349A).

ἀνάσπαστος, *dragged away,* ‡Nil.*perist.*5.1(M.79.849D).

ἀνασπάω, 1. *draw up*; **2.** *pluck up, overthrow*; fig. *τὴν Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀ.* [sc. *Παῦλος*] *πρόρριζον* Chrys.*hom.in 1Cor*10:1(3.236C); met. *νόμους ἀ.* [sc. *ἡ βασκανία*] *φύσεως* id.*hom.*7.6 *in Rom.*(9.491B); **3.** *draw away, separate* *ἡ ἀμέριστος θεότης, ἅπαξ ἀνακραθεῖσα τῷ ὑποκειμένῳ, οὔτε τοῦ σώματος οὔτε τῆς ψυχῆς ἀνεσπάσθη* Gr.Nyss.*ep.*3(M.46.1021C).

ἄνασσα, ἡ, *queen, lady*; of the Church, Meth.*symp.*11(p.133.11; M.18.209B); of BMV, Nonn.*par.Jo.*19:27(M.43.904B).

ἀναστασία, ἡ, 1. *destruction* *ἀ. τε πολήων Orac.Sib.*4.69; Alex. Sal.*cruc.*(M.87.4037B); **2.** *church of Resurrection* at CP, Gr.Naz.*or.*42. 26(M.36.489B); Socr.*h.e.*5.7.1(M.67.573D); Soz.*h.e.*7.5.3(M.67.1425A).

***ἀναστάσιμος,** *of* or *pertaining to resurrection*;

A. of Christ's Resurrection; **1.** of Resurrection day, Eus.*qu. Marin.suppl.*1.9(M.22.1000B); *τίς ἂν εἴη ἡ ὁδὸν, ἢ ἡ τοῦ Χριστοῦ ἀ. ἡμέρα;* Ath.*exp.Ps.*6(M.27.76C); of the hour, Gr.Nyss.*res.*1(M.46. 613A); **2.** of Feast of Resurrection; **a.** in gen., Epiph.*exp.fid.*22 (p.524.4; M.42.828D); *ἐπιτελοῦμεν τὴν ἀ. ἑορτὴν τοῦ πάσχα* Procl. CP *or.*14.2(M.65.796C); Soz.*h.e.*2.10.1(M.67.960C); †Gregent.*disp.*(M. 86.701B); Jo.Mosch.*prat.*165(M.87.3032B); *Chron.Pasch.*p.224(M.92. 544C); **b.** dist. from Good Friday and Holy Week *ποιήσαντες τὰς ἁγίας ἡμέρας τῆς πασχαλίας καὶ τὴν ἀ.* Marc.Diac.*v.Porph.*52; cf. distn. between *πάσχα ἀ.* and *πάσχα σταυρώσιμον* Nilles, *Kalendarium* 2(p.253); **c.** ref. date *ἡ δὲ ἰσημερία τὴν ἀ. ἑορτὴν δεξαμένη* Gr.Nyss.*ep.*4(M.46.1028C); *κατὰ σελήνην τεσσαρεσκαιδεκάτης κυριακῇ συνελθούσης, οὐκ ἄγομεν ταύτην κυριακὴν ἀ. ... ὅτι ἡ μὲν τεσσαρεσκαιδεκάτη πάθους ἐστίν...τὴν παρασκευὴν ἀ. οὐ γνωρίζομεν* ‡Chrys.*pasch.* 7.5(8.283C,D); *ib.*(284C); *ἡ ἀ. τῇ τρίτῃ γέγονε τοῦ Ἀπριλίου μηνός Chron.Pasch.*p.281(M.92.976D); **d.** always to be celebrated on a Sunday, *Const.App.*5.17.3; *ib.*7.36.2; **e.** proper occasion for baptism *ἐν...τῇ ἀ. ἡμέρᾳ τῆς ἀναστάσεως τὴν χάριν ὑποδεξώμεθα* Bas. *hom.*13.1(2.114A; M.31.424D); **f.** legislation for celebration of octave of Easter *ἀπὸ τῆς ἁγίας ἀ. Χριστοῦ...ἡμέρας μέχρι τῆς καινῆς κυριακῆς τὴν ὅλην ἑβδομάδα ἐν...ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστούς* CTrull.*can.*66; **3.** *Sunday*; when Resurrection is commemorated *κυριακή ἐστιν καὶ ὅτε εὔχρηστον οὐκ ἔστιν ἐν ταύτῃ τῇ ἀ. τοῦ Χριστοῦ ἐργάσασθαί τι κακόν A.Thom.*B 33(p.35.28); *ὀγδόη ἡ ἀ. τοῦ σωτῆρος ἡμέρα κυριακή* Eus.*Ps.*6:1(M.23.120A); *τὴν ἀ. τοῦ κυρίου ἡμέραν, τὴν κυριακὴν φαμεν Const.App.*7.30.1; *ib.*2.59.3; Cyr. *Jo.*4.7(4.432B); id.*Os.*33(3.60E); ‡Ath.*ep.Cast.*1.8(M.28.860B); as image of world to come *ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ σαββάτου...οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ...ἐν τῇ ἀ. ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν· ἀλλ' ὅτι δοκεῖ πως τοῦ προαδοκωμένου αἰῶνος εἶναι εἰκών* Bas.*Spir.*66(3.56B; M.32.192A); **4.** *τὰ ἐωθινὰ ἀ.* cycle of eleven Gospel readings recounting the Resurrection, read at matins on Sundays, Nilles, *Kalendarium* 2(p.291); **5.** of Paschal sacrifice (ref. Easter eucharist) *λύε τῶν ἁμαρτημάτων ἡμῖν τὸ μέγεθος, τῆς ἀ. θυσίας ἁπτόμενος* Gr.Naz.*ep.*171(M.37.280C); **6.** of

mystery of Resurrection νυκτὸς τὸ ἀ. ἐχούσης μυστήριον Synes.*ep.* 13(M.66.1349B).

B. of resurrection of men τὴν ἀ. τῆς ἐνδόξου παρουσίας αὐτοῦ... ἡμέραν Cyr.*deip.BMV* 16(p.26.7; M.76.273C); τὴν τῶν...νεκρῶν ἀ. ῥίζαν Procl.CP *hom.*1.1(M.65.833A).

ἀνάστασις, ἡ, *resurrection, raising up*;

I. of Christ;

A. as foundation of Christian faith; **1.** in gen. παραγγελίας οὖν λαβόντες καὶ πληροφορηθέντες διὰ τῆς ἀ. τοῦ κυρίου ἡμῶν *1Clem.*42.3; ἵνα 'ἄρῃ σύσσημον' εἰς τοὺς αἰῶνας διὰ τῆς ἀ. εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ...ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ Ign.*Smyrn.*1.2; Const.*or.s.c.*20(p.184.8; M.20.1296A); ἔστηκας ἐπὶ τὴν πέτραν τῆς πίστεως τῆς περὶ τῆς ἀ. Cyr.H.*catech.*14.21; **2.** in close connexion with Passion προσέχειν...τῷ εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος ἡμῖν δεδήλωται καὶ ἡ ἀ. τετελείωται Ign.*Smyrn.*7.2; θανάτῳ ὑπήκουσε καὶ ἀ. ἐφανέρωσεν Hipp.*haer.*10.33(p.292.3; M.16.3451C); Or.*Cels.*2.16(p.145.13; M.11.828A); Cyr.H.*catech.*13.37.

B. pre-Christian foreshadowings; **1.** in pagan myths and philosophy Ζωροάστρην...Πλάτων...ἀναβιῶναι λέγει· τάχα...τὴν ἀ. ... αἰνίσσεται Clem.*str.*5.14(p.395.23; M.9.157A); ref. multiplication of loaves and fishes φιλοσοφίαν Ἑλληνικὴν οἱ ἰχθύες ἐμήνυον...τῆς δὲ τοῦ κυρίου μεταλαβόντες εὐλογίας τὴν ἀ. τῆς θειότητος διὰ τῆς τοῦ λόγου δυνάμεως ἐνεπνεύσθησαν *ib.*6.11(p.479.10; 316A); ἐπεὶ δὲ τὸ περὶ τῆς ἀ. Ἰησοῦ Χριστοῦ χλευάζουσιν οἱ ἄπιστοι, παραθησόμεθα μὲν καὶ Πλάτωνα [sc. *Rep.*614Bff.] Or.*Cels.*2.16(p.145.16; M.11.828B); but no true resurrection in paganism τίς δὲ ἄλλος περὶ ἀθανασίας οὕτως ἐπιστώσατο τοὺς ἀνθρώπους, ὡς ὁ τοῦ Χριστοῦ σταυρός, καὶ ἡ τοῦ σώματος ἀ. αὐτοῦ; καίπερ γὰρ τὰ πάντα ψευσάμενοι Ἕλληνες, ὅμως οὐκ ἠδυνήθησαν ἀ. τῶν ἑαυτῶν εἰδώλων πλάσασθαι Ath.*inc.*50.5,6 (M.25.185C); **2.** in OT κἂν ὁ σωτὴρ λέγῃ· 'πόθεν ἰαθήσομαι' [Jer.5:18] τὴν ἀ. τὴν ἐκ νεκρῶν προφητεύει Or.*hom.14.18 in Jer.*(p.124.13; M.13.428B); ἀ. ἔδειξεν εἰς τοῦτον φθάνειν τὰ γεγραμμένα Ath.*Ar.*2.16 (M.26.180B); τὸ μυστήριον τῆς ἀ. ἤδη ἐνεργεῖσθαι εὔχεται ὁ προφήτης Bas.*hom.in Ps.*7:7(1.100D; M.29.236B).

C. the historical event; **1.** wrought in the flesh ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀ. ἐν σαρκὶ αὐτὸν οἶδα καὶ πιστεύω ὄντα Ign.*Smyrn.*3.1; μετὰ δὲ τὴν ἀ. [καὶ] συνέφαγεν αὐτοῖς καὶ συνέπιεν ὡς σαρκικός, καίπερ πνευματικῶς ἡνωμένος τῷ πατρί *ib.*3.3; Ἰησοῦ Χριστοῦ...ἀ. σαρκικῇ τε καὶ πνευματικῇ *ib.*12.2; τί τοῦτο πρὸς τὰ περὶ τοῦ σώματος αὐτοῦ ὑφ' ἡμῶν λεγόμενα; σαφῶς δὲ φαίνεται ἰχθύος μετὰ τὴν ἀ. βεβρωκώς Or.*Cels.*1.70(p.124.12; M.11.789C); but resurrection body different from mortal body ἦν γε κατὰ τὴν ἀ. αὐτοῦ ὡσπερεὶ ἐν μεθορίῳ τινὶ τῆς παχύτητος τῆς πρὸ τοῦ πάθους σώματος καὶ τοῦ γυμνὴν τοιούτου σώματος φαίνεσθαι ψυχήν *ib.*2.62(p.184.11; 893B); Χριστὸς...τισὶ μὲν ἐφαίνετο μετὰ τὴν ἀ., τισὶ δὲ ἄδηλος ἦν· ἀληθῶς ἀνέστη ἐκ νεκρῶν... λεπτομεριστέρας δηλονότι τῆς σαρκὸς γενομένης διὰ τὴν ἀφθαρσίαν, ὅπερ...σῶμα, ὅταν ἤθελεν, ἀπέκρυπτε, καὶ ὅταν ἤθελεν, ἐμφανὲς καθίστη Nil.*epp.*3.120(M.79.440A); μετὰ δὲ τὴν ἀ. αὐτοῦ...οὐκέτι ὑποπίπτει ταῖς τοῦ σώματος ἀσθενείαις, καὶ χρείαις ἀναγκαίαις *ib.*1.149 (144D); **2.** by his own power τὴν ἐκ νεκρῶν ἀ. πεποιημένος θεϊκῇ δυνάμει Eus.*qu.Marin.suppl.*1.1(M.22.984C); ἀπέθανε μὲν ὡς θνητόν· ἀνέζησε δὲ διὰ τὴν ἐν αὐτῷ ζωήν, καὶ τῆς ἀ. ἐστι γνώρισμα τὰ ἔργα Ath.*inc.*31.4(M.25.149D); which is proof of divinity, id.*Ar.*1.44(M. 26.104A); distinguishing it from other resurrections καινός τις... ἀναστάσεως ἐδείχθη τύπος. πολλοὶ...πρὸ ἐκείνου...ἀνέστησαν νεκροί, οὕτω δὲ οὐδὲ εἷς· οἱ...ἄλλοι πάντες ἀναστάντες πάλιν εἰς τὴν γῆν ὑπέστρεφον,...τὸ δὲ σῶμα δεσποτικὸν ἀναστὰν...εἰς τοὺς οὐρανοὺς ἀνέβη Chrys.*incomprehens.*2.6(1.460C); οἱ ἀπόστολοι κηρύττοντες τὸ εὐαγγέλιον, ἔλεγον τὸν Χριστὸν ἐγηγέρθαι ὑπὸ τοῦ πατρός, διὰ τὸ τῶν ἀκουόντων ἀσθενές...ὁ δὲ ἄγγελος τὴν εὐαγγελιζομένην τὴν ἀ. ῥήξας φωνήν, γυμνὴν ἐκφαίνων τὴν θεοπρεπεστάτην ἐξουσίαν τοῦ ἀναστάντος Sev. Ant.*res.*(p.802.4; M.46.629C); this used as argument against monophysites εἰ δὲ ἄμφω μία ἦν φύσις αὐτὴ ἡ ἐνεργοῦσα καὶ τὸ ἐνεργούμενον τὴν ἀ., τίς ἡ ἐνεργουμένη καὶ τίς ἡ ἐνεργοῦσα καὶ ἐγείρουσα αὐτὴν φύσις;...εἴπερ οὖν...τὴν ἀ. αὐτοῦ δοξάζομεν, ἐξ ἑτέρας αὐτοῦ φύσεως τὴν ἑτέραν ἑαυτοῦ φύσιν ἀνιστᾶν αὐτὴν Χριστὸν ὁμολογήσομεν Leont.H.*monoph.*39(M.86.1793A); **3.** various stages ἀναστάσεως γὰρ ἦν καὶ τὸ ἐν τῇ πρώτῃ ἡμέρᾳ γενέσθαι ἐν τῷ παραδείσῳ τοῦ θεοῦ, ἀ. δὲ ὅτε φαινόμενός φησι· 'μή μου ἅπτου'...τὸ δὲ τέλειον τῆς ἀ. ἦν, ὅτε γίνεται πρὸς τὸν πατέρα Or.*Jo.*10.37(21; p.212.4ff.; M.14.376A); ἵνα ἐν αὐτῇ καὶ τὴν ὑπὲρ ἡμῶν ἁρμόσηται ἀ., ἐξ ᾅδου μὲν τὴν ψυχήν, ἐκ τάφου δὲ τὸ σῶμα ἐπιδεικνύμενος ‡Ath.*Apoll.*2.17(M.26.1161B); ἀνάγκη γάρ τινα ἐξ ᾅδου τὴν ἀρχὴν τῆς ἀ. εἰληφέναι, ἵνα τελεία ᾖ ἡ ἀ. *ib.*2.16(1160B); **4.** time: of year (April), Mac.Aeg.*hom.*5.9(M.34. 513C,D); of day πρωΐ, τῆς ἀ. εὐφροσύνη Cyr.H.*catech.*14.4; 'ὀψὲ σαββάτων' Ματθαῖος βοᾷ. αὕτη τοι ἡ ὥρα τῆς ἀ. κατὰ τὴν τοῦ ἀγγέλου φωνήν...Ματθαῖος μόνος...τὸν καιρὸν δι' ἀκριβείας ἐπεσημήνατο, εἰπὼν τὴν ἑσπέραν εἶναι τοῦ σαββάτου, τὴν ὥραν τῆς ἀ. Gr.Nyss.*res.*1 (M.46.613A,B); discrepancy between Mt. and Jo. discussed τίνι γὰρ πιστευτέον; Ματθαίῳ γράφοντι τὴν ἀ. ὀψὲ γεγενῆσθαι σαββάτων, ἢ Ἰωάννῃ ταὐτὸ τοῦτο συμβεβηκέναι πρωΐ ἔτι σκοτίας οὔσης ἱστορηκότι, ἢ Λουκᾷ καὶ Μάρκῳ; τῷ μὲν ὄρθρον βαθύ, τῷ δὲ ἀνατολὴν ἡλίου τὸν αὐτὸν καιρὸν ὀνομάσαντι; Sev.Ant.*res.*(p.796.1; M.46.628C); κατ' ἐκείνην μὲν ὁμολογουμένως...τὴν θείαν νύκτα τῆς ἀ. γενομένης· μηδενὸς δὲ τὴν ὥραν ἐπισημηναμένου *ib.*(p.798.6; 629A); cf. τὴν ἐκ νεκρῶν ἀ. ... καθ' ἣν ὥραν οὐδεὶς ἔγνω, καὶ καθ' ὃν οὐδεὶς ἐπεσημήνατο τῶν εὐαγγελιστῶν καιρόν Eus.*qu.Marin.suppl.*1.1(M.22.984C); **5.** witnesses; not all men, but only apostles and certain other disciples, Or.*Cels.*2.63(p.185.3; M.11.896A); truth enforced by death in public μύθους μὲν ἂν ἔδοξε λέγειν παρὰ πᾶσιν, ἠπιστήθη δὲ πολλῷ πλέον καὶ περὶ τῆς ἀ. λέγων, οὐκ ὄντος ὅλως τοῦ μαρτυροῦντος περὶ τοῦ θανάτου αὐτοῦ. τῆς δὲ ἀ. προηγεῖσθαι δεῖ θάνατον, ἐπεὶ οὐκ ἂν εἴη ἀ. μὴ προηγουμένου θανάτου. ὅθεν εἰ κρύφα που ἐγεγόνει τοῦ σώματος ὁ θάνατος...ἀφανὴς καὶ ἀμάρτυρος καὶ ἡ τούτου ἀ. ἦ διὰ τί τὴν μὲν ἀ. ἐκήρυττεν ἀναστάς, τὸν δὲ θάνατον ἀφανῶς ἐποίει γενέσθαι;...πῶς... μαθηταὶ παρρησίαν εἶχον περὶ τοῦ τῆς ἀ. λόγου, οὐκ ἔχοντες εἰπεῖν, ὅτι πρῶτον ἀπέθανεν; ἢ πῶς ἂν ἐπιστεύθησαν λέγοντες γεγονέναι πρῶτον θάνατον, εἶτα τὴν ἀ., εἰ μὴ παρ' οἷς ἐπαρρησιάζοντο, εἶχον τούτους μάρτυρας τοῦ θανάτου; Ath.*inc.*23.1–3(M.25.136C,D); δώδεκα δὲ τῇ ἀ. τοῦ Χριστοῦ μαρτυροῦσι, καὶ ἄρα ἔτι πρὸς τὴν ἀ. ἀπιστεῖς; Cyr.H.*catech.*4.12; testimony of nature and angels, *ib.*14.22,23.

D. proof from its effects μείζονα εἰργάσατο ἡ τούτου ἀ. τῆς ἐκείνων [sc. Elijah and Elisha] ἀ. τί γὰρ τηλικοῦτον τῷ κόσμῳ ἀπὸ τῶν ἀναστάντων παιδαρίων δι' Ἠλίου καὶ Ἐλισσαίου γεγένηται, οἷον διὰ τῆς κηρυσσομένης ἀ. Ἰησοῦ; Or.*Cels.*2.58(p.182.2,4; M.11.889A); id. *hom.10.3 in Jer.*(p.73.21; M.13.1361A); ὁ δὲ θάνατος ἐλέγχεται καθ' ἡμέραν αὐτὸς ἐξασθενήσας, καὶ τὰ εἴδωλα καὶ οἱ δαίμονες μᾶλλον νεκροὶ τυγχάνοντες, ὡς ἐκ τούτου μηδένα διστάζειν ἔτι περὶ τῆς τοῦ σώματος ἀ. αὐτοῦ. ἔοικε δὲ ὁ περὶ τῆς ἀ. τοῦ κυριακοῦ σώματος ἀπιστῶν ἀγνοεῖν δύναμιν θεοῦ λόγου καὶ σοφίας Ath.*inc.*31.3,4(M.25.149C); μεγίστη...ἀναστάσεως ἀπόδειξις τὸ τὸν σφαγέντα Χριστὸν τοσαύτην μετὰ θάνατον ἐπιδείξασθαι δύναμιν, ὡς τοὺς ζῶντας ἀνθρώπους πεῖσαι καὶ πατρίδος, καὶ οἰκίας...καὶ αὐτῆς ὑπεριδεῖν τῆς ζωῆς...ταῦτα γὰρ οὐχὶ νεκροῦ τινος...ἀλλ' ἀναστάντος...ἦν τὰ κατορθώματα Chrys.*pan. Ign.*4(2.599B); miracles done by apostles, id.*hom.4.6 in Ac.princ.* (3.90D); *ib.*4.7(92D); S. Peter's change of heart and S. Paul's conversion, id.*hom.1.5 in Ac.*9:1(3.105A,B); id.*hom.89.1 in Mt.*(7.833A).

E. as being Christ himself (cf. Jo.11:25) Χριστὸς κύριος, ὁ τῆς ἀ. ἥλιος Clem.*prot.*8(p.63.19; M.8.196A); ὁ λόγος σὰρξ ἐγένετο...καὶ ἐγένετο ἀ. Ath.*Ar.*1.64(M.26.145B); *Symb.Ant.*(341)2(p.249.16; M.26. 721C); ἀ. δέ, ὡς...ἡμᾶς ἀπανιστάς, καὶ πρὸς τὴν ζωὴν ἐπανάγων Gr. Naz.*or.*30.20(p.141.10; M.36.132A); Mod.*dorm.*12(M.86.3308A).

F. other aspects; **1.** cause of joy to Christians Ἰγνάτιος...ἐκκλησίᾳ...ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου...καὶ ἐν τῇ ἀ. αὐτοῦ Ign. *Philad.*proem.; Cyr.H.*catech.*14.1; Gr.Nyss.*res.*5(M.46.684D); **2.** ridiculed by pagans, Or.*Cels.*6.36(p.105.30f.; M.11.1352B); **3.** Resurrection and circumcision περιτέμνεται γὰρ τὸ παιδίον τῇ ὀγδόῃ, ἐπειδὴ ἔμελλε τῇ ὀγδόῃ ἡ ἀ. ... εἴ τις οὖν μὴ πιστεύει τῇ ἀ., ἀπερίτμητός ἐστι τῇ καρδίᾳ ‡Chrys.*occurs.*(2.812B); **4.** etym. of name Eliakim ὃς ἑρμηνεύεται θεοῦ ἀ. Cyr.*Is.*2.5(2.325C).

G. feast of Resurrection; ref. bishop τίς αὐτοῖς [sc. his flock] τὴν ἡμέραν ἀναγγελεῖ τῆς ἀ., κρυπτομένου σου; Ath.*ep.Drac.*10(M.25. 533B); τὴν τῆς ἀ. ἑορτὴν ‡Chrys.*pasch.*7.5(8.283E); ἐκκλησία οὐ μόνον τὸ πάθος καὶ θάνατον τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὴν ἀ. αὐτοῦ πάσχα ὀνομάζει...εἰ καὶ ἐν οἱαδήποτε ἡμέρᾳ τῶν ἑπτὰ ἡμερῶν τῶν μετὰ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης εὑρεθείη αὕτη, λέγω δὲ ἡ ἀ., ἑορταζομένη *Chron.Pasch.*p.228(M.92.553A).

H. dedications to Resurrection; church in Jerusalem, built by Constantine, Eus.*v.C.*3.25(p.89.14; M.20.1085A); *ib.*3.28(p.91.1; 1088D); βασιλεὺς δι' εὐσέβειαν, ἀργυρένδυτον καὶ χρυσοκόλλητον τὴν ἁγίαν ἐκκλησίαν ταύτην ἐν ᾗ πάρεσμεν, τῆς τοῦ σωτῆρος θεοῦ ἀ., ἐξειργάσαντο Cyr.H.*catech.*14.14; cf.*ib.*14.22; situated on Golgotha, *ib.*13.4; Marc.Diac.*v.Porph.*5; ὅπου ἐτάφη καὶ κατῴκησεν ὁ Ναζωραῖος τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· καὶ ἀνέστη ἐκεῖθεν, καὶ εὐθέως ᾠκοδομήθη ἐπάνω τοῦ τάφου ναός, καὶ προσαγορεύεται ἡ ἁγία ἀ. †Gregent.*disp.*(M.86.729C); πατριάρχης Ἡλίας ᾠκοδόμησεν μοναστήριον πλησίον τοῦ ἐπισκοπείου καὶ ἐν αὐτῷ περισυνήγαγεν τοὺς τῆς ἁγίας ἀ. σπουδαίους εἰς τοὺς περὶ τὸν πύργον τοῦ Δαυὶδ τόπους διεσπαρμένους Cyr.S.*v.Sab.*31(p.116.6); id.*v.Thds.*(p.236.13); Evagr.*h.e.*2.5 (p.52.6; M.86.2513A); cave of Resurrection, dist. from the church, Cyr.H.*catech.*18.33; cf.Alex.Sal.*cruc.*(M.87.4037B); church of Resurrection as synonym of see of Jerusalem τὴν μὲν ἁγίαν τοῦ Χριστοῦ

ἀ. τὰς τρεῖς Παλαιστίνας ἔχειν CChalc.*act.*7(*ACO* 2.1.3 p.5:23;II.2.492E).

I. heret.; acc. Gnostics, Christ conversed with disciples for 18 months after Resurrection, Iren.*haer.*1.3.2(M.7.469A); allegorized, v. ἀλληγορέω; true Resurrection denied by Manicheans, Cyr.H.*catech.*14.21.

II. of biblical characters raised from dead;

A. Lazarus ἐξῆλθεν τῆς σοροῦ, ὁ νεκρός, οἷος ἦν πρὶν ἢ παθεῖν, μελετήσας τὴν ἀ. Clem.*paed.*1.2(p.93.23; M.8.256B); τὴν τοῦ Λαζάρου ἐκ νεκρῶν ἀ. κοινὸν ἔργον γεγονέναι υἱοῦ τοῦ εὐξαμένου καὶ πατρὸς τοῦ ἐπακούσαντος Or.*Jo.*28.9(8; p.400.8; M.14.700B); Cyr.H.*catech.*18.16; as proof of doctrine of Resurrection, Gr.Nyss.*hom.opif.*25.11(M.44.221B).

B. of others πολλοὶ νεκροὶ ἦσαν ἐν ταῖς ἡμέραις Ἰησοῦ, ἀλλὰ μόνοι ἀνέστησαν, οὓς ἔγνω ὁ λόγος ἐπιτηδείους πρὸς τὴν ἀ. Or.*Cels.*2.48 (p.170.11; M.11.872B); of widow's son at Nain, *cat.Lc.*7:12ff.(p.56.15); raisings of dead in gospels contrasted with τελεία ἀ. of Christ, ‡Chrys.*serm.pasch.*82.

III. of men, in the body;

A. Christ the cause of resurrection; **1.** in gen. ἀ. ἡμῶν ἐν αὐτῷ ἀπόκειται Ath.*Ar.*1.43(M.26.100C); *ib.*2.63(281B); Proc.G.*Is.*66:5ff.(M.87.2708A); Cosm.Ind.*top.*2(M.88.121B) cit. s. ἀνάκτισις; **2.** through his death and Resurrection ὁ δεσπότης ἐπιδείκνυται διηνεκῶς ἡμῖν τὴν μέλλουσαν ἀ. ἔσεσθαι, ἧς τὴν ἀπαρχὴν ἐποιήσατο τὸν κύριον *1Clem.*24.1; τὴν γενομένην ἀ. τοῦ Χριστοῦ ἀπὸ τοῦ κατὰ τὸν σταυρὸν πάθους περιέχειν μυστήριον τῆς ἀ. τοῦ παντὸς Χριστοῦ σώματος Or.*Jo.*10.35(20; p.209.31f.; M.14.372B); affirmed against allegorizing Manicheans σαφής ἐστιν ἡ τοῦ Χριστοῦ ἀ. μεθ' ἧς εἶχε σαρκὸς γεγονυῖα ἐκ τοῦ προκειμένου ῥητοῦ, οἱ δέ, οἱ ἑτερόδοξοι, ἀλληγορεῖν θέλουσιν τὴν τῶν ἀνθρώπων ἀ. ἀλληγορήτωσαν καὶ τὴν τοῦ σωτῆρος κακῶς τῷ ἑαυτῶν ἀθετοῦντες τὸ ῥητόν Or.*comm.in1Cor.*15:12f.(*JTS* 10 pp.44f.); τούτου ἕνεκεν τὸ δυνάμενον ἀποθανεῖν ἑαυτῷ λαμβάνει σῶμα, ἵνα τοῦτο τοῦ ἐπὶ πάντων λόγου μεταλαβόν, ἀντὶ πάντων ἱκανὸν γένηται τῷ θανάτῳ, καὶ διὰ τὸν ἐνοικήσαντα λόγον ἄφθαρτον διαμείνῃ, καὶ λοιπὸν ἀπὸ πάντων ἡ φθορὰ παύσηται τῇ τῆς ἀ. χάριτι Ath.*inc.*9.1(M.25.112A); σωτῆρος ἀποθανόντος ὑπὲρ ἡμῶν...τῆς φθορᾶς παυομένης...ἐν τῇ τῆς ἀ. χάριτι...ἵνα κρείττονος ἀ. τυχεῖν δυνηθῶμεν *ib.*24.1(132C); id.*Ar.*1.8(M.26.28A); *ib.*2.67(289A); ἡ ταφὴ αὐτοῦ, ἡμῶν ἀ. id.*inc.et c.Ar.*5(M.26.992A); θεοῦ, τοῦ μὴ μόνον ἐπαγγελλομένου ποιεῖν τῶν νεκρῶν τὴν ἀ., ἀλλὰ καὶ διὰ τῆς ἤδη ἠγερμένης ἀ. τοῦ...Χριστοῦ βεβαίαν παρεσχηκότος ἡμῖν ταύτης τὴν πίστιν ‡Just.*qu.Gr.*10.1(M.6.1477C); *ib.*10.14(1481C); ἡ ἀρχὴ τῆς ἀ. δι' ἑνὸς ἐπὶ πᾶσαν διατείνει τὴν ἀνθρωπότητα Gr.Nyss.*or.catech.*16(p.71.12; M.45.52C); id.*Apoll.*55(M.45.1260A); ἔστι σωμάτων ἀ. τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν Ἱεροσολύμοις Chrys.*hom.*2.5 *in Ac.*(9.22C); ‡Nil.*fr.pasch.*1(M.79.1489D); **3.** through H. Ghost μεγάλη τοῦ πνεύματος ἡ ἐνέργεια, τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ ἀ. βίον Bas.*Spir.*49(3.41D; M.32.157B); Gr.Naz.*or.*31.29(p.184.2; M.36.165C) cit. s. ἀνακτίζω.

B. def. and general statements σωμάτων ἀ. ἔσεσθαι πεπιστεύκαμεν μετὰ τὴν τῶν ὅλων συντέλειαν, οὐχ ὡς Στωϊκοὶ δογματίζουσι κατά τινας κύκλους περιόδους γινομένων ἀεί...ἅπαξ δὲ τῶν καθ' ἡμᾶς αἰώνων πεπερασμένων [καὶ] εἰς τὸ παντελὲς διὰ μόνων τῶν ἀνθρώπων τὴν σύστασιν [ἔσεσθαι] χάριν κρίσεως Tat.*orat.*6(p.6.15; M.6.817B); ἡμεῖς...σώματα ἀνίστασθαι πεπιστεύκαμεν. εἰ γὰρ καὶ φθείρεται, ἀλλ' οὐκ ἀπόλλυται· τούτων γὰρ τὰ λείψανα γῇ ὑποδεξαμένη τηρεῖ δίκην σπόρου πιαινομένου καὶ τῷ γῆς λιπαρωτέρῳ συμπλεκομένου. αὖθις ὥσπερ κόκκος γυμνὸς σπείρεται, καὶ...ἡμφιεσμένος καὶ ἔνδοξος ἐγείρεται, οὐ πρότερον εἰ μὴ ἀποθανὼν λυθῇ, καὶ γῇ συμμιγῇ· ὥστε τὴν ἀ. τοῦ σώματος οὐ μάτην πεπιστεύκαμεν Iren. *fr.*12(M.7.1236A); οὐχ ὡς οἴεται Κέλσος, τῆς μετενσωματώσεως παρακούσαντες τὰ περὶ ἀ. φαμεν ἀλλ' εἰδότες ὅτι ἡ τῇ ἑαυτῆς φύσει ἀσώματος...ψυχὴ ἐν παντὶ σωματικῷ τόπῳ τυγχάνουσα δέεται σώματος οἰκείου...ὅπερ ὅπου μὲν φορεῖ ἀπεκδυσαμένη ⟨τὸ⟩ πρότερον ἀναγκαῖον μὲν περισσὸν δὲ ὡς πρὸς τὰ δεύτερα, ὅπου δὲ ἐπενδυσαμένη ᾧ πρότερον εἶχε, δεομένη κρείττονος ἐνδύματος εἰς τοὺς καθαρωτέρους...τόπους Or.*Cels.*7.32(p.182.31; M.11.1465B); οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἡ ἀ., εἰ μὴ πάντως ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις Gr.Nyss.*hom.*1 *in Eccl.*(M.44.633C); id.*anim.et res.* (M.46.148A); id.*Pulch.*(M.46.877A) cit. s. ἀναπλάσσω; τοῦτό ἐστι τὸ μυστήριον...τῆς ἐκ νεκρῶν ἀ., τὸ διαλυθῆναι μὲν τῷ θανάτῳ τοῦ σώματος τὴν ψυχήν...εἰς ἄλληλα δὲ ἐπαναγαγεῖν διὰ τῆς ἀ., ὡς ἂν αὐτὸς γένοιτο μεθόριον ἀμφοτέρων, θανάτου τε καὶ ζωῆς id.*or.catech.*16 (p.72.8,11; M.45.52D); τί γὰρ κοινὸν ἔχει ἡ ῥικνότης καὶ πολυσαρκία...πρὸς τὴν ζωὴν ἐκείνην, ἢ τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται; ἓν ζητεῖ μόνον ὁ τῆς ἀ. λόγος, τὸ φυῆναι διὰ γενέσεως ἄνθρωπον· μᾶλλον δὲ...εἰ ἐγενήθη ἄνθρωπος εἰς τὸν κόσμον, τὸ δὲ μακρόβιον ἢ ὠκύμορον...μάταιον τῷ τῆς ἀ. λόγῳ συνεξετάζειν... οὔτε δυσκολίας, οὔτε ῥαστώνης ἐκ τῆς τοιαύτης διαφορᾶς περὶ τὴν ἀ. οὔσης. τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον, ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως ἐν τῇ ἀ. διορθωθείσης. τὸ δὲ πῶς ἢ πότε ἡ διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀ.; id.*anim.et res.*(M.46.149B,C); ὅτι δὲ δυνατὸν καὶ ἐξ ἀτελῶν καὶ ἐκ τελείων, τὸ αὐτὸ γενέσθαι ἀποτέλεσμα, μαρτυροῦσιν οἱ ὑπὸ Χριστοῦ καὶ τῶν ἁγίων ἀναστάντες νεκροί· τοιούτους γὰρ αὐτούς, καίτοι τελείους ὄντας κατὰ τὰ μέρη ἡ διὰ τῆς ἀ. ἕνωσις ἀπειργάσατο, ὁποίους καὶ ἐν τῇ μήτρᾳ ἡ φύσις διαπλάττουσα συνῆψε· τὸ δ' αὐτὸ καὶ ἐν τῇ προσδοκωμένῃ κοινῇ ἀ., συμβήσεσθαι πεπιστεύκαμεν· τῶν τε γὰρ προδιαλυθέντων καὶ διεφθαρμένων ἤδη σωμάτων, καὶ τῶν ἀρτιτόκε ζώντων...τὴν αὐτὴν ἐκ τῆς ἀ. σύστασιν γενήσεσθαι πεπιστεύκαμεν Leont.B.*arg.Sev.*(M.86.1941D).

C. pre-Christian foreshadowings; **1.** pagan τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν...ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωϊκοί· καθ' ὃν καὶ τὸν ἰδίως ποιὸν ἀναστήσεσθαι δογματίζουσι, τοῦτ' ἐκεῖνο τὴν ἀ. περιέποντες Clem.*str.*5.1(p.332.3; M.9.21A); κἂν μὴ ὀνομάζωσιν οὕτω τὸ τῆς ἀ. ὄνομα, τό πρᾶγμά γε δηλοῦσιν, ὅτι Σωκράτης...ἀναστήσεται...καὶ ἀνατραφεὶς Ἀθήνησι φιλοσοφεῖ Or.*Cels.*5.20(p.22.2; M.11.1212A); mistaken pagan ideas about it, Gr.Nyss.*anim.et res.*(M.46.108B); **2.** OT; exeg. Ps.150:3ff. τὴν ἐκκλησίαν λέγει τὴν μελετήσασαν τῆς σαρκὸς τὴν ἀ. ἐν ἠχοῦντι τῷ δέρματι Clem.*paed.*2.4(p.182.25; M.8.441B); Or.*hom.1.16 in Jer.*(p.15.4f.; M.13.276A); Ἐνὼχ μετέθηκε καὶ τὸν Ἠλίαν ἀνήρπασεν, αἰνιττόμενος ἡμῖν τὸ περὶ τῆς ἀ. δόγμα Chrys. *res.mort.*8(2.435C); id.*exp.in Ps.*117:17(5.323C,D).

D. defence of doctrine; **1.** statement of its difficulties τὸν περὶ τῆς ἀ. λόγον (πολὺν ὄντα καὶ δυσερμήνευτον καὶ δεόμενον σοφοῦ εἴπερ τι ἄλλο τῶν δογμάτων καὶ ἐπὶ πλεῖον διαβεβηκότος...) Or.*Cels.* 7.32(p.182.20; M.11.1465A); μέγα...τὸ τῆς ἀ. καὶ δυσθεώρητον τοῖς πολλοῖς ἡμῶν μυστήριον id.*Jo.*10.36(20; p.210.14; M.14.372C); partic. objections χρὴ καὶ τοὺς περὶ τῆς ἀ. ἀπιστοῦντας...ἢ μηδεμιᾶς αἰτίας ἐξάπτειν τὴν τῶν ἀνθρώπων γένεσιν...ἢ τῷ θεῷ τὴν τῶν ὄντων ἀνατιθέντας αἰτίαν εἰς τὴν τοῦδε τοῦ δόγματος ἀποβλέπειν ὑπόθεσιν καὶ διὰ ταύτης δεικνύναι τὴν ἀ. οὐδαμόθεν ἔχουσαν τὸ πιστόν. τοῦτο δὲ ποιήσουσιν, ἐὰν δείξαι δυνηθῶσιν ἢ ἀδύνατον ὂν τῷ θεῷ ἢ ἀβούλητον τὰ νεκρωθέντα τῶν σωμάτων ἢ καὶ πάντῃ διαλυθέντα πάλιν ἑνῶσαι καὶ συναγαγεῖν πρὸς τὴν τῶν αὐτῶν ἀνθρώπων σύστασιν. ἐὰν δὲ τοῦτο μὴ δύνωνται, παυσάσθωσαν τῆς ἀθέου ταύτης ἀπιστίας Athenag.*res.*2 (pp.49.31–50.6; M.6.977B); difficulty caused by eating of bodies by animals eaten in turn by men, *ib.*4(p.52.24; 981C); διὰ δύο πράγματα χρὴ ἀπιστεῖν τῶν νεκρῶν τὴν ἀ. ἢ διὰ τὸ μὴ δύνασθαι τὸν θεὸν ἐγείρειν τοὺς νεκρούς, ἢ διὰ τὸ μὴ λυσιτελεῖν τοῖς ἀνισταμένοις...τούτων δὲ τὸ μὲν ἔστιν ἀσεβές, τὸ δὲ γελοῖον ‡Just.*qu.Gr.*10.3(M.6.1480A); disbelieved by some of S. Paul's Corinthian converts, Chrys.*hom.in 1Cor.*proem.(10.2D); and by some of Chrys.'s own flock, *ib.*1.6(32A); **2.** condemnation of its denial ὃς...λέγει μήτε ἀ. μήτε κρίσιν, οὗτος πρωτότοκός ἐστι τοῦ σατανᾶ Polyc.*ep.*7.1; βλασφημεῖν τολμῶσι τὸν θεὸν Ἀβραὰμ...οἳ καὶ λέγουσι μὴ εἶναι νεκρῶν ἀ. Just.*dial.*80.4(M.6.665A); **3.** arguments in defence; **a.** from God's omnipotence εἰ, ὥσπερ ἀπίστοις ἀνθρώποις ἀδύνατον φαίνεται γενέσθαι τὴν ἀ., οὕτως ἀδύνατόν ἐστι τῷ θεῷ τὸ ποιεῖν τὴν ἀ. οὐδὲν ἄρα κατὰ τοῦτο διαφέρει θεὸς ἀνθρώπου. εἰ δὲ ἀπειράκις διαφέρει, ὥσπερ οὖν καὶ διαφέρει, πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἀπιστεῖν θεῷ τὴν ποίησιν ὧν ἔχει τοῦ ποιεῖν τὴν δύναμιν; ‡Just.*qu.Gr.*10.35(M.6.1488B); which raised Lazarus, Gr.Nyss.*res.*3(M.46.668A); εἰ γὰρ τέκτονος ἔργον οὐ καταλαμβάνεις, πολλῷ μᾶλλον τοῦ ἀριστοτέχνου θεοῦ. μὴ ἀπιστεῖτε τοίνυν τῇ ἀ. Chrys.*hom.17.3 in 1Cor.*(10.148E); **b.** from man's nature and end δεικτέον ἀληθῆ τὸν περὶ τῆς ἀ. λόγον ἀπό τε τῆς αἰτίας αὐτῆς, καθ' ἣν καὶ δι' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος οἵ τε μετ' ἐκεῖνον,...ἀπό τε τῆς κοινῆς πάντων ἀνθρώπων ὡς ἀνθρώπων φύσεως, ἔτι δὲ ἀπὸ τῆς τοῦ ποιήσαντος ἐπὶ τούτοις κρίσεως Athenag.*res.*11(p.60.24; M.6.996A); τῆς μὲν ψυχῆς οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει...τοῦ δὲ σώματος κινουμένου κατὰ φύσιν πρὸς ἃ πέφυκεν καὶ τὰς ἀποκληρωθείσας αὐτῷ δεχομένου μεταβολάς, μετὰ δὲ τῶν ἄλλων τῶν κατὰ τὰς ἡλικίας ἢ κατ' εἴδος ἢ μέγεθος τὴν ἀ. εἶδος γάρ τι μεταβολῆς καὶ πάντων ὕστατον ἡ ἀ. *ib.*12(p.63.8; 1000A); εὔδηλον ὡς τῇ τῆς γενέσεως αἰτίᾳ καὶ τῇ γνώμῃ τοῦ ποιήσαντος δείκνυται σαφῶς ἡ ἀ. *ib.*13(p.63.28,30; 1000C); ἡ δὲ τῶν αὐτῶν ἀνθρώπων σύστασις ἐξ ἀνάγκης ἑπομένην δείκνυσιν τὴν τῶν νεκρωθέντων...σωμάτων ἀ. ... ἀ. γὰρ μὴ γινομένης, οὐκ ἂν ἡ τῶν ἀνθρώπων ὡς ἀνθρώπων διαμένοι φύσις *ib.*15(p.66.18,29; 1004C–1005A); **c.** from justice; judgement believed by many to be chief cause of resurrection τοῦτο...δείκνυται ψεῦδος ἐκ τοῦ πάντας μὲν ἀνίστασθαι...μὴ πάντας δὲ κρίνεσθαι...εἰ γὰρ μόνον τὸ κατὰ τὴν κρίσιν δίκαιον τῆς ἀ. ἦν αἴτιον, ἐχρῆν δήπου τοὺς μηδὲν ἡμαρτηκότας...μηδ' ἀνίστασθαι *ib.*14(p.65.5ff.; 1001C); but δεῖ...τὸ φθαρτὸν...ἐνδύσασθαι ἀφθαρσίαν,

ἵνα ζωοποιηθέντων ἐξ ἀ. τῶν νεκρωθέντων καὶ πάλιν ἑνωθέντων τῶν κεχωρισμένων...ἕκαστος κομίσηται δικαίως ἃ διὰ τοῦ σώματος ἔπραξεν εἴτε ἀγαθὰ εἴτε κακά *ib.*18(p.71.17; 1012B); εἰ γὰρ οὐ γίνεται τῶν νεκρῶν ἡ ἀ., πῶς οὐκ ἔσονται ἴσοι ἀλλήλοις οἵ τε δρῶντες τοὺς μαρτυρικοὺς ἀγῶνας καὶ οἱ ὑπομένοντες; ‡Just.*qu.Gr.*10.38(M.6.1488C); Chrys.*hom.66.3 in Jo.*(8.398A,B); εἰ γὰρ μὴ ἐβούλετο τὰς θύρας ἡμῖν ἐξ ἀρχῆς τῆς ἀ. ἀνοῖξαι, οὐκ ἂν ἀφῆκε Ἄβελ...φίλον αὐτῷ [sc. θεῷ] γεγενημένον παθεῖν id.*res.mort.*8(2.435C); **d.** from natural phenomena ἴδωμεν...τὴν κατὰ καιρὸν γινομένην ἀ. ἡμέρα καὶ νύξ ἀ. ἡμῖν δηλοῦσιν *1Clem.*24.3; ταῦτα δὲ πάντα [sc. growth of seeds in ground, etc.] ἐνεργεῖ ἡ τοῦ θεοῦ σοφία, εἰς τὸ ἐπιδεῖξαι διὰ τούτων, ὅτι δυνατός ἐστιν ὁ θεὸς ποιῆσαι τὴν καθολικὴν ἀ. ἀπάντων ἀνθρώπων. εἰ δὲ καὶ θαυμασιώτερον θέαμα θέλεις θεάσασθαι γινόμενον πρὸς ἀπόδειξιν ἀ. οὐ μόνον τῶν ἐπιγείων πραγμάτων, ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανόησον τὴν ἀ. τῆς σελήνης τὴν κατὰ μῆνα γενομένην Thphl.Ant.*Autol.*1.13(M.6.1044A); τί φατε...ὁρῶντες πολλὰ τῶν ἀερίων τὰς μορφὰς μεταβάλλοντα; ὁποῖα καὶ περὶ τοῦ Ἰνδικοῦ σκώληκος ἱστορεῖται τοῦ κερασφόρου· ὃς εἰς κάμπην τὰ πρῶτα μεταβαλών, εἶτα προϊὼν βομβυλιὸς γίνεται, καὶ οὐδὲ ἐπὶ ταύτης ἵσταται τῆς μορφῆς...μεμνημένα τῆς κατὰ τὸ ζῶον τοῦτο μεταβολῆς, ἐναργῆ λαμβάνετε τῆς ἀ. ἔννοιαν Bas.*hex.*8.8(1.78E–79A; M.29.184D–185A); from myth of phoenix, Cyr.H.*catech.*18.8; from phases of moon, *ib.*18.10; from plants, Chrys.*hom.66.3 in Jo.*(8.397D); **e.** other arguments εἰ δὲ ἀ. νεκρῶν οὐκ ἔστι κατά σε, διὰ τί τοὺς τυμβωρύχους καταδικάζεις; εἰ γὰρ ἀπόλωλε τὸ σῶμα, καὶ ἀνέλπιστος ἡ ἀ., διὰ τί τιμωρίαν ὑπομένει ὁ τυμβωρύχος; Cyr.H.*catech.*18.5; εἰ δυνατόν [l. ἀδύνατόν] τινι ὑπὲρ τοῦ μὴ ὄντος πράγματος τῆς ἑαυτοῦ ζωῆς προτιμῆσαι τὸν θάνατον, πῶς, εἰ καθ' ὑμᾶς οὐκ ὄντος ἀληθοῦς τοῦ περὶ τῆς ἀ. δόγματος, ὑπὲρ τούτου τῆς ἑαυτῶν ζωῆς προετίμησαν οἱ μάρτυρες τὸν ἑαυτῶν θάνατον; ποίας δὲ ἄλλης θρησκείας πολυτρόποις βασάνοις τε καὶ θανάτοις ἐβεβαιώθη τὸ δόγμα τῆς ἑαυτῶν θρησκείας, λέγω δὴ τῶν Χριστιανῶν περὶ τῆς τῶν νεκρῶν ἀ.; ‡Just.*qu.Gr.*10.12(M.6.1481B); οὐδεὶς...λέγοι ἂν ὡς ἀπολογούμενος περὶ τῶν κατὰ τὴν ἀ. τάδε· πῶς αἰσθήσεσι μὴ καταλαμβανόμενοι γνώσονται τὸν θεόν; Or.*Cels.*7.37(p.187.29; M.11.1473A); **4.** nature of resurrection body; **a.** Methodius' attack on Origen; Origen's view τὴν ἀ. τῶν νεκρῶν ἀποδεχόμενοι μεταβολάς φαμεν γίνεσθαι ποιοτήτων τῶν ἐν σώμασιν Or.*Cels.*4.57(p.330.2; M.11.1124A); *reductio ad absurdum* of opinion of those who hold that resurrection body is materially same as present body ἐὰν δ' οὖν πυνθανώμεθα αὐτῶν, τίνος ἡ ἀ. γίνεται, ἀποκρίνονται ὅτι τῶν σωμάτων ὧν νῦν περικείμεθα. εἶτα προσεπερωτησάντων ἡμῶν· πότερον τῆς οὐσίας αὐτῶν ὅλης, ἢ οὐχί; κτλ. Meth.*res.*1.20(pp.242–6ff.; M.41.1088C); τοῦτο τὸ εἶδος...τὸ σωματικόν, ὃ ἐν τῇ ἀ. περιτίθεται πάλιν τῇ ψυχῇ, ἐπὶ τὸ κρεῖττον μεταβάλλον, οὐ πάντως δὲ τόδε τὸ ἐντεταγμένον τὸ κατὰ τὴν πρώτην ὑποκείμενον *ib.*1.22(p.245.10; M.41.1092A); *ib.*1.23(p.247.1; M.41.1092C); Or.'s opinions summarized ἀκριβῶς νοεῖν, εἴσεται τὴν ἀ. ἐπὶ τούτου μὴ χρῆναι παραλαμβάνεσθαι τοῦ σώματος, ἅτε ἀδυνατοῦντος ἀτρέπτου δι' αἰῶνος μένειν, ἀλλὰ ἐπὶ τοῦ πνευματικοῦ, ἐν ᾧ ὁ αὐτὸς ὁ καὶ νῦν ἐν τούτῳ διασωζόμενος χαρακτὴρ τηρηθήσεται, ἵν' ἕκαστος ἡμῶν καὶ κατὰ τὴν μορφὴν ὁ αὐτὸς ᾖ, καθάπερ ἐλέχθη καὶ Ὠριγένει, οὕτω γὰρ ἐκεῖνος ἔσεσθαι τίθεται τὴν ἀ. *ib.*1.25(p.251.3ff.; M.41.1096C); *ib.*3.3(p.391.5; M.18.317B); Meth.'s attack οὐ...ἀνέξομαι φληναφώντων τινῶν...τὴν γραφήν, ἵνα αὐτοῖς δὴ σαρκὸς μὴ εἶναι προχωρήσῃ ἡ ἀ., ὀστᾶ νοητὰ καὶ σάρκας ὑποτιθεμένων Meth.*res.*1.39(p.282.13; M.18.268B); exeg. Mt. 22:23 Χριστός, εἰ μὴ ἦν ἀ. σαρκός, ἀλλὰ μόνον ἐσώζετο ἡ ψυχή, συνέθετο ἂν αὐτοῖς [sc. Sadducees] ὡς...ὀρθῶς φρονοῦσι. νυνὶ δὲ ἀποκρούεται λέγων· ἐν τῇ ἀ. οὔτε γαμοῦσιν οὔτε γαμίσκονται...οὐ τῷ σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν *ib.*1.51(p.305.5ff.; 281A); *ib.*(p.306.9f.; 281C); σῶμα λέγεται πνευματικόν, οὐ τὸ λεπτομερὲς καὶ ἀερῶδες, καθὼς λέγουσί τινες ὅτι τοιοῦτον αἱ ψυχαὶ ἐν τῇ ἀ. λήψονται σῶμα, ὧν ἐστιν εἷς καὶ Ὠριγένης, ἀλλὰ πνευματικὸν λέγεται τὸ χωροῦν πᾶσαν τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν καὶ κοινωνίαν *ib.*3.16(p.413.7); ἀ. can be predicated only of body, not of immortal soul ἀ. γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος ἀλλ' ἐπὶ τοῦ πεπτωκότος λέγεται καὶ ἀνισταμένου *ib.*1.51(p.306.14; M.18.281C); *ib.*1.52(p.308.1.4; M.41.1128A); Chrys.*res.mort.*7(2.434C); **b.** splendour of resurrection body Μωϋσῆς...ὑπέδειξε τὸν τύπον διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπικειμένης τοῦ πνεύματος δόξης...πῶς ἐν τῇ ἀ. τῶν δικαίων δοξασθήσεται τὰ σώματα τῶν ἁγίων Mac.Aeg.*hom.*5.10(M.34.516A); endowed with spiritual wings, *ib.*5.11(516C); ἐν τῇ ἀ. ὅλα τὰ μέλη ἀνίστανται ...καὶ ὅλα γίγνονται φωτοειδῆ...ἕκαστος ἐν τῇ ἰδίᾳ φύσει καὶ ὑποστάσει μένει πεπληρωμένος τοῦ πνεύματος *ib.*15.10(581C); acc. practice of virtue in earthly life, Chrys.*hom.86.6 in Jo.*(8.512D); Proc.G.*Is.*16:15ff.(M.87.2713A); **c.** its incorruptibility, Ath.*inc.*27.2(M.25.144A); ἐγὼ γὰρ ἐν τῇ ἀ. τῶν νεκρῶν ἀπολήψομαι παρὰ τοῦ σωτῆρος ἄφθαρτον αὐτό [sc. σῶμα] id.*v.Anton.*91(M.26.972B); ἐν τῇ ἀ. ἀπολαβεῖν τὴν σάρκα, μήτε ὑπόδικον θανάτῳ, μήτε ὑπεύθυνον ἁμαρτίᾳ Bas.*ep.*261.3(3.403B; M.32.972B); ἐν τῷ τέλει τοῦ παρόντος αἰῶνος ἐκ τῆς σποδιᾶς γεηήσεται ἡ ἀ. τοῦ ἐφθαρμένου σώματος, καὶ ἐξαναστήσεται ὁ ἄνθρωπος ζωοποιηθείς τε καὶ ψυχωθείς, τὴν μὲν προλαβοῦσαν φθορὰν ἀποτιναξάμενος, καὶ ἐπενδυσάμενος δὲ τὴν θείαν ἀφθαρσίαν Nil.*epp.*1.111(M.79.132A); δωρουμένου [sc. κυρίου] πᾶσιν ἐν τῇ ἀ. τὸ τῆς προαιρέσεως καὶ τὸ τῆς φύσεως ἄφθαρτον· ὡς κακίας καὶ θανάτου μηκέτι ἐνεργουμένων· κἂν ἕκαστος ἀναλόγως ἀπολαμβάνῃ τοῖς πεπραγμένοις ἐν τῇ αὐτοῦ βιοτῇ ‡Proc.G.*Pr.*16:11(M.87.1384C).

E. discussion whether resurrection is universal; **1.** resurrection of wicked denied, *Did.*16.6; οἱ ἁπλούστεροι τῶν πεπιστευκότων...νομίζουσι τοὺς ἀσεβεῖς τῆς ἀ. μὴ τεύξεσθαι Meth.*res.*1.20(p.242.3; M.41.1088B); πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι ἐνίων μέν ἐστιν ἀ., ἐνίων δὲ οὔ Chrys.*hom.19.1 in Heb.*(12.181C); implied, when resurrection of OT saints is discussed or admitted οἱ ζήσαντες κατὰ τὸν νόμον τὸν διαταχθέντα διὰ Μωυσέως ζήσονται ὁμοίως τῷ Ἰακὼβ καὶ τῷ Ἐνὼχ...ἐν τῇ τῶν νεκρῶν ἀ. ἢ οὔ;...ἐπεὶ οἳ τὰ...καλὰ ἐποίουν εὐάρεστοί εἰσι τῷ θεῷ, καὶ διὰ τοῦ Χριστοῦ τούτου ἐν τῇ ἀ. ... σωθήσονται Just.*dial.*45.2,4(M.6.572B,C); **2.** universal resurrection affirmed τῆς κοινῆς ἀ., ἧς καὶ ἀσεβεῖς μετέχουσιν Chrys.*hom.45.2 in Jo.*(8.264E); ἀ. ... πάντες ἀπολαύσονται...ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται id.*hom.7.1 in 1Thess.*(11.473D); id.*hom.5.3 in Rom.*(9.464B); id.*exp.in Ps.*48:11(5.212B); **3.** double resurrection, first of righteous only (millennium), then of all men Ἰωάννης...ἐν ἀποκαλύψει γενομένῃ αὐτῷ χίλια ἔτη ποιήσειν ἐν Ἱερουσαλὴμ τοὺς τῷ ἡμετέρῳ Χριστῷ πιστεύσαντας προεφήτευσε, καὶ μετὰ ταῦτα τὴν καθολικὴν καὶ... αἰωνίαν ὁμοθυμαδὸν ἅμα πάντων ἀ. γενήσεσθαι Just.*dial.*81.4(M.6.669A); *ib.*113.4(736D); Or.*hom.2.3 in Jer.*(pp.19.21–20.1; M.13.281A, B); Meth.*symp.*9.3(p.117.19; M.18.184B).

F. doctrine in creeds and liturgy, *Symb.App.*(p.30); πιστεύομεν ...εἰς ἀ. νεκρῶν ‡Ath.*interpr.*(p.96.26; M.26.1232B); ἀναθεματίζομεν πάντας τοὺς μὴ ὁμολογοῦντας ἀ. σαρκός *ib.*(p.66.33; 1232C); πιστεύομεν καὶ περὶ σαρκὸς ἀναστάσεως *Symb.Ant.*(341)1(p.249.8; M.26.721B); προσδοκῶμεν ἀ. νεκρῶν *Symb.*ap.Epiph.*anc.*118(p.147.15; M.43.232D); *Symb.*ap.Epiph.*anc.*119(p.149.9; 236B); ὁμολογοῦμεν... ἀ. νεκρῶν *Symb.Nic.-CP*(p.80.15; H.2.288B); ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀ. *Symb.Sirm.*3(p.236.5; M.26.693B); *Symb.CP*(360)(p.259.9; M.26.748B); πιστεύω καὶ εἰς νεκρῶν ἀ. ἁπάντων *Lit.Jac.*(*NBP* 10[2] p.38).

G. other aspects; **1.** as recompense of virtue, *Barn.*21.1; οἱ τούτοις ὑπακούοντες τοῖς προστάγμασιν...τῆς ἀ. καρπὸν τρυγήσουσιν *2Clem.*19.3; ποθοῦμεν πάντα ὅσα θεὸς τοῖς δικαίοις ἐπαγγέλλεται. οὕτως...τὴν τῶν δικαίων ἀ. ποθοῦμεν Or.*Cels.*8.50(p.265.10; M.11.1589C); οὐδεὶς τῶν ὀρθῶς βεβιωκότων τῇ ἀ. διαπιστεῖ...τίνες οὖν εἰσιν οἱ τῇ ἀ. διαπιστοῦντες; οἱ βεβήλους ἔχοντες τὰς ὁδούς Chrys.*hom.45.4 in Jo.*(8.268C); τὸ τῆς ἀ. δόγμα λυμαίνεται ἡ τοῦ βίου φαυλότης id.*hom.47.4 in Ac.*(9.356D); **2.** resurrection and baptism γνώρισμα παλιγγενεσίας, τρόπαιον ἀναστάσεως Clem.*q.d.s.*42(p.190.19; M.9.649D); τῷ μυστικῷ ὕδατι διὰ τοῦ βαπτίσματος ἐνθαπτόμενοι...ἵνα τῇ μιμήσει τοῦ θανάτου ἐπακολουθήσῃ καὶ ἡ τῆς ἀ. μίμησις Gr.Nyss. *Apoll.*55(M.45.1260C); τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀ. Bas. *hom.*13.1(2.114A; M.31.424D); **3.** resurrection and chastity παρέλαβεν ὁ λόγος τὴν ἁγνείαν, διδάσκων ὅσον διαπρεπὴς...ἔσται τῇ ἀ. καὶ ὅτι χωρὶς αὐτῆς οὐδεὶς τεύξεται τῶν ἐπαγγελμάτων Meth.*symp.*9.4(p.119.15; M.18.188A); εἰκών τις εἶναι τῆς ἐν τῷ μέλλοντι αἰῶνι μακαριότητος ὁ ἐν παρθενίᾳ βίος...εἶτα ὅ τι ἐξαίρετον τῶν ἐν τῇ ἀ. καλῶν, καὶ ἐν τῷ παρόντι καρποῦται βίῳ. εἰ γὰρ ἰσάγγελος ἡ ζωὴ ἡ μετὰ τὴν ἀ. παρὰ τοῦ κυρίου τοῖς δικαίοις ἐπήγγελται· τῆς δὲ ἀγγελικῆς φύσεως ἴδιον τὸ ἀπηλλάχθαι τοῦ γάμου ἐστίν... Gr.Nyss.*virg.*13(p.309.9; M.46.381A); **4.** relation between immortality of soul and resurrection of body τῶν δὲ ἀνθρώπων κατὰ μὲν τὴν ψυχὴν ἀπὸ γενέσεως ἐχόντων τὴν ἀμετάβλητον διαμονήν, κατὰ δὲ τὸ σῶμα προσλαμβανόντων ἐκ μεταβολῆς τὴν ἀφθαρσίαν· ὅπερ ὁ τῆς ἀ. βούλεται λόγος Athenag.*res.*16(p.67.22; M.6.1005C); ἀ. τῶν νεκρῶν ψυχῶν ἀπὸ τοῦ νῦν γίνεται. ἀ. δὲ τῶν σωμάτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ Mac.Aeg.*hom.*36.1(M.34.749A); **5.** resurrection from Hades διαρρήξῃ τὰ δεσμὰ ψυχῶν τῶν ἐν ᾅδῃ κατεχομένων, τὸν τῆς ἀ. διαπηξάμενος ὅρον ‡Ath.*Apoll.*1.14(M.26.1117B); ἀνάγκη γάρ τινα ἐξ ᾅδου τὴν ἀρχὴν τῆς ἀ. εἰληφέναι, ἵνα τελεία ᾖ ἡ ἀ. *ib.*1.16(1160D); ᾅδης...ὁ ἀφανὴς τόπος ἐν ᾧ μετὰ διάξευξιν τὴν ἀπὸ τῶν σωμάτων διάγουσιν αἱ ψυχαὶ πρὸ τῆς ἀ. ‡Proc.G.*Pr.*15:11(M.87.1373B); **6.** compared with feast of Tabernacles ἐξεταζομένη τῇ πρώτῃ τῆς ἀ. ἡμέρᾳ εἰσφέρω τὰ προσταγμένα, εἰ κεκόσμημαι τοῖς τῆς ἀρετῆς καρποῖς, εἰ τοῖς κλάδοις τῆς ἀγνείας κατασκιάζομαι. νόει γάρ μοι τὴν ἀ. εἶναι τὴν σκηνοπηγίαν...καὶ τὰ εἰς τὴν σύνθεσιν παραλαμβανόμενα τῆς σκηνῆς τὰς πράξεις εἶναι τῆς δικαιοσύνης Meth.

*symp.*9.3(p.116.25; M.18.181B); *ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου τούτου τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀ., τὴν ἀληθινὴν σκηνοπηγίαν, κἀκεῖ τοῖς καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου...τῇ πρώτῃ τῆς ἑορτῆς ἀ. ἡμέρᾳ, τῇ κρίσει, συνεορτάζω τῷ Χριστῷ τὴν χιλιονταετηρίδα...εἶτα...ἔρχομαι...εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοὺς οὐρανούς ib.*9.5(p.120.11ff.; 189A); id.*res.*2.21(p.375.5; M.18.285C); *ib.*(p.376.4; 316A); **7.** effects of resurrection and belief in it on men and other creatures *χάρισμα τοῦ θεοῦ ὑπερπαίει τὴν χρείαν, ὥσπερ καὶ τὸ εἶναι ἐν δόξῃ ἡλίου ἢ σελήνης...ἐν τῇ ἱερᾷ τῶν νεκρῶν ἀ.* Or.*Jo.*32.9(6; p.441.5; M.14.765B); *ἡ κτίσις...χαίρουσα ἐπὶ τοῖς τέκνοις τοῦ θεοῦ τῇ ἀ.* Meth.*res.*1.47(p.299.1; M.18.273C); Bas.*hom. in Ps.*44:1(1.159C; M.29.389A); *ῥίζα πάσης τῆς ἀγαθοεργίας, ἡ τῆς ἀ. ἐλπίς...πᾶσα ψυχὴ πιστεύουσα μὲν εἰς ἀ., φείδεται ἑαυτῆς εἰκότως· ἀπιστοῦσα δὲ τῇ ἀ., γίνεται ἔκδοτος εἰς ἀπώλειαν* Cyr.H.*catech.*18.1; **8.** description of gen. resurrection *ὅτε δὲ γίνεται αὕτη ἡ ἀ. τοῦ ἀληθινοῦ...Χριστοῦ σώματος, τότε τὰ μέλη τοῦ Χριστοῦ τὰ νῦν, ὡς πρὸς τὸ μέλλον, ξηρὰ ὀστᾶ συναχθήσεται, ὀστοῦν πρὸς ὀστοῦν καὶ ἁρμονία πρὸς ἁρμονίαν* Or.*Jo.*10.36(p.210.31; M.14.375A); in a certain place, *Apoc.Paul.*14 (p.44); instantaneous, Gr.Nyss.*res.*3(M.46.660C); *μετὰ τὴν τῶν σωμάτων ἀ. τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν δωρεῖσθαι ὑπέσχετο, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγήν, καὶ τὴν ἐν διηνεκεῖ αἰῶνι ἀπόλαυσιν* Chrys.*hom.36.5 in Gen.*(4.371A); **9.** various aspects; **a.** question whether men will know one another *τοῖς μὲν δικαίοις γνωρισμὸς γίνεται, τοῖς δὲ ἁμαρτωλοῖς οὐδαμῶς, οὔτε ἐν τῇ ἀ. δύνανται γνωρίσαι ἀλλήλους 1 Apoc.Jo.*12(p.79); **b.** ref. 1Cor.15:49 *ἡ δὲ εἰκὼν τοῦ ἐπουρανίου ἡ ἐκ νεκρῶν ἀ.* Meth.*res.*2.18(p.369.11; M.18.284B); **c.** resurrection promises in Liturgy of Dead *λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας...ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀ. ἀναγνόντες, ...ᾄδουσι τὰς...τῶν ψαλμικῶν λογίων ᾠδάς* Dion.Ar.*e.h.*7.2(M.3.556C); *τῶν ἱερῶν ἡ θεσμοθεσία...τὸν ὅλον ἄνθρωπον ἀγιάζουσα...τὴν ἀ. ἔσεσθαι διαγγέλλουσα ib.*7.3.9(565C); **d.** myst. interprn. of three days *ἐν τρισὶν ἡ ἀ. ἐνεργεῖται ἡμέραις...τὴν τρίτην φησὶ τὴν πνευματικὴν ἡμέραν, ἐν ᾗ οἴονται δηλοῦσθαι τὴν τῆς ἐκκλησίας ἀ. ... πρώτην λέγειν εἶναι τὴν χοϊκὴν ἡμέραν καὶ τὴν δευτέραν τὴν ψυχικήν, οὐ γεγενημένης τῆς ἐκκλησίας τῆς ἀ. ἐν αὐταῖς* Heracleon ap.Or.*Jo.*10.37(21; p.212.27–32; M.14.376C).

H. heret.; **1.** resurrection only of initiated (Gnost.) *ἀναγεννηθέντες πνευματικοί, οὐ σαρκικοί. αὕτη, φησίν, ἐστὶν ἡ ἀ. ἡ διὰ τῆς πύλης γινομένη τῶν οὐρανῶν, δι' ἧς οἱ μὴ εἰσελθόντες, φησί, πάντες μένουσι νεκροί* Hipp.*haer.*5.8(p.93.18; M.16.3146C); **2.** resurrection in earthly flesh *λέγει* [sc. Heraclitus]*...σαρκὸς ἀ. ταύτης ⟨τῆς⟩ φανερᾶς ἐν ᾗ γεγενήμεθα, καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀ. αἴτιον* Hipp.*haer.* 9.10(p.243.19f.; M.16.3375B); *ἀ. δὲ νεκρῶν ὁρίζονται* [sc. Severians] *εἶναι τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον* Tim.CP *haer.*(M.86.64A); to ordinary carnal life, taught by certain monks *φασὶ γὰρ...φλέγματι πάλιν καὶ αἵματι...καὶ τροφῇ αἰσθητῇ πρὸς τὸ ζῆν συνέχεσθαι μέλλειν τὰ σώματα κατὰ τὴν ἀ., οὐδενὸς τὸ σύνολον ξένου παρὰ τὴν παροῦσαν ζωὴν διὰ τῆς ἀ. ἀναφανησομένου, πλὴν τὸ μὴ δύνασθαι πάλιν ἀποθανεῖν* Max.*ep.*7(M.91.433B,C); **3.** of heretics repudiating marriage *εἰ γοῦν τὴν ἀ. ἀπειλήφασιν, ὡς αὐτοὶ λέγουσι, καὶ διὰ τοῦτο ἀθετοῦσι τὸν γάμον, μηδὲ ἐσθιέτωσαν μηδὲ πινέτωσαν. καταργεῖσθαι γὰρ ἔφη τὴν κοιλίαν...ὁ ἀπόστολος ἐν τῇ ἀ.* Clem.*str.*3.6(p.218.8ff.; M.8.1152A); **4.** of Origenists *εὑρηκότες γὰρ οἱ Φιλοπονιακοὶ τὸν Ὠριγένην λέγοντα ὅτι ἡ αὐτὴ ὕλη ἐν τῷ μέλλοντι αἰῶνι ἀναμορφοῦται, καὶ διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται ἡ ἀ., ἐκάλεσαν τοὺς Κονωνίτας Ὠριγενιαστάς* Tim.CP *haer.* (M.86.64C); **5.** denied altogether, Just.*dial.*80.4(M.6.665A) cit. s. *ἀναλαμβάνω.*

IV. met., of spiritual resurrection of man; possible already on earth *ἀ. ἔδειξε τοῖς διορᾶν δυναμένοις τὴν ἔτι ἐν σαρκὶ* Clem.*str.*4.16 (p.292.20; M.8.1308A); *ὁ κύριος εἰκόνα τῆς πνευματικῆς ἀ. ποιήσας τοὺς νεκροὺς οὓς ἤγειρεν, οὐκ ἀφθάρτους τὴν σάρκα, ἀλλ' ὡς αὖθις ἀποθανουμένους ἤγειρεν* id.*exc.Thdot.*7(p.108.18; M.9.657C); *ἡμᾶς... ἤδη εἶναι ἐν τοῖς παλιγγενεσίας καὶ ἀ. ἀγαθοῖς* Or.*or.*25.3(p.359.15; M.11.500A); id.*schol.in Cant.*3:1ff.(M.17.268D); through repentance, baptism, and mortification, Ign.*Smyrn.*5.3; Gr.Nyss.*hom.12 in Cant.*(M.44.1016D); *ib.*(1017A); in myst. life *ἀ. λέγων* [Jo.6:40] *τὴν ἀπὸ τῆς ἐνύλου γνώσεως ἐπὶ τὴν ἄυλον θεωρίαν μετάβασιν* Evagr. Pont.*ep.*7(3.85E; M.32.257B).

V. *rising again* (after a fall); *restoration,* Clem.*prot.*8(p.61.19; M.8.192A); Proc.G.*Gen.*9:4(M.87.296C); Hier.*vir.ill.*(tr.Sophr.Pal.) 63(p.41.1; M.*PL.*23.676A).

VI. *uprising, insurrection,* Cyr.*thes.*34(5¹.354B).

VII. = *elevation,* prob. f.l. for *ἀνάτασις: τῆς δὲ τῶν πτερῶν ἐξαπλῆς ἱεροπλαστίας τὴν ἐπὶ τὸ θεῖον...ἀ.* Dion.Ar.*c.h.*13.4(M.3. 304D); id.*d.n.*4.12(M.3.709C).

ἀναστατέω, *stir up, unsettle Σίμων...ἀ. τοὺς ὄχλους Hom.Clem.*2. 25; Cyr.*Am.*50(3.304C, vv.ll. *ἀναστήσας, ἀναπάσας*).

ἀναστάτωσις, ἡ, *destruction, overthrow, Apoc.Dan.*C(p.123).

ἀνασταυρ-όω, **1.** *crucify*; of Christ *τὸ θνητὸν...προσηλοῦτο ~ούμενον, ὡς ἂν τοῖς πᾶσιν ἡ τοῦ θνητοῦ γνωρισθείη φύσις* Eus. *theoph.fr.*3(p.13*.22; M.24.617C); met., of Christ destroying death *τὴν δύσιν εἰς ἀνατολὴν μετήγαγεν καὶ τὸν θάνατον εἰς ζωὴν ἀ.* Clem. *prot.*11(p.80.26; M.8.232C); *ἠττήθη τε τελέως ὁ θάνατος εἰς ἀφθαρσίας ἐκτύπωμα ~ωθείσης τῆς σαρκός* Meth.*Porph.*3(p.507.6; M.18.401C); **2.** *crucify* Christ *again, afresh*; ref. Heb.6:6, Or.*Jo.*20.12(p.341.33; M.14.600A); by a second baptism, Ephr.3.202C; Chrys.*hom.9.3 in Heb.*(12.96C); Nil.*epp.*1.204(M.79.160A); Jo.D.*f.o.*4.9(M.94.1120A) citt. s. *ἀναβαπτίζω.*

ἀνασταχυόομαι, *rise up, Orac.Sib.*3.382; *ib.*11.200; *ib.*12.194.

ἀναστέλλ-ω, **1.** *send up, raise*; *gird up,* fig. *τὸν...διακεχυμένον ταῖς ἐπιθυμίαις καὶ χαμαὶ τοὺς λογισμοὺς ἔχοντα συρομένους ἀ. διὰ τῆς ζώνης* Chrys.*hom.23.1 in Eph.*(11.175A); med., *expose ἀ. τὰ αἰδοῖα* Clem.*prot.*2(p.16.7; M.8.84A); **2.** *draw back ὁ πατήρ, ὅταν βούληται, ...δύναμιν αὐτοῦ προπηδᾶν ποιεῖ, καὶ ὅταν βούληται, πάλιν ἀ. εἰς ἑαυτόν* Just.*dial.*128.3(M.6.776B); *ἀποθανόντος γὰρ τοῦ σώματος...ἀ. τὴν ἐπελθοῦσαν ἀκτῖνα τῆς δυνάμεως ὁ σωτὴρ ἀπώλεσε μὲν τὸν θάνατον, τὸ δὲ θνητὸν σῶμα ἀποβαλὼν πάθη ἀνέστησεν* Clem.*exc.Thdot.*61 (p.127.21; M.9.688D); **3.** *keep back, restrain,* id.*str.*4.18(p.300.24; M. 8.1329A); id.*paed.*2.8(p.197.26; M.8.473B); Chrys.*hom.9.4 in Rom.* (9.516D); *φραγμὸς ὁ νόμος...τὰς πρὸς τοὺς πονηροὺς ~ων συνουσίας* id.*exp.in Ps.*138:20(5.417B); id.*hom.12.4 in Mt.*(7.166B); **4.** *remove, make away with,* ref. Nah.1:5 *ἡ γῆ ἀνασταλήσεται, τουτέστι, χωρήσει πρὸς τὸ μὴ ὄν* Cyr.*Nah.*6(3.482B); *ἀ. τὸν χρυσάργυρον καὶ τὰ κυνήγια* Thphn.*chron.*p.123(M.108.344B).

***ἀναστεναγμός, ὁ,** *groaning, lamentation,* Jo.Mal.*chron.*3 p.63(M. 97.141B).

ἀνάστεμα, τό, v. *ἀνάστημα.*

ἀναστέφ-ω, *crown, wreathe,* Clem.*paed.*2.8(p.202.26; M.8.485B); *ἐπειδὴ ἐπαύσατο τῆς νομοθεσίας...ὁ κύριος μυστικῶς αὖθις ~εται ἀκάνθῃ...ὅπως ὁ διὰ βάτου τὸ πρῶτον ὀφθείς, ὁ λόγος, διὰ τῆς ἀκάνθης ὕστερον ἀναληφθείς μιᾶς ἔργον τὰ πάντα δείξῃ δυνάμεως ib.*(p.203.19; 488A).

***ἀναστηλιτεύω,** *proclaim* by public notice, Eus.*h.e.*9.7.15(M.20. 813D); *ib.*9.11.2(837B).

ἀνάστημα (-εμα), τό, **1.** *height, majesty*; **2.** *erection, structure*; hence *work of creation εἶπεν ὁ παντοκράτωρ....κοινὸν ἀνάστεμα δῶμεν Orac.Sib.*8.268; *ἢ γὰρ ἴδῃ* [sc. *Ἀβραάμ*] *πάντας τοὺς ἐν ἁμαρτίᾳ διάγοντας, ἀπολέσει πᾶν τὸ ἀ. T.Abr.*A 10(p.88.19); *κύριος...ἐπήγαγεν ...τὸν κατακλυσμόν, ἵνα ἐξαλείψῃ πᾶν τὸ ἀ. A.Andr.et Mt.*20(p.92.8); **3.** *restoration εἰ μὴ τὸ τοῦ Ἀδὰμ σύμπτωμα εἰς ἀσύγκριτον ἀ. Χριστὸς ἀνεστήσατο* ‡Ath.*Apoll.*1.7(M.26.1104C).

ἀναστηρίζω, *set up firmly,* †Apoll.*met.Ps.*67:10(M.33.1404D).

ἀναστοιχει-όω, **1.** *resolve into original elements ἐστι ζητεῖν ⟨εἴ τι⟩ ἔστι μεταξὺ τοῦ 'ὁ λόγος σὰρξ ἐγένετο' καὶ 'θεὸς ἦν ὁ λόγος' ἐν τοῖς ἀνθρωπίνοις ἰδεῖν, οἷον ~ουμένου τοῦ λόγου ἀπὸ τοῦ γεγονέναι αὐτὸν σάρκα καὶ κατὰ βραχὺ λεπτυνομένου ἕως γένηται ὅπερ ἦν ἐν ἀρχῇ* Or.*Jo.*1.37(42; p.48.32; M.14.97D); of man at death *παρεληλυθότα τὴν ἐντολὴν...εἰς θάνατον ~ωθέντα* Meth.*symp.*3.6(p.32.19; M.18.69A); of world at Flood, Chrys.*Laz.*6.7(1.782D); **2.** recombine elements in original form, hence *reform, restore*; **a.** lit. *οὔτε γὰρ εἰς...τοιαύτην ἔτι κατάστασιν, οἵα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ~ωθήσεται τὸ πᾶν οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν* Meth.*res.*1.47(p.300. 3; M.41.1120C); id.*symp.*3.2(p.29.10; M.18.64B); **b.** spiritually; by God, Or.*princ.*3.1.13(p.218.9; M.11.273A); by Christ *δεύτερος Ἀδὰμ ~ῶν τὸ γένος...εἰς καινότητα ζωῆς* Cyr.*ador.*17(1.600A); in resurrection *ὁ τοῦ ἡμετέρου σκεύους πλάστης...διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ~ώσει τὸ σκεῦος* Gr.Nyss.*or.catech.*8 (p.45.11; M.45.36B); in eucharist *δεχόμεθα ἡμεῖς* [sc. *Χριστόν*] *ἐν ἑαυτοῖς διὰ τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος, ἵνα πρὸς καινότητα ζωῆς ~ούμενοι δι' αὐτοῦ καὶ ἐν αὐτῷ, τὸν παλαιὸν ἄνθρωπον ἀποσκευαζώμεθα* Cyr.*ador.*12(1.419D); by H. Ghost, id.*Is.*5.2(2.770D); in baptism *εἰ...τὸ ἅγιον πνεῦμα διὰ τοῦ βαπτίσματος ἀ. ἡμᾶς εἰς εἰκόνα τὴν πρώτην* Didym.*Trin.*3.2(M.39.801D); of Christians *ταῖς εἰς τὴν ἀμείνω ῥοπαῖς ~οῦντες τρόπον τινὰ τὸν νοῦν* Or.*adnot.in Dt.*23:14 (M.17.32D); **3.** *transform Χάλεβ...ἑρμηνεύεται ὡς καρδία...ὁ πάντα προσέχων τοῖς νοήμασιν...καὶ ὅλος ~ωθεὶς εἰς ἡγεμονικόν* Or.*hom. 18.2 in Jos.*(p.407.21; M.87.1028B); *ἀνεστοιχειοῦτο* [sc. Helena] *γοῦν αὐτῇ ψυχῇ ἐπὶ τὴν ἄφθαρτον καὶ ἀγγελικὴν οὐσίαν* Eus.*v.C.*3.46(p.97. 9; M.20.1105D); *τὸ αἰσθητὸν ὕδωρ* [sc. of baptism] *πρὸς θείαν ~οῦται δύναμιν, καὶ ἁγιάζει τοὺς ἐν οἷς ἂν γένηται* Ammon.*Jo.*3:5(M.85. 1408D); cf.Cyr.*Jo.*2.1(4.147D).

ἀναστοιχείωσις, ἡ, 1. *dissolution* τοῦ οὐρανοῦ ἅμα τῇ γῇ πάλιν ἀ. ἔσται Didym.*Ps.*101:28(M.39.1520A); **2.** *restoration*, of world τελεσθείσης τῆς τῶν ἀνθρώπων γενέσεως, τῷ τέλει ταύτης συγκαταληξαι τὸν χρόνον, καὶ οὕτω τὴν τοῦ παντὸς ἀ. γενέσθαι, καὶ τῇ μεταβολῇ τοῦ ὅλου συναμειφθῆναι καὶ τὸ ἀνθρώπινον, ἀπὸ τοῦ φθαρτοῦ καὶ γεώδους ἐπὶ τὸ ἀπαθὲς καὶ ἀΐδιον Gr.Nyss.*hom.opif.*22.5(M.44.205C); *ib.*25.11 (221B); id.*Pulch.*(M.46.877A) cit. s. ἀναπλάσω.

***ἀναστολέομαι,** med., s.v.l., ‡Chrys.*pasch.*6.5(p.187.18) v. ἀναστολίζω.

ἀναστολή, ἡ, 1. *repression, restraint*, Clem.*str.*2.23(p.193.19; M.8.1096C); Eus.*p.e.*6.6(244D; M.21.416D); †Nil.*vit.*2(M.79.1141B); **2.** *clothing*; of angels at Resurrection, Eus.*fr.Lc.*24:4(M.24.605B).

ἀναστολίζω, *put on* τὸν παλαιὸν ἄνθρωπον ἀναστολισάμενος ‡Chrys.*pasch.*6.5(8.273C; p.187.18 ἀναστολησάμενος).

***ἀναστομίζω,** *open up* ὁ προχέων τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς, τοῦ σιδήρου τὴν φλέβα ταύτην ἀ. Or.*exc.in Ps.*77:31(M.17.141D).

ἀναστομ-όω, 1. *furnish with a mouth* or *outlet* τὴν πέτραν ᾗ ποτε τῷ ξύλῳ ἀνεστομώθη τὸ ὕδωρ Gr.Nyss.*laud.Bas.*(M.46.809D); hence *open up*, id.*hom.2 in Cant.*(M.44.801B); cf. ἀναστομίζω; ref. Cant. 4:12 διὰ τῆς χειροτονίας...~ωθέντος τοῦ τῆς πηγῆς ὕδατος κοινὸν γένηται κτῆμα τῆς καθόλου ἐκκλησίας ἡ ἐν ἐκείνῳ χάρις id.*ep.*17 (M.46.1065C); pass., *find an opening, burst forth*; of an underground river, Proc.G.*Gen.*2:8f.(M.87.160A); *open up again* πηγὴν ...συγκεχωσμένην ἀ. Gr.Naz.*or.*36.2(M.36.265C); **2.** *rein in, curb*, fig. and met. ἀ. ἅμα καὶ ἐπιστρέφων...πρὸς σωτηρίαν τὸν λαόν Clem. *paed.*1.9(p.135.25; M.8.344A); ἀ. ἐπεχείρει...καθάπερ χαλινῷ Gr.Nyss. *anim.et res.*(M.46.12A); **3.** *baulk* τοσαῦτα ~ωθεὶς τῆς ἐλπίδος ταύτης †Gregent.*disp.*(M.86.721B).

ἀναστράπτω, *shine forth*, of BMV πολυφάτους χάριτας ἀ. Thdr. Stud.*nativ.BMV* 7(M.96.692A).

ἀναστρεπτέον, 1. *one must behave* πῶς περὶ τὰς τροφὰς ἀ.; Clem. *paed.*2.1(p.153.5; M.8.377A); ἀεὶ ὡς παρόντος τοῦ κυρίου κοσμίως ἀ. *ib.*2.2(p.176.35; 429C); *ib.*2.7(p.189.30; 456C); **2.** *one must pay attention* to οὐ τοίνυν περὶ τὴν λέξιν ἀλλὰ περὶ τὰ σημαινόμενα ἀ. id.*str.*6. 17(p.510.3; M.9.381C).

ἀναστρέφ-ω, 1. *turn upside down*; met., *upset*, Hipp.*haer.*6.41 (p.172.22; M.16.3259B); **2.** *turn back*; hence *repeat* αἱρετικοὶ ἀ. πολλάκις τὰ αὐτὰ ῥήματα Didym.*Trin.*2.5(M.39.492A); *turn over* in the mind, *ponder*, Chrys.*hom.53.5 in Mt.*(7.545D); **3.** *behave* Κορινθίους...πιστεύσαντας μὲν ἤδη, τῆς δὲ πίστεως ~οντες οὐκ ἀξίως Euthal.Diac.*epp.Paul.*(M.85.701B).

ἀναστροφή, ἡ, 1. *reversal, inversion*; **2.** *dwelling*; of man with God, Just.*1apol.*10.2(M.6.341A) cit. s. ἄφθαρτος; of Christ's life on earth, Clem.*paed.*2.8(p.194.27; M.8.468A); of millennium τὴν τοῦ κυρίου ἐπὶ γῆς ἀ. Oecum.*Apoc.*20:4(p.219); **3.** *mode of life*, Hipp. *Dan.*1.1(M.10.637A); μηδὲ ἔννοιαν φόβου θεοῦ σχόντες ἀλλὰ καὶ διὰ τῆς ἀ. αὐτῶν βλασφημοῦντες τὴν ὁδὸν *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.48 (M.20.428A); διὰ τῆς διδαχῆς αὐτοῦ καὶ τῆς ἀ. ‡Pall.*h.mon.*8(p.38.7; M.34.1139C); **4.** *mode* of speech, ref. Pr.9:1 οὐχ ἑτέρως δυνατὰ νοεῖσθαι...εἰ μὴ κατὰ μόνην μεταφορὰν καὶ ἀ. τῆς λέξεως Eus.*Marcell.* 1.3(p.17.11; M.24.749B).

***ἀναστυλόω,** *set up* εἰκὼν ἀνεστυλώθη Areth.*Apoc.*37(M.106.680B).

***ἀνασυνδέω,** *bind up again*, ‡Bas.*const.*18.3(2.562C; M.31.1385A).

***ἀνασυράζω,** *draw up*, Cyr.*glaph.Dt.*(1.419C).

ἀνασύρομαι, *rage, rave* οἱ Ἀρειανοὶ ἀ., τὴν οἰκίαν...ἐνέπρησαν τοῦ ἐπισκόπου Thphn.*chron.*p.60(M.108.201C).

***ἀνασφαιρίζω,** *shoot up, lift up*, Thdt.*Ps.*52:2(1.951); ψυχὴν σὺν τῇ προσευχῇ εἰς οὐρανοὺς ἀ. Gr.Mag.*dial.*(tr.Zach.)2.37(M.*PL.*66. 201B).

***ἀνασφαλής, 1.** *uncertain*, Cyr.*Ps.*67:7(M.69.1145C); neut. as subst. τὸ ἀ. τῶν ἐτῶν Didym.*Trin.*2.14(M.39.708B); Cyr.*Nest.*2.8 (p.45.4; 6.49A); **2.** *unstable* ἐπ' ἄμφω βαίνειν εἰδώς, ὁ ἀ. id.*Os.*58 (3.90E); id.*Nah.*14(3.491E).

***ἀνασφαλίζω,** *recover*; of Magi recovering themselves from past errors through the sight of Christ, ‡Caes.Naz.*dial.*107(M.38.973).

***ἀνασφάλιστος,** *unfortified, unstable*, †Polyb.*v.Epiph.*64(M.41. 108D).

***ἀνασφετερίζω,** *appropriate*, Leont.B.*parasc.*(M.86.1997C).

ἀνασφίγγ-ω, *bind up tightly* τριχὸς...ποικίλως ἀνεσφιγμένης Cyr. *Is.*4.3(2.634C); met. εἰς ἕνα θεότητος λόγον ἡ ἁγία τριὰς ~εται id. *Jo.*10.2(4.911B).

***ἀνασφραγίζω,** *seal anew, rebaptize* τὸν ναύκληρον κατηχήσατε καὶ ἀ. (ἔστιν γὰρ τῆς Ἀρείου μυσαρᾶς αἱρέσεως) Marc.Diac.*v.Porph.*56; *ib.*57.

ἀνασώζω, 1. *recover what is lost, rescue* Ἰησοῦς...τὴν ἐκκλησίαν ἀναλαβών,...ἀ. καὶ ἀνήνεγκεν ἅπερ ἀνέλαβεν Clem.*exc.Thdot.*58(p.126. 13; M.9.688A); ὁ ἐνανθρωπήσας...ἵνα ἀνασώσηται τὴν εἰκόνα καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον Gr.Naz.*or.*7.23(M.35.785C); **2.** *preserve* ἵνα... ἀνασώσῃ πόνους τοῦ προλεχθέντος χρόνου Ephr.1.318F; **3.** *preserve in memory* ἀγαπῶντες, εἰ...ἀποστόλων τὰς διαδόχας κατὰ τὰς διαπρεπούσας...ἐκκλησίας ἀνασωσαίμεθα Eus.*h.e.*1.1.4(M.20.52A); **4.** *rescind* a capital sentence τὴν ἐπ' αὐτοὺς θανατηφόρον ἀνασωσάμενος ψῆφον Philost.*h.e.*9.6(M.65.573A).

ἀνάταξις, ἡ, *arrangement, pattern*, *T.Sal.*D 8.5.

ἀνατάσσω, 1. *arrange, appoint* τὸν κύκλον τῶν φλβ' ἐτῶν ἀ. *Chron.Pasch.*p.10(M.92.88C); med., *set forth in order, compose, compile* Εὐνομίου...ἐγκώμιον ἀ. Philost.*h.e.*3.21(M.65.509C); Andr.Caes. *Apoc.*67(M.106.773B); **2.** *lift up* [φω]νὰς ἀπὸ ψυχῆς καὶ καρδίας πρὸς σὲ ἀνατεταγμένας *Pap.Chr.*(p.431).

ἀνατατικός, *uplifting* ἡ τῶν ὁσίων θεολόγων ἀ. σοφία Dion.Ar.*c.h.* 2.3(M.3.141B); neut. as subst., *means of rising* ὁ θεῖος λόγος, πάντοθεν τὸ ἀ. ἡμῖν ποριζόμενος Jo.D.*imag.*1.11(M.94.1241B).

ἀνατατικῶς, *upwards, with uplifting effect* πᾶσα πατροκινήτου φωτοφανείας πρόοδος...ἀ. ἡμᾶς ἀναπληροῖ Dion.Ar.*c.h.*1.1(M.3.120B); πάντα πρὸς τὴν μίαν ἀρχὴν ἀ. ἐπιστρέφει †Proc.G.*Procl.*(M.87.2792[11]C); Max.*ambig.*(M.91.1385B).

ἀνατείν-ω, *draw* a sword, Anast.S.*haer.*(p.270); med. and pass., *reach up* ~όμενοι ἄνω τῇ ἐννοίᾳ Clem.*paed.*1.5(p.99.31; M.8.269A); Ath.*fr.Job*(M.27.1345A); Χριστὸς...διδάσκων ἡμᾶς...θεοῦ αἰτεῖν καὶ πρὸς αὐτὸν ἀ. Jo.D.*f.o.*3.24(M.94.1089D); *direct* one's remarks, *make reference* to πολλὰ πρὸς τὸ ἀνθρώπινον ~όμενος διελέχθη Bas.*hom. in Ps.*44:7(1.165C; M.29.404B).

ἀνατειχίζω, met., *build up, edify*, Cyr.*Joel.*41(3.239D); id.*Is.*2.5 (2.342A).

***ἀνατείχισμα, τό,** *defence* Χριστοῦ μυστήριον, ὅπλον ὥσπερ τι καὶ ἀ. Cyr.*ador.*2(1.79E).

***ἀνατενιστός,** *not to be gazed on*, of the divinity of Christ ὑπὸ τῶν χερουβὶμ ἀ. *A.Xanthipp.*14(p.68.14).

ἀνατήκω, *soften again*, Meth.*res.*1.44(p.292.4; M.18.273A).

***ἀνεγερτικός,** *rousing, uplifting,* Epiph.*haer.*69.69(p.217.13; M.42. 313A).

ἀνέγερτος, *beyond restoration, final,* ref. Mt.7:6 ἡ...τῶν μυστηρίων μετάδοσις, ῥῆξίς ἐστιν ἀ. τοῖς καταφρονητικῶς μεταδιδοῦσιν Isid.Pel. *epp.*1.143(M.78.280A).

***ἀνεγέρτως,** *without being raised,* Euther.*confut.*7(M.28.1357C); *without resurrection,* ‡Just.*qu.et resp.*108(M.6.1356C).

***ἀνεγκατέω,** *disembowel,* Jo.Mosch.*prat.*75(M.87.2928C).

ἀνεγκλησία, ἡ, *freedom from accusation,* Bardesanes ap.Eus.*p.e.* 6.10(274D; M.21.465C).

ἀνέγκλητος, *without reproach, blameless*; def. τὸ δὲ ἀ., ἐπίτασις τοῦ ἀμώμου· ἀ. γὰρ τότε λέγεται, ὅταν μηδὲ μέχρι καταγνώσεως μηδὲ μέχρι ἐγκλήματος ᾖ τι πεπραγμένον ἡμῖν Chrys.*hom.4.1 in Col.*(11. 351D); μηδεμίαν διδοὺς ἀφορμὴν εὐλόγου κατηγορίας Thdt.*Tit.*1:6 (3.700); of Christ, Just.*dial.*35.8(M.6.553A).

***ἀνεγχείρητος**, *not to be attempted*, Isid.Pel.*epp.*1.24(M.78.197A); sens. dub. [Mt.16:19] *τοῦ κλείειν καὶ ἀνοίγειν καὶ δεσμεῖν τε καὶ λύειν σε ἀ. τῶν τούτους ὑπεναντίων cat.Apoc.*3:7(p.225.3).

ἀνεγχώρητος, *impossible ἀδύνατον καὶ ἀ. ποιεῖν τι τὸν υἱόν, ὧν οὐ ποιεῖ ὁ πατήρ* Gr.Naz.*or.*30.11(p.123.6; M.36.116C); ‡Ath.*disp.*10 (M.28.449A); Chrys.*hom.38.4 in Jo.*(8.222B).

***ἀνεθελησία**, ἡ, *absence of volition*, of God, in respect of generation of Son; orthodox answer to Arian doctrine of generation by Father's will is *τῆς θελήσεως καὶ τῆς ἀ. ... προτερεύει δ τε γεννήσας... πατήρ, τό τε ἀπαύγασμα τῆς δόξης αὐτοῦ ὁ υἱός* Didym.*Trin.*1.9 (M.39.281C); and *τῶν μὲν πρακτέων ἢ μή, θέλησίς τε καὶ ἀ. κρατεῖ· γεννήσεως δέ, οὐκ ἔτι* Cyr.*dial.Trin.*2(5¹.455D).

ἀνεθέλητος;

A. pass., *not willed*; **1.** in gen.; **a.** *undesired*; of accidental misfortunes which befall men when God's guidance is withdrawn, Cyr.*ador.*1(1.11C); of undesired consequences of pursuit of pleasure, *ib.*(10D); of accidental illness, *ib.*14(481A); **b.** *unacceptable, hateful ἀ. ἔχει τὰς τῶν παρανόμων ὁδούς* Or.*exc.in Ps.*36:23(M.17.133B); *ἡ... συναγωγὴ...γέγονεν ἀ.* Cyr.*glaph.Dt.*2(1.420E); *ἀ. ποιεῖται τὴν ἱερωσύνην* id.*Mal.*12(3.829C); *ἐν Χριστῷ...ἐσμεν οὐκ ἀ. τῷ θεῷ* id.*ador.*11 (1.756A); **2.** ref. God; **a.** of God's unwillingness to punish *ἀγαθὸς... καὶ φιλοικτίρμων ὁ θεὸς...ἀ. ἔχει τὸ πλήττειν* id.*Os.*6(3.166B); **b.** ref. generation of Son; Arian objection to orthodox denial of Son's generation by Father's will *εἴπερ ἐστὶν ἀ. ὁ υἱὸς τῷ πατρί, τέτοκεν οὐχ ἑκών* id.*dial.Trin.*2(5¹.454A); **3.** ref. Christ; of Passion as ἀ. in rel. to Christ's human will, v. *θελητός*.

B. act., *without volition οὐκ ἀ. ἡ ἡμετέρα φύσις, ἐπεὶ μηδὲ ἀνθρώπου* Max.*opusc.*(M.91.157B); *ἆρα οὖν ἀ. ἄνθρωπός ἐστιν; οὐδαμῶς* Jo.D.*volunt.*28(M.95.165C).

***ἀνεθελήτως**, **1.** *not deliberately*; **a.** in gen., ref. sins committed involuntarily, Cyr.*Ps.*24:7(M.69.848D); ref. belief that departed souls can be subject to evil spirits *ἀ. ἀκολουθεῖν περιτρέπουσιν εὐκόλως οἵπερ ἂν ἕλοιντο τυχόν* id.*ador.*6(1.188A); **b.** Trin.; ref. question *πότερόν ποτε θελητῶς, ἤγουν ἀ. ὁ θεὸς...ἐκτέτοκε τὸν υἱόν* id.*dial.Trin.*2(5¹.454A), v. *θελητῶς*; **c.** ref. recording by evangelists of Christ's predictions of Passion *ἵνα μήτις...τῆς...δόξης καταπαίρηται, λέγων, ὡς...βρόχοις τοῖς Ἰουδαίων ἀ. περιπεσών* id.*Jo.*9 (4.720A); **2.** ref. God's reluctance to punish sinners *μόνον...οὐχὶ καὶ ἀ. αὐτοὺς καταπαιδεύοντος* id.*Am.*2(3.296D); **3.** *so as to be displeasing, distasteful εἰ πράττοιτό πως ἀ. αὐτῷ* [sc. God] id.*Os.*4(3. 119A).

ἀνείδεος, **A.** *without form.*

B. *formless*, i.e. *without visible shape*; **1.** in gen. *οὐδὲ τὰ πνευματικὰ καὶ νοερά, οὐδὲ οἱ ἀρχάγγελοι...οὐδὲ μὴν οὐδ' αὐτὸς* [sc. Christ] *ἄμορφος καὶ ἀ.* Clem.*exc.Thdot.*10(p.109.17; M.9.660B); *ἡ...νοητὴ φύσις ἀσώματόν τι χρῆμά ἐστι καὶ ἀναφὲς καὶ ἀ.* Gr.Nyss.*or.catech.*6 (p.29.10; M.45.25C); **2.** of God, acc. Greek philosophers, v. *ἀσώματος*; acc. Christian writers, Thdt.*Is.*44:12(p.176.1; 2.341); id.*qu.6o in Ex.*(1.163) cit. s. *ἀσχημάτιστος*; Ammon.*Ac.*17:29(M.85.1565A); ‡Caes.Naz.*dial.*40(M.38.905); Jo.D.*imag.*1.8(M.94.1237D); partic., of Father, Gr.Nyss.*Eun.*12(1 p.274.9; M.45.980D); of Son, as of Father, Bas.*Eun.*1.23(1.234B; M.29.561C) cit. s. *ἀσχημάτιστος*; Gr. Naz.*or.*37.2(M.36.285A); of Christ's divinity *τοῦ Ἰησοῦ θεότης... ἀ. ἐν τοῖς εἴδεσιν, ὡς ὑπὲρ εἶδος* Dion.Ar.*d.n.*2.10(M.3.618C); *σαρκοῦται μὲν ἀτρέπτως ὁ ἀ.* Procl.CP *fr.*(M.65.888D)ap.Cyr.*ep.*55(p.60. 15; 5².189E); *τὸν ἐν αὐτῇ κυοφορούμενον ἀ. θεόν* ‡Ath.*annunt.* 10(M.28.932A); *τὸν δι' ἡμᾶς ἐν ὕλῃ καὶ εἴδει καθ' ἡμᾶς...γενόμενον θεὸν λόγον, τὸν κατὰ φύσιν κυρίως ἄυλον καὶ ἀ.* Max.*ambig.*(M.91. 1273C).

C. *free from (not bound by) shape*; hence **1.** *spiritual*, v. *ἄυλος*; **2.** *unshaped καρδία...ἀ. τῷ θεῷ καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην* †Marc.Er.*temp.*24(M.65.1064B).

D. *unshapely, ugly*, Dion.Ar.*e.h.*2.3.8(M.3.404C); *ἀ. δὲ ἐν τοῖς οὖσι τὸ δυσειδὲς ἀπεκάλεσαν οὐχὶ τὸ εἴδους πάντη ἀμέτοχον* Max.*schol.* ad loc.(M.4.133A); of persons, Ant.Mon.*hom.*47(M.89.1580D).

***ἀνειδεότης**, ἡ, *formlessness*, Didym.*Trin.*1.27(M.39.404B).

***ἀνειδέως**, *without form*, of H. Ghost *παρὼν μὲν τοῖς ὅλοις ἀύλως, ἀ.* Didym.*Trin.*2.4(M.39.484B).

ἀνειδωλοποιέω, **1.** *make idols* or *images*, Eus.*Is.*46:4(M.24.421B); *make images of*, id.*p.e.*5.3(183C; M.21.317B); *make into idols νεκρῶν ...εἰκόνας ἀ.* id.*d.e.*8 proem.(p.350.22; M.22.569C); **2.** *make into an object of worship, idolize τῶν ἐν ὑμῖν παθῶν ἀ. τύπους* Clem.*prot.* 2(p.19.24; M.8.96B); *ib.*5(p.48.32; 165A); id.*str.*6.16(p.507.11; M.9. 377B).

***ἀνειδωλοποιΐα**, ἡ, *formation of image in the mind*, Clem.*str.*4.22 (p.310.3; M.8.1349A).

***ἀνείδωλος**, *free from mental images* or *dreams*, Evagr.Pont.*cap. pract.*55(M.40.1248A); Marc.Er.*opusc.*1.141,142(M.65.921D); Jo.Clim. *scal.*15(M.88.881A).

***ἀνειδώλως**, *without mental images* or *dreams*, Jo.Clim.*scal.*15 (M.88.881A).

ἀνείκαστος, *beyond conjecture* or *comparison*; **1.** in gen., *immense*; *innumerable*, Areth.*Apoc.*29(M.106.648A); *unimaginable ἐν δόξῃ ἀ.* Ephr.2.70A; **2.** of God *τὸν ποιητὴν ἀ. A.Xanthipp.*6(p.61.35); Gr.Naz.*or.*28.13(p.43.3; M.36.44A); Jo.D.*imag.*1.8(M.94.1237D); God's mercy, Anast.S.*Ps.*6(M.89.1093A); power, *Lit.Bas.*(p.310.17); glory, Gr.Nyss.*Eun.*3(2 p.37.3; M.45.604C); **3.** of Christ *ἀ. ἡ κατὰ τὸ ἀνθρώπινον τοῦ κυρίου ὑπεροχή* Proc.G.*Is.*2:1f.(M.87.1872B); *ἰσχὺν ἀ.* ‡Meth.*Sym.et Ann.*7(M.18.364B); †Jo.D.*B.J.*24(M.96.1077B).

***ἀνεικάστως**, *incomparably*, Leont.N.*v.Sym.*8(M.93.1680A).

ἀνεικόνιστος, *that cannot be portrayed τὸ ἀ. τοῦ θεοῦ* Clem.*str.*1.24 (p.102.17; M.8.909C).

ἀνειλέω, pass.; **1.** *be unrolled, develop*, Gr.Thaum.*pan.Or.*7(p.20. 18; M.10.1076B); **2.** of planets; *revolve*, Gr.Nyss.*Eun.*12(1 p.236.22, v.l. *εἱλουμένων* M.45.933C).

ἀνείμων, *unclad*, Eus.*v.C.*4.28(p.128.11; M.20.1177A); Cyr.*glaph. Gen.*1(1.6C); fig., id.*Is.*3.1(2.351B).

ἀνεῖπον, *announce, proclaim*; *repeal, revoke*, *V.Aberc.*66(p.47. 12).

ἀνέκβατος, **1.** *from which there is no outlet, inescapable*, Ph.Carp. *Cant.*proem.(M.40.28A); *δύο ῥήσεων...μιᾶς ἀνυπερβάτου καὶ ἑτέρας ἀ.* Bas.*Eun.*2.14(1.249B; M.29.600A); **2.** *not coming to pass, not coming true*; of oracular predictions, ‡Just.*qu.et resp.*146(M.6.1400B).

***ἀνεκδειματίστως**, *fearlessly*, Jo.Clim.*past.*15(M.88.1204A).

ἀνεκδιήγητος, **1.** *indescribable, ineffable*, of God *καλοποιᾷ ἀνεκδιήγητος* Thphl.Ant.*Autol.*1.3(M.6.1028C); *τὸν ἀνεξιχνίαστον καὶ ἀ.* Cyr.H.*catech.*7.11; attributes and activity, Athenag.*leg.*10.1(M.6. 908B); *ἀ. τοῦ θείου κάλλους αἱ ἀστραπαί* Bas.*reg.fus.*2.1(2.337B; M.31. 909C); Jo.Mosch.*prat.*79(M.87.2937B); Anast.S.*Ps.*6(M.89.1093A); of Son *ἀ. ὑπόστασις* Alex.Al.*ep.Alex.*4(p.22.24; M.18.553C); of his generation, Gr.Nyss.*Eun.*1(1 p.108.11; M.45.311C); of Inc., ref. Is.53:8 *ἀ. τὸ γένος* Just.*1apol.*51.1(M.6.404B); Jo.V H.*icon.*5(M.96. 1353C); of Christ's body, Epiph.*exp.fid.*17(p.519.3; M.42.817B); of anointing of Christ, opp. that of David, ‡Ath.*sem.*10(M.28.156C); of Christ's *φιλανθρωπία*, Epiph.*haer.*69.69(p.218.6; M.42.313D); of H. Ghost, Or.*exp.in Pr.*18:4(M.17.204A); of pentecostal grace, Gr. Nyss.*Spir.*(M.46.697B); *τὸ ἀ. τῆς ἐνεργείας* Chrys.ap.*cat.Jo.*7:38 (p.269.26); cf.id.*hom.51.1 in Jo.*(8.300B *ἄφατον*); of supernatural gifts, *1Clem.*49.4; salvation, Mac.Aeg.*hom.*2.3(M.34.465B); heavenly joy, Ammon.*Ac.*14:21(M.85.1548A); of demoniac possession *ἀ. συμφορᾷ* Pall.*h.Laus.*44(p.131.22; M.34.1209D); **2.** *not recounted, unrelated οὐδὲ ἀ. ἐᾶσαι τὰς συκοφαντίας* CSard.*ep.cath.*(p.122.32; M.25. 333C).

***ἀνεκδιηγήτως**, *indescribably*, Trin. *ἀ. τῆς τριάδος οὔσης ἐν ταυτότητι δοξολογίας* Epiph.*haer.*74.12(p.330.15; M.42.497C); *ib.*76.46(p.400. 7; 613C); *ib.*76.47(p.401.2; 616B); of generation of Son, Alex.Al.*ep. Alex.*12(p.27.7; M.18.565B); Epiph.*haer.*62.3(p.392.13; M.41.1053C); of Inc. *ἀ. συνελήφθης* Hesych.H.*Ps.tit.*65.4(M.27.904D).

ἀνεκδίκητος, *unavenged, unpunished*; *not worthy of punishment*, CAlex.(338)*ep.*ap.Ath.*apol.sec.*19(p.101.19; M.25.280B).

ἀνεκλάλητος, **1.** *unutterable, ineffable*; of God, Gr.Nyss.*or.catech.* 14(p.62.11; M.45.45D); *ἔχων...φῶς ἀ. cat.2Cor.*8:9(p.402.21); of generation of Son, Gr.Naz.*or.*29.4(p.78.8; M.36.77C); of birth of Christ, Isid.Pel.*epp.*1.377(M.78.396B); of things supernatural: light of star at Nativity, Ign.*Eph.*19.2; *τὰ ἀ. μυστήρια* Clem.*q.d.s.*36(p.183.22; M.9.641B); *ἀναπαύσεως ἀ.* Mac.Aeg.*hom.*2.5(M.34.468A); joy, Ath. *v.Anton.*36(M.26.896C); good things promised by God, Thal.*cent.* 4.9(M.91.1460A); of Valent. aeons Father and Truth, Iren.*haer.*1. 14.5(M.7.604B); **2.** *not expressing itself in words νοῦν ἀ.* Gr.Naz.*ep.* 119(M.37.213C); id.*or.*43.13(M.36.512C).

***ἀνεκλαλήτως**, *ineffably*, Mac.Aeg.*hom.*4.12(M.34.481B); ‡Ath. *annunt.*6(M.28.925A).

[*]**ἀνεκλειπής**, v. *ἀνεκλιπής*.

ἀνέκλειπτος, *unfailing*, ref. Lc.12:33 *σοφίας δὲ θησαυροὶ ἀ.* Clem. *paed.*3.12(p.284.14; M.8.665C); of God *θησαυρὸς ἀ.* id.*str.*4.6(p.263. 9; M.8.1245A); *ἀ. αἰτίαν, καὶ διονομὴν τῶν...δώρων* Dion.Ar.*d.n.*2.1 (M.3.637C); of God's pity, *Hom.Clem.*3.29; power, Dion.Ar.*d.n.*8.5 (892C); of angelic life, *ib.*4.1(693C).

ἀνέκλεκτος, *ineffable*; of H. Ghost, Didym.*Trin.*2.4(M.39.484A).

[*]**ἀνεκλιπής**, = *ἀνελλιπής*, *unfailing*, ref. Lc.12:33 *πλοῦτος ἀ. ἡ δυσθήρατός ἐστι σοφία* Clem.*str.*5.4(p.340.24, v.l. *ἀνεκλειπὴς* M.9. 41B).

***ἀνεκμέτρητος,** *immeasurable,* Cyr.*Jo.*1.3(4.25E).

ἀνέκνιπτος, *not washed out*; met., of sin, Cyr.*ador.*8(1.254D).

[*]ἀνέκπλυντος, = *ἀνέκπλυτος, indelible,* Bas.*mor.*14.2(3.551B; M.32.1300D); cf.id.*hom.in Ps.*33(1.147C; M.29.361A).

ἀνεκποίητος, *inalienable,* Cyr.*ador.*13(1.470A); of inheritance of kingdom of heaven, id.*glaph.Gen.*6(1.204E); Proc.G.*Lev.*24:19 (M.87.784C).

***ἀνεκπόμπευτος,** *without public display, quiet, secret* ἀ. μυήσεσιν Dion.Ar.*e.h.*7.3.10(M.3.565C); id.*c.h.*15.8(M.3.336D); Max.*cap.*3.38 (M.90.1276C).

***ἀνεκπομπεύτως,** *without public display, secretly,* Dion.Ar.*c.h.* 15.6(M.3.336A); id.*e.h.*4.3.2(M.3.476C).

***ἀνεκπόρευτος,** *not proceeding,* of Father *γεννητικὸς τοῦ λόγου... καὶ ἐκπορευτικὸς τοῦ πνεύματος, καὶ* ἀ. Leont.H.*Nest.*1.29(M.86. 1496A).

***ἀνέκπτωτος,** *not altering,* of Christ *ἑαυτοῦ καθ' ἑκάτερον* [sc. nature] *ἀεὶ μένων* ἀ. ‡Hipp.*Ber.Hel.*4(p.324.7; M.10.536C).

ἀνέκπυστος, *not learnt, unheard,* Synes.*ep.*137(M.66.1525C).

***ἀνεκρίζωτος,** *uneradicated,* ‡Just.*qu.et resp.*1(M.6.1249A).

***ἀνεκτίθημι,** *tell of, recount* *οἱ ἀπὸ δούλων ἐξευγενισθέντες οὐ κατοκνοῦσι πολλάκις τὴν δουλείαν τῶν πατέρων* ἀ., *ἵνα χάριν δῶσι τῷ ἐλευθερώσαντι* ‡Ath.*diab.*6(p.7.27).

ἀνεκτότης, ἡ, *absence of constraint, freedom* ἀ. *βίου* Bas.*renunt.*1 (2.202C; M.31.625D); *ἐλεύθερον περιπατεῖν ἐν* ἀ. Mac.Aeg.*hom.*11.12 (M.34.553B); *V.Zos.*13(p.104.31).

***ἀνεκτρέφω,** *bring up, rear,* Ant.Mon.*hom.*83(M.89.1685B).

ἀνεκτῶς, 1. *patiently,* Gr.Nyss.*mart.*3(M.46.781D); **2.** *without restraint, freely,* Pall.*v.Chrys.*17(p.108.4; M.47.60).

ἀνέκφαντος, *that cannot be revealed,* of God *τὴν ὑπερούσιον οὐσίαν ...*ἀ. Dion.Ar.*d.n.*5.1(M.3.816B).

***ἀνεκφοιτάω,** *depart,* Jo.D.*f.o.*4.20(M.94.1196C).

ἀνεκφοίτητος, *not departing* from, hence *inseparable*; **1.** Trin., Dion.Ar.*d.n.*2.4(M.3.640D) cit. s. *ὑπερίδρυσις*; ἀ. ... *διὰ τὴν τῆς οὐσίας ταυτότητα* †Proc.G.*Procl.*(M.87.2792[11]A); †Alex.Sal.*cruc.epit.* (M.87.4088A); ἀ. *δὲ αὐτάς* [sc. *ὑποστάσεις*], *καὶ ἀδιαστάτους ἀλλήλων* Jo.D.*f.o.*3.5(M.94.1000B); ἀ. *ἔχοντες τὴν ἐν ἀλλήλοις ἵδρυσιν* id.*Jacob.* 78(M.94.1476B); **2.** of the Son in relation to Father, id.*f.o.*4.18 (M.94.1181B); ‡Meth.*Sym.et Ann.*4(M.18.356B); in Inc. *πάντων τῶν ἑαυτοῦ μεταδιδοὺς τῇ σαρκί,* ἀ. *μεμένηκεν ἑαυτοῦ* Leont.B.*Nest.et Eut.* 2(M.86.1336D); **3.** of H. Ghost ἀ. *πατρὸς καὶ υἱοῦ* Jo.D.*f.o.*1.8(M.94. 821C); **4.** of eternal generation of Son, Leont.H.*Nest.*4.9(M.86. 1669C); **5.** of distinctions within Godhead, Dion.Ar.*d.n.*2.11(M.3. 652A) cit. s. *διάκρισις.*

***ἀνεκφοιτήτως,** *without departure*; hence *without separation,* Dion.Ar.*d.n.*2.11(M.3.649B) cit. s. *ἑνικῶς*; *Ἰησοῦς ὁ κύριος...*ἀ. *ταῖς ἀπὸ μονάδος προόδοις πρὸς ἑαυτὸν μοναδικῶς πάλιν ἀποκαθιστάμενος* Max.*ambig.*(M.91.1400C); of Son in relation to Father, *cat.Apoc.* 12:7f.(p.359.4); Jo.D.*hom.*4.4(M.96.605A); *ἀχωρίστως καὶ* ἀ. *γεννώμενος ib.*1.18(572D).

ἀνέκφραστος, *inexpressible, unutterable*; **1.** of God ἀ. *οὐσίας* Eus.*e.th.*2.6(p.103.20; M.24.908A); Serap.*euch.*13.2; *cat.2Cor.*8:9 (p.402.20); *Lit.Chrys.*(p.322.2); of divine attributes and activity, Thphl.Ant.*Autol.*1.3(M.6.1028B); *ib.*1.5(1032A); ἀ. *ἐστιν ὡς πρὸς ἄνθρωπον ἡ κατ' αὐτὸν δημιουργία ib.*2.18(1081A); Eus.*p.e.*3.6(97B; M.21.177D); *ib.*7.15(325A; 549B); Cyr.*dial.Trin.*2(5[1].445D); *τῆς σῆς περὶ ἡμᾶς κηδεμονίας τὸ* ἀ. *μέγεθος* ‡Meth.*Sym.et Ann.*8(M.18.365C); **2.** of Son *τὸ...*ἀ. *τῆς θεότητος φῶς* †Hipp.*theoph.*3(p.258.31; M.10. 853C); *ἡ ἀνωτάτω σοφία...θεῖά τις οὖσα καὶ* ἀ. *δύναμις* Eust.*fr.Pr.* 8:22(M.18.684B); Ammon.*Jo.*1:5(M.85.1393D); *θεὸς ὢν...*ἀ., *ἦλθες ἐπὶ τῆς γῆς Rit.Bapt.*(p.400); of Son's generation, Eus.*ep.Caes.*6 (p.45.19; M.20.1541B)ap.Ath.*decr.*33(p.30.26); Sophr.H.*ep.syn.*(M.87. 3164A); of union of natures in Christ, ‡Ath.*Ar.*4.32(p.81.7; M.26. 517B); ἀ. *συνανακράσεως* Gr.Nyss.*or.catech.*16(p.70.13; M.45.52B); **3.** of H. Ghost *σοφίᾳ τῇ* ἀ. Clem.*paed.*3.12(p.291.6; M.8.680C); **4.** of divine mysteries ἀ. *γὰρ τὰ περὶ θεοῦ* Cyr.*Jo.*5(4.450E); Anast.S.*qu. et resp.*76(M.89.705A); Gnost. *ὦ χάρις* ἀ. *ἐπὶ ὀνόματι σταυροῦ εἰρημένη A.Petr.c.Sim.*37(p.90.20); **5.** of things pertaining to life after death, Gr.Nyss.*or.catech.*8(p.49.3; M.45.37B); *τρυφὴν* ἀ. Mac.Aeg. *hom.*4.12(M.34.481B); †Jo.D.*B.J.*8(M.96.921A); **6.** of human thought about God ἀ. *μένει περὶ θεοῦ τὰ νοήματα* Gr.Nyss.*hom.3 in Cant.* (M.44.820C).

***ἀνεκφράστως,** *inexpressibly, unutterably*; of Son's generation, †Ath.*exp.fid.*1(M.25.201B); Gel.Cyz.*h.e.*2.15.3(M.85.1257C); of Trin. *μονὰς* ἀ. *ἐν τριάδι προσκυνουμένη* Zach.Mit.*opif.*(M.85.1141B).

ἀνεκφώνητος, 1. *inexpressible*; of the divine nature, Gr.Nyss.*deit.* (M.46.573D); id.*hom.11 in Cant.*(M.44.1013C); *ib.12*(1028B); **2.** *unutterable,* ref. 2Cor.12:3f., id.*Eun.*1(1 p.114.7; M.45.349A); *not to be pronounced*; of tetragrammaton, Eus.*d.e.*9.7(p.420.29; M.22.677C); Bas.*Spir.*44(3.37E; M.32.149A); Leont.H.*Nest.*5.16(M.86.1737D).

ἀνελάττωτος, *undiminished,* of God *τῇ* ἀ. *χύσει τῶν ἀμειώτων αὐτοῦ μεταδόσεων* Dion.Ar.*d.n.*2.11(M.3.649C); of Logos in Inc. ἀ. *κατὰ τὴν θείαν οὐσίαν* Apoll.*corp.et div.*6(p.188.2; M.*PL.*8.874A); *τὴν θεϊκὴν τῆς οὐσίας αὐτοῦ πρὸς τὸν πατέρα δόξαν τε καὶ ταυτότητα διηνεκῶς μένειν* ἀ. Max.*ep.*12(M.91.468D); of angelic powers *τὴν* ἀ. *ἔφεσιν τοῦ ἀγαθοῦ* Dion.Ar.*d.n.*8.4(892C).

ἀνέλεγκτος, 1. *not proved guilty, innocent,* Just.*1apol.*7.4(M.6. 337B); **2.** *unconvicted* of sin, Or.*Jo.*6.58(38; p.167.15; M.14.301B); **3.** *irrefutable,* Just.*2apol.*13.3(M.6.465C); Synes.*ep.*148(M.66.1545B; l. *ἀνεξέλεγκτα*).

***ἀνελεεινός,** *unmerciful*; comp., ‡Chrys.*virg.corrupt.*(9.826D).

***ἀνελεημοσύνη, ἡ,** *unmercifulness*; of men, Chrys.*hom.11.7 in Mt.*(7.158A); ref. Mt.25:41 *ἡ* ἀ. *οἰκήτορας τῆς γεέννης ἐποίησεν ὑμᾶς* Eus.Al.*serm.*21.5(M.86.429C); of demons, Esaias *cap.spir.*13(M.40. 1209B).

ἀνελεήμων, *merciless*; *not generous, not giving alms,* Leont.N. *v.Jo.Eleem.*22(p.40.23); *ib.*(p.41.1).

ἀνελευθέριος, *unbefitting a free man*; comp., Chrys.*hom.1.3 in 2Tim.*(11.663B).

***ἀνέλευσις, ἡ,** *ascent* *τὴν* ἀ. *τοῦ Χριστοῦ εἰς οὐρανόν* Just.*1apol.* 26.1(M.6.368A); id.*dial.*39.4(M.6.560C); *ib.*87.6(684C).

***ἀνελθετέον,** *one must ascend,* met. *ἀφ' ὧν* [sc. *τῶν γραφῶν*] ἀ. *πρὸς τὸν Ἰησοῦν* Or.*Jo.*13.6(p.231.8; M.14.408B).

ἀνελίσσω, 1. *unroll*; met., *retrace τὴν αὐτὴν αὖθις* ἀ. *ὁδόν* Cyr.*Jo.*4.3 (4.381E); **2.** *roll over, turn over,* Chrys.*laed.*6(3.452A); id.*hom.25.4 in Heb.*(12.234C); met. *τοῦτον τὸν φόβον ἀεὶ παρ' ἑαυτῷ ἀνείλιττε* id. *Saturn.*5(3.409C); **3.** *multiply,* Areth.*Apoc.*10(M.106.569A).

[*]ἀνελλειπῶς, v. *ἀνελλιπῶς.*

ἀνελλιπής (-ειπής), 1. *unfailing, unceasing*; of God, *Const.App.* 7.35.9 cit. s. *διαμονή*; of divine grace or power ἀ. *τηρῶν ἐν ἡμῖν τὸ πνεῦμα τῆς χάριτός σου ib.*8.16.5; ἀ. *γὰρ ἡ δύναμις* [sc. *τοῦ Χριστοῦ*] *πᾶσιν ἐξαρκοῦσα τοῖς δεομένοις* Vict.*Mc.*7:25(p.337.29); c. genit., *unfailing in,* of Son ἀ. ... *τοῦ ἐλέους καὶ τῆς ἀληθείας* Or.*Ps.*60:7f. (p.69); of grace of H. Ghost *τὸ* ἀ. *τῆς χορηγίας* Chrys.*hom.51.1 in Jo.*(8.300B); of eternity, Clem.*prot.*9(p.64.4; M.8.196C) cit. s. *συνεκτείνω*; ἀ. ... *αἰῶνας Lit.*ap.*Const.App.*8.12.50; future life *παλιγγενεσίαν* ἀ. *cat.Apoc.*2:8(p.205.8); of things spiritual and therefore abiding, *M.Seb.test.2.1*; of prayer *θησαυρὸς* ἀ. Chrys.*incomprehens.* 5.6(1.488B); **2.** abs., *without defect* or *deficiency, perfect*; **a.** of Trin. *ἕκαστον πρόσωπον ἀμέριστον καὶ* ἀ. *καὶ τελείαν ἔχει θεότητα* Sophr.H. *ep.syn.*(M.87.3157B); **b.** of God, ref. Creation *πρὸ τοῦ ἐργάσασθαι, καὶ μετὰ τὸ ποιῆσαι, ὁμοίως* ἀ. *μένει* Chrys.*hom.5.3 in Jo.*(8.38E); ref. goodness, wisdom, and power, Jo.D.*f.o.*1.5(M.94.801A); of Father *ἀεὶ δὲ παρόντος αὐτῷ τοῦ υἱοῦ, ἀεί ἐστιν ὁ πατὴρ τέλειος,* ἀ. *τυγχάνων ἐν τῷ καλῷ* Alex.Al.*ep.Alex.*7(p.23.30; M.18.557B); of Son *τὸ* ἀ. *τοῦ υἱοῦ ὡς πρὸς τὸν πατέρα* Gr.Nyss.*fid.*(M.45.140D); **c.** of Son, ref. perfect divinity ἀ. *εἰς θεότητος ἀξίαν* Cyr.H.*catech.* 4.7; and humanity, ‡Ath.*Apoll.*1.16(M.26.1124A) cit. s. *τέλειος*; Thdt.*eran.*2(4.84); *οὐκ...τολμητέον εἰπεῖν ὡς ἡ σαρξ οὐκ* ἀ. *ἦν ἐν τοῖς οἰκείοις ἰδιώμασιν* Ephr.Ant.*fr.*(M.86.2105B); Max.*Pyrr.*(M.91.320C); id.*opusc.*(M.91.73C); *υἱὸς τοῦ θεοῦ...*ἀ. *καὶ ἀδιαίρετος, ἐν τῷ σταυρῷ* Anast.S.*hod.*12(M.89.197D); **d.** of divine will, Bas.*reg.br.*276(2.512E; M.31.1276C); of decalogue *νόμον* ἀ. *Const.App.*6.19.2; of bodies at resurrection, Gr.Nyss.*res.*3(M.46.660C); ‡Caes,Naz.*dial.*30(M.38. 892); of moral perfection, Gr.Nyss.*hom.11 in Cant.*(M.44.1001D); in gen., *complete,* id.*hex.*24(M.44.85C); Cyr.*Is.*5.1(2.742A); hence of a sentence, *unelliptical,* Areth.*Apoc.*1(M.106.509A); **3.** c. genit.; *not wanting in, not lacking,* of God ἀ. *γὰρ ἀγαθοῦ παντὸς ἡ τῆς θεότητος ὡμολόγηται φύσις* Gr.Nyss.*Eun.*6(2 p.135.8; M.45.720B); of men *ὧν* [sc. *ἁμαρτιῶν*] *οὐδεὶς* ἀ. Marc.Er.*opusc.*3.12(M.65.981D).

ἀνελλιπῶς (-ειπῶς), *without defect* or *deficiency, perfectly*; **1.** Trin. *μιᾶς ἀμερίστως καὶ* ἀ. *τὰ τρία πρόσωπα πληρούσης θεότητος* Sophr.H. *ep.syn.*(M.87.3157C); **2.** of eternity of Son *διαιωνίζοντα...κατ' ἀρχὴν μέν,* ἀ., *κατὰ τέλος δέ,* ἀδιαδόχως Areth.*Apoc.*1(M.106.512D); **3.** of perfection of divine and human natures in Christ, ‡Cyr.H.*occurs.* 4(M.33.1192A); Max.*opusc.*(M.91.73C); Jo.D.*volunt.*10(M.95.141A); **4.** in gen. ἀ. *καὶ βεβαίως πᾶσαν τὴν πίστιν ἔχειν* Or.*Jo.*32.16(9; p.452.14; M.14.784B); Cyr.H.*catech.*17.34; †Gregent.*leg.Hom.*53(M. 86.609A); hence *without omission* of words, *without ellipse,* Areth. *Apoc.*1(M.106.508D); c. *ἔχειν, be perfect, Disp.Phot.*(M.88.577A).

ἀνελπιστία, ἡ, 1. *despair* of salvation; prevented by mercy of God, Thdr.Heracl.*Is.*28:5(M.18.1317A); *πρὸς δὲ τὸν ἅπαξ εἰς ἁμαρτίαν ὀλισθήσαντα μὴ ἑαυτὸν προέσθαι διὰ τῆς* ἀ. *ἀγαθὴ ἡ ἐλπὶς τοῦ*

ἐλέους Bas.*hom.in Ps.*61:13(1.198E; M.29.489C); Chrys.*hom.10.3 in Heb.*(12.107D); by prayer ὁ εὐχόμενος, ἀπέχεται ἀνελπιστίας Marc. Er.*opusc.*2.24(M.65.933C); and confession, †Jo.Jej.*serm.*(M.88.1920A); temptation to despair as work of Devil, *cat.1Jo.*5:16f.(p.143.18); **2.** *failure to expect, want of hope* δῶρον μὲν διὰ τὴν ἀ. τῆς ἀπολήψεως Bas.*hom.in Ps.*14:5(1.112E; M.29.277C); τῶν κατὰ τὴν πίστιν νεοπαγῶν ἡ διάνοια, εἰς παντελῆ τῶν ἀγαθῶν ἀ. ἐκπίπτει Gr.Nyss.*v.Mos.*(M.44.360D); ἡ τῶν μελλόντων ἀ. Chrys.*hom.37.1 in Jo.*(8.211C); Ant.Mon.*hom.*10(M.89.1461B); in myst. life τραυματίζεται [sc. ἡ ψυχή] τῇ ἀ. τοῦ ποθουμένου Gr.Nyss.*hom.12 in Cant.*(M.44.1037B); **3.** *unexpected event* εἶτα πάλιν ἄλλη ἀ. Chrys.*hom.16.1 in Ac.*(9.128B).

[*]**ἀνεμαῖος,** prob. for ἀνεμιαῖος, *windy*; of a spider's web, Ast. Am.*hom.*1(M.40.165B).

ἀνέμβατος, *inaccessible*; met., of God, Cyr.*dial.Trin.*4(5[1].511E); ἀ. γὰρ τῇ κτίσει...τὰ μόνης καὶ ἰδικῶς τῆς ἀνωτάτω πασῶν οὐσίας id. *Juln.*2(6[2].62C); πᾶσι τοῖς γεγόνοσιν ἀ. id.*Jo.*4.1(4.348E); ἀ. γὰρ τοῖς πολλοῖς ἡ τῆς ἄγαν ὑπερτενοῦς γνώσεως χάρις id.*ador.*7(1.224E).

*ἀνεμεσί, *without anger*, Leont.H.*Nest.*4.9(M.86.1668D).

*ἀνέμη, ἡ, *windlass*, *Apophth.Patr.*(M.65.261B).

ἀνεμίζω, 1. *sail with the wind*, Jo.Mosch.*prat.*174(M.87.3044A); **2.** pass., *deteriorate through exposure to air*; of wine, Esaias *or.*12.1 (p.72).

*ἀνεμοκαύσων, ὁ, *burning wind*, Ephr.3.70A.

ἄνεμος, ὁ, *wind*; **1.** lit.; exeg. Ps.134:7, Chrys.*exp.in Ps.*134:7 (5.387Bff.); as cause of all generation (Sethian), Hipp.*haer.*5.19 (p.118.26; M.16.3182C); *ib.*(p.120.1ff.; 3183B); **2.** fig.; evil wind of sin contrasted with divine wind of H. Ghost, Mac.Aeg.*hom.*2.4 (M.34.465Aff.); τὰ ἐνδότερα αὐτῆς [sc. τῆς καρδίας] ἀνενόχλητα ταμεῖα ...ἔνθα οὐκ εἰσὶ πονηρῶν λογισμῶν ἄνεμοι...ὠθοῦντες καὶ ψυχὴν καὶ σῶμα ἐπὶ τοὺς κρημνοὺς τῆς ἡδυπαθείας Marc.Er.*opusc.*4(M.65.1016D); **3.** met.; of God ῥῦσε ἰμᾶς, κ⟨ύρι⟩ε, ἀπὸ κατεγγε⟨λιῶν⟩ φυσῶ σὺ ἀνέμου *MAMA* 1.428; of angels; significance explained, Dion. Ar.*c.h.*15.6(M.3.333Cff.); exeg. Eph.4:14 περιφέρεται δὲ παντὶ ἀ. ὁ παραβεβλημένος, εἴτε διδασκαλίας εἴτε θυμοῦ εἴτε ἐπιθυμίας. ἄ. δὲ τέσσαρες γενικοί, ταράσσοντες τὴν ἀνθρώπου ψυχήν, ἐπιθυμία, φόβος, ἡδονή, λύπη Or.*fr.25 in Jer.*(p.210.28; M.13.593A).

ἀνεμοσκεπής, *sheltering from the wind*, Nonn.*par.Jo.*18:3(M.43.889A).

*ἀνεμοστρόβυλος, ὁ, *whirlwind*, *Apoc.Dan.*C(p.119, v.l. ἀνέμου καὶ στροβύλου).

ἀνεμοφθορία, ἡ, *havoc made by the wind, blasting*, Gr.Naz.*or.*16.5 (M.35.940B); Cyr.*Soph.*6(3.585E).

ἀνεμόφθορος, *blasted by the wind*; **1.** fig. ἀ. τινές ἐσμεν Or. *hom.15.3 in Jer.*(p.127.29; M.13.432C); Nil.*epp.*2.49(M.79.221B); Pall. *h.Laus.*47(p.140.11; M.34.1202A) cit. s: συνιππάζω; **2.** met., *empty, false* ἀ. ... χειροτονίας id.*v.Chrys.*16(p.94.9; M.47.53); δεῖμα...ἀ. Eudoc.*Cypr.*2.157(M.85.852B).

*ἀνέμπαικτος, *free from injury*; neut. as subst., Ephr.3.212E.

*ἀνεμπεπλόκως, c. ἔχειν, *be unable to be united*; of mutually exclusive qualities, Ephr.1.228C.

*ἀνεμπίπτω, *fall into*, ‡Ath.*doct.Ant.*10(M.28.568D).

*ἀνέμπλοος, *not sailing, at rest*, Nonn.*par.Jo.*6:22(M.43.797A).

ἀνεμώδης, *like the wind*, Nonn.*par.Jo.*19:34(M.43.905A); *ib.*20:26 (913A).

ἀνενδεής, A. abs., *in need of nothing*; implying **1.** *self-sufficient*; **a.** of God, Just.*dial.*23.2(M.6.525C); Athenag.*leg.*13.1(M.6.916B); Clem.*prot.*4(p.44.16; M.8.153B); *Lit.*ap.*Const.App.*8.12.6; ἀ. γὰρ ὢν ἡμῶν ὁ δεσπότης, οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν, εἰ μὴ τῶν ῥημάτων μόνον Chrys.*hom.26.5 in Gen.*(4.252E); οὐ δεῖται τῶν ὑμνούντων...ἀ. γὰρ ἔχει τὴν φύσιν Thdt.*qu.4.in Gen.*(1.7); Bas.Sel.*or.*3.2(M.85.49D); Gennad.*fr.Gen.*1:26(M.85.1633C); ἡ δανεισασα [sc. BMV] θεῷ τῷ ἀ. σάρκα ἥνπερ οὐκ εἶχεν ‡Meth.*Sym.et Ann.*10(M.18.373A); neut. as subst., Cyr.*Ps.*15:2(M.69.808B); Jo.D.*f.o.*1.14(M.94.860A); partic. of Father θεοῦ τοῦ ἀ. ἢ τοῦ υἱοῦ αὐτοῦ Or.*Cels.*7.65(p.215.6; M.11.1513A); αὐτὸς γάρ [sc. ὁ Χριστός], ἵν' οὕτως εἴπω, ἐπισκευάζεται ἀεὶ ἀπὸ τοῦ πατρὸς τοῦ μόνου ἀ. id.*Jo.*13.34(p.259.20; M.14.460A); **b.** of Son, Alex.Al.*ep.Alex.*7(p.24.11; M.18.557C); **c.** of stars, Meth. *symp.*8.16(p.104.17; M.18.168C); denied of angels, ref. Ps.77:25, Or.*Jo.*13.33(p.259.3; M.14.457B); **d.** of men, in future life ἵνα ἀεὶ ὦσι καὶ ἀπαθεῖς καὶ ἀ., τοῖς ἡμετέροις διδάγμασι προσέχειν δεῖ Just. *1apol.*57.2(M.6.413C); of risen bodies without physical needs, ‡Just.*qu.et resp.*95(M.6.1337A); in this life, in dependence on God ἀ. τυγχάνει πᾶς ὁ ταύτης [sc. ὁδοῦ i.e. Christ] ἐπιβαίνων Or.*Jo.*1. 27(26; p.34.12; M.14.73A); Cyr.*Lc.*12:24(M.72.740A); ref. Is.40:31, Thdt.*eran.*3(4.192); in gen.; of members of a self-sufficient community, Pall.*h.Laus.*7(p.26.5; M.34.1020C); **e.** acc. Docetae κεκόσμητο μὲν ἀ. πᾶσα ἡ νοητὴ φύσις Hipp.*haer.*8.9(p.228.7; M.16.3351B); **2.** *complete*, ref. Christ ἀ. τελειότητος ‡Ath.*Apoll.*1.5(M.26.1101B); **3.** *unfailing* ἀ. χορηγὸν καὶ ταμίαν θεὸν ἔχοντες Bas.*hom.*8.2(2.64A; M.31.309B).

B. c. genit., *not in need of*; **1.** of God ἀ. αἱμάτων Just.*1apol.*13.1 (M.6.345B); θεότητος ἴδιον τὸ ἀ. παντὸς τοῦ κατὰ τὸ ἀγαθὸν θεωρουμένου νοήματος Gr.Nyss.*Eun.*8(2 p.200.29; M.45.797A); **2.** of men; αὐτάρκης μὲν γενόμενος [sc. 'gnostic'] ἀ. τε τῶν ἄλλων Clem.*str.*7.7 (p.33.17; M.9.464B); *not lacking in* ἀ. ... παντὸς ἀγαθοῦ Cyr.*Os.*7 (3.182E).

*ἀνενδέησις, ἡ, *absence of need*, ‡Chrys.*mart.*2(3.813A).

*ἀνενδείκνυμι, for ἂν ἐνδείκνυμι, Heracleon ap.Or.*Jo.*13.10(M.14. 413C; *ἐνδείκνυμι p.235.1).

*ἀνένδεικτος, *that cannot be shown, of which no instance can be given* τοῖς ἀδυνάτοις καὶ ἀ. Dion.Al.ap.Eus.*p.e.*14.25(778B; M.21. 1280C, perh. for ἀνένδεκτος q.v.).

ἀνένδεκτος, 1. *that cannot be admitted, impossible* ὥσπερ ἀνάγκη τὸ θνητὸν ἀποθνήσκειν καὶ ἀ. αὐτὸ μὴ ἀποθανεῖν...οὕτως ἀνάγκη [sc. ἐλθεῖν τὰ σκάνδαλα] καὶ ἀ. μὴ ἐλθεῖν...ἀ. γάρ ἐστιν ἄνθρωπον εὑρεθῆναι πάντη ἀναμάρτητον Or.*comm.inMt.*13.23(p.242.6; M.13.1156B); ἀ. τὴν σάρκα ὑπὲρ Χριστοῦ παθοῦσαν, μὴ σὺν Χριστῷ βασιλεύειν Epiph. *haer.*42.12(p.158.29; M.41.777C); ἀ. γὰρ κτιστόν τι ἐν τριάδι λέγειν *ib.* 74.12(p.330.10; M.42.497C); neut. as subst., *incapacity* οὔτε οὖν βλαβῆναι δύναται [sc. Christian], οὔτε βλάψαι ἕτερον. τὸ δέ, οὐ δύναται, μὴ ἀδυναμίας νομίσῃς...ἀλλὰ τὸ ἀ. λέγω. ἡ γὰρ φύσις ἐκείνη οὔτε βλάβης ἐστὶ δεκτικὴ οὔτε τοῦ ἀδικεῖν ἕτερον Chrys.*hom.51.4 in Ac.*(9.385A); **2.** *not to be admitted* πολυπραγμοσύνης ἀ. Thdr.Stud. *or.*9.9(M.99.781D).

ἀνενδεῶς, 1. *in need of nothing, without want*, Clem.*str.*7.6(p.23.2; M.9.444A); Bas.*ep.*76(3.171D; M.32.452B); c. ἔχω, *abound* in, of BMV ἀγαθοῖς ἀ. ἔχουσα Thdr.Stud.*nativ.BMV* 4(M.96.684B); **2.** *completely*, Bas.*hex.*5.8(1.47E; M.29.113A); **3.** *unfailingly* ἀ. χορηγεῖσθαι Meth.*symp.*2.4(p.20.4; M.18.52D).

ἀνενδοίαστος, *undoubting*; of faith, Cyr.H.*catech.*23.20; Cyr.*Is.* 4.2(2.609A); of hope, ‡Bas.*const.*26.1(2.576B; M.31.1416B).

ἀνενδοιάστως (-δυάστως), 1. *indubitably; unambiguously, plainly* ἀνακεκαλυμμένως καὶ ἀ. ἡ ἱερουργία ἐπιτελεῖται Thdr.Stud.*praesanct.* (M.99.1688B); **2.** *without doubting* ἀ. φάγε τὸ σῶμα, πίε τὸ αἷμα Gr. Naz.*or.*45.19(M.36.649C); ἀ. παραδεξόμεθα τὰ διὰ θείου πνεύματος χρησμῳδούμενα Cyr.*inc.unigen.*(5[1].694A); *unhesitatingly* ἐν ὅλῳ τῷ πνεύματι ἡμῶν ἀ. ... τὸ ἅγιον πνεῦμα προσκυνεῖν Didym.*Trin.*2.10 (M.39.641B); ἀ. κηρύττομεν Jo.D.*haer.Nest.*43(M.95.221C).

ἀνένδοτος, *not giving way*; **1.** *constant, steadfast*; in martyrdom, *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.22(M.20.417A); ἡ πρόθεσις...ἀ. πρὸς τὸ ἧττον Clem.*str.*3.12(p.231.24; M.8.1177D); ἀρεταί...ἀ. Gr.Nyss.*hom.4 in Cant.*(M.44.837B) etc.; **2.** *stubborn, obstinate*, Or.*enarr.in Job* 41:15 (M.17.1055A); ἀ. γῆν Chrys.*hom.18.1 in Jo.*(8.104B); ἀ. πρὸς μετάγνωσιν Isid.Pel.*epp.*1.154(M.78.285C); neut. as subst., of Pharaoh's heart, †Bas.*Is.*187(1.517C; M.30.437A); **3.** *uninterrupted, unceasing*, Bas.*reg.fus.*12(2.354C; M.31.949A); Diad.*perf.*33(p.36.26); ἀ. ... συμπάθειαν Leont.N.*v.Jo.Eleem.*26(p.54.3).

ἀνενδότως, *without giving way*, hence *steadfastly, Lit.*ap.*Const. App.*8.10.5; *stubbornly*, Chrys.*Stag.*3.14(1.226B); *ceaselessly*, Sophr. H.*mir.Cyr.et Jo.*18(M.87.3476D).

*ἀνένδοχος, *not receptive*, Or.*Jo.*1.34(39; p.43.25; M.14.89C).

[*]**ἀνενδυάστως,** v. ἀνενδοιάστως.

ἀνενεργησία, ἡ, 1. *inactivity, quiescence* τοῦ δὲ θεοφιλῶς αἰτιασαμένου [sc. in baptism]...τὴν τῆς ἐνθέου ζωῆς ἀ. Dion.Ar.*e.h.*2.2.5 (M.3.396A); ἡ σταυροειδὴς δὲ σφραγὶς [sc. in ordination] τὴν ἁπασῶν ὁμοῦ τῶν σαρκικῶν ὀρεξέων ἀ. [sc. ἐμφαίνει] *ib.*5.3.4(512A); ἐν τῷ ἐρήμῳ καθήμενοι, τουτέστιν, ἐν τῇ τῶν κακῶν ἀ. ‡Max.*cap.al.*122 (M.90.1428C); esp. in contemplation, Dion.Ar.*myst.*1.3(M.3.1001A) cit. s. ἑνόω; τῇ τῶν νοήσεων ἀποπαύσει καὶ ἀπολύσει...ἡντινα ἀ. τῆς ἱερᾶς κινήσεως ἐν μὲν τοῖς πρὸ τούτου ἀνοησίαν ἐκάλεσεν· ἐνταῦθα δὲ σκοτεινότατον γνόφον Max.*schol.myst.*1.1(M.4.416C); **2.** *inefficacy, powerlessness*, Andr.Caes.*Apoc.*34(M.106.328B); ἀ. τῆς πολυσχεδοῦς κακίας *ib.*58(404A).

ἀνενέργητος, 1. *inactive*; **a.** denied of Father; ref. generation of Son, Gr.Nyss.*Eun.*4(2 p.78.11; M.45.652C); at time of Inc., *ib.*12 (2 p.288.2; 900C); but implied in heret. arguments εἰ ἄγονος, καὶ ἀ. ὁ θεός· γέννημα γὰρ αὐτοῦ ὁ υἱὸς δι' οὗ ἐργάζεται ‡Ath.*Ar.*4.4(p.49.3; M.26.473B); τὸν δὲ θεόν, σιωπῶντα μὲν ἀ., λαλοῦντα δὲ ἰσχύειν αὐτὸν βούλονται [sc. Arians]· εἶγε σιωπῶν μὲν οὐκ ἠδύνατο ποιεῖν, λαλῶν δὲ κτίζειν ἤρξατο *ib.*4.11(p.55.2; 481A); *incapable of performing* εἰς βλασφημίαν...περιτραπήσεται, δι' ἔνδειαν ὕλης ἄπρακτον καὶ ἀ. τῶν

οἰκείων ἔργων τὸν θεὸν κατεχόντων Bas.*hex.*2.2(1.13D; M.29.32B); **b.** denied of Logos, Gr.Nyss.*or.catech.*1(p.10.17; M.45.16A); of Logos in man αὐτὸν...ἀ. ἔχετε παρ' ἑαυτοῖς, οὐδὲν πράττοντες ἢ νοοῦντες λογικῶς Or.*fr.18 in Jo.*(p.498.4); denied of Christ between Crucifixion and Resurrection, Bas.*hom.in Ps.*44:9(1.166D; M.29.408A); **c.** denied of H. Ghost at Creation, Gr.Nyss.*Maced.*12(M.45.1316C); **d.** of Devil τῷ σταυρῷ βέβλησαι...ἀκίνητος, ἀ. Gr.Naz.*or.* 45.22(M.36.653C); **e.** of Law and prophets, superseded by grace, Mac.Mgn.*apocr.*3.41(p.143.33); **f.** of men ἀ. ἐστιν [sc. ὁ ἐν ἁμαρτίαις], ὡς ὁ καθεύδων Chrys.*hom.18.1 in Eph.*(11.128B); ὁ δὲ βαπτιζόμενος ὑπαρχέτω...ἀ. πρὸς ἁμαρτίαν *Const.App.*3.18.1; σάρκας...ἀ. πρὸς ἁμαρτίαν παρασκευαζέτω Isid.Pel.*epp.*4.3(M.78.1052B); τὸ τῆς λογικῆς ψυχῆς ἡγεμονικὸν...πρὸς τὰς θείας...θεωρίας καὶ λειτουργίας...ἀ. Gr. Agr.*Eccl.*2.12(M.98.836B); of sense of hearing in contemplation, Gr.Nyss.*hom.11 in Cant.*(M.44.993B); **g.** hence of things, *unused* ἄβατον τὸ λουτρὸν...καὶ ἀ. id.*v.Gr.Thaum.*(M.46.925A); **2.** *ineffective* ἀ. ... τὸ κήρυγμα id.*Spir.*(M.46.697D); ἄφωνός τε καὶ ἀ. id.*Eun.* 12(1 p.242.21; M.45.941B); οὐδὲ ἔδει τὴν ἡμετέραν κακίαν νικῆσαι, καὶ ἀ. ποιῆσαι τὴν ἀγαθότητα αὐτοῦ Jo.D.*Man.*1.72(M.94.1572B); **3.** *not made active* τὴν δὲ σάρκα χωρίζων [sc. Marcellus] τῆς τοῦ λόγου ἐνεργείας καὶ καταλιπὼν αὐτὴν...ἀ. ὑπὸ τοῦ λόγου Eus.*e.th.*3.10(p.167. 13; M.24.1020C); *without ἐνέργεια, not having the power of action* οὐδὲ γὰρ τὴν θείαν φύσιν...ἀ. καθορῶμεν· οὔτε μὴν τὴν...ἀνθρωπίνην οὐσίαν...ἀ. ἐπιγινώσκομεν Max.*opusc.*(M.91.96A); εἰ δὲ ἀνεθέλητος ἦν καὶ ἀ., τὸ καθ' ἡμᾶς,...οὐδὲ καθ' ἡμᾶς ὅλως γέγονεν *ib.*(157C); εἰ ἐκ τῆς ἑνώσεως αὐτῷ, κατὰ τὸν ὑμέτερον λόγον, προσγέγονεν ἡ ἐνέργεια, πρὸ τῆς ἑνώσεως ἄρα ἀ. ἦν id.*Pyrr.*(M.91.340D); **4.** *deprived of functions* in Church ἀκοινώνητοι...καὶ ἀ. παρὰ τῆς οἰκουμενικῆς συνόδου γεγόνασι CEph.(431)*ep.*(*ACO* 1.1.3 p.33.8; H.1.1592D); πάσης ἐκκλησιαστικῆς κοινωνίας...ἐκβεβλημένος καὶ ἀ. ὑπάρχων CEph.(431) *can.*1.

***ἀνενθρονίαστος,** *unconsecrated,* Thdr.Stud.*epp.*2.219.15(M.99. 1665B).

ἀνενθύμητος, *inconceivable*; of generation of Son, Eus.*d.e.*5.1 (p.213.5; M.22.353B).

ἀνεννόητος, A. *inconceivable, beyond one's conception*; **1.** of God, Mac.Aeg.*hom.*4.10(M.34.480B); Max.*schol.d.n.*1.5(M.4.201D); of God's wisdom, Meth.*symp.*8.16(p.105.11; M.18.168D); goodness in Inc., Mac.Aeg.*hom.*4.9(480A); grace, Hipp.*haer.*6.40(p.171.16; M.16. 3258C); neut. as subst.; of Father, Iren.*haer.*1.15.5(M.7.625B); of union of Christ's natures, Leont.B.*fr.*(M.86.2005D); κατὰ χάριν ἔχοντες ἐν ἑαυτοῖς τὸν θεὸν ἀρρήτῳ τε λόγῳ καὶ ἀ. τῇ διανοίᾳ θεοφόροι ...λέγονται Max.*schol.c.h.*7.1(M.4.68B); **2.** of Valent. ogdoad, Iren. *haer.*1.11.5(M.7.568B); Marcosian, of Πατήρ, *ib.*1.14.1; **3.** Arian; of God as totally unknowable, Philost.*h.e.*2.3(M.65.468A).

B. *not conceived,* hence *unexpected* ἀ. παθῶν σωματικῶν *cat. Apoc.*8:6(p.302.22).

C. *without conception,* abs. τοῖς οἰκοθεν ἀ. παραστῆσαι φύσιν ἀκατονόμαστον Synes.*insomn.*19(p.184.14; M.66.1316C); c. genit. ἀνενδεὲς δὲ τὸ θεῖον, ἀ. ἄρα πονηρίας Meth.*symp.*8.16(p.104.14; M.18. 168C); *ib.*(p.104.17; 168C).

D. *without thought* or *care for,* of Cain ἀνεννόητος...αὐτοῦ [sc. τοῦ θεοῦ] γεγενημένος Proc.G.*Gen.*4:16(M.87.253A).

***ἀνέννοιος,** *without thought, unmeaning,* Jo.Clim.*scal.*7(M.88. 805A).

ἀνενόχλητος, *undisturbed*; esp. *unperturbed by passion* or *desire,* Marc.Er.*opusc.*4(M.65.1016D) cit. s. ἄνεμος; Arsen.*doct.*2(M.66. 1620C); Cyr.*Rom.*7:8(p.198.5); Thal.*cent.*3.31(M.91.1452A); neut. as subst., *freedom from desire,* Nil.*epp.*3.43(M.79.408D).

ἀνενοχλήτως, *without disturbance* or *hindrance*; of praying *without distraction,* Max.*carit.*2.6(M.90.985B).

***ἀνένοχος,** *without guilt, Lit.Chrys.*(p.317.16).

***ἀνενόχως,** *guiltlessly, Lit.Chrys.*(p.317.24).

***ἀνεντερίζω,** *disembowel,* Jo.Mal.*chron.*5 p.115(M.97.208D).

ἀνεντρεχής, *unskilful,* Or.*Jo.*1.15(p.19.26; M.14.49A).

***ἀνεξάγγελτος,** *unconfessed,* Thdr.Stud.*poen.*1.25(M.99.1736C).

***ἀνεξαγόρευτος, 1.** *not to be told, secret,* Hipp.*haer.*5.7(p.84.2; M.16.3134B); **2.** *unconfessed*; of sins, Jo.Clim.*scal.*4(M.88.684D); Anast.S.*qu.et resp.*6(M.89.372C); Niceph.Ur.*v.Sym.*86(M.86.3068B).

ἀνεξάκουστος, *not to be heard,* Jo.VI H.*v.Jo.D.*27(M.94.468C).

ἀνεξάλειπτος, 1. *not to be blotted out, indelible*; fig., of seal of baptism, Cyr.H.*procatech.*17; *Rit.Bapt.*(p.406); met., of sin, Meth.*lepr.*10(p.464.13); Eus.*d.e.*10.5(p.467.5ff.; M.22.752B); met., *indestructible, imperishable,* Or.*exp.in Pr.*5:14(M.17.173C); of circumcision ἀ. μνημόσυνον ‡Just.*qu.et resp.*102(M.6.1348B); ‡Bas.*struct. hom.*1.7(1.327F; M.30.20A); Leont.B.*parasc.*(M.86.1993B); of faith of Christians, *Dial.Christ.et Jud.*10(p.62.7); **2.** *not blotted out, unabsolved*; of sin, Marc.Er.*opusc.*1.128(M.65.921A).

***ἀνεξάντλητος,** *inexhaustible,* ‡Pion.*v.Polyc.*26; ‡Chrys.*hom.jej.* 4(9.799A); ‡Proc.G.*Pr.*5:15(M.87.1264D).

ἀνεξαπάτητος, 1. *that cannot be deceived*; of God, Chrys.*comm.in Gal.*1:10(10.671E); **2.** *undeceived,* Or.*Cels.*1.42(p.92.23; M.11.737B); Proc.G.*Gen.*3:16(M.87.212A).

***ἀνεξάπτω,** *kindle again*; met., the heart, Jo.Clim.*scal.*7(M.88. 816B).

***ἀνεξάρνητος, 1.** *not denied* μενούσης μοι τῆς κατὰ θεὸν πολιτείας ἀ. Tat.*orat.*42(p.43.15; M.6.888B); *Const.App.*8.45.1; *Rit.Bapt.* (p.389); of Church by Christ, ‡Ath.*proph.*8(M.28.1072A); **2.** *undeniable, A.Jo.*9(p.157.1); **3.** *not denying* ἀ. ἡμᾶς...τοῦ ὀνόματος αὐτοῦ Just.*dial.*30.2(M.6.540A).

***ἀνεξαρνήτως,** *without denial, M.Con.*5.3.

***ἀνεξεικόνιστος,** *unformed,* Hipp.*haer.*5.7(p.84.9; M.16.3134C); Bas.*ep.*188 *can.*2(3.271A; M.32.672A); *unable to be depicted* οὐδεὶς ἄνθρωπος ὀφθείς, ἀ. Thdr.Stud.*ref.*30(M.99.472D).

***ἀνεξεισάγω,** f.l. for ἀντεξάγω q.v., Cyr.ap.*cat.Jo.*15:26(p.359. 9); cf. ἀντεξάγουσι Cyr.*Jo.*10.2(4.904A).

ἀνεξέλεγκτος, *unconvicted, Const.App.*2.17.4; *ib.*5.14.13.

ἀνεξερεύνητος, 1. *not to be searched out, unsearchable*; of God and divine attributes, Dion.Ar.*d.n.*1.2(M.3.588C); ref. Inc. ὁ ἀ. τε καὶ ἀνώνυμος...δι' ὀνομασίας...φανερῶς γνωρίζεται Andr.Cr.*or.*6(M.97. 913C); of power of Christ, ‡Meth.*Sym.et Ann.*7(M.18.364B); neut. as subst. τὸ ἀ. τῶν ἀβύσσων τοῦ θεοῦ κριμάτων Nil.*epp.*1.23(M.79. 89D); of divine mysteries: generation of Son, Eus.*e.th.*1.12(p.71. 8; M.24.848A); manner of conversion of eucharistic elements, Jo.D. *f.o.*4.13(M.94.1145A); union of Christ's natures, Jo.V H.*icon.*7(M. 96.1356B); **2.** *uninvestigated,* Or.*fr.hom.39 in Jer.*(p.198.6; M.13. 544C).

***ἀνεξερεύνητος,** *unsearchably,* Andr.Cr.*or.*6(M.97.917D).

ἀνεξέταστος, *not enquired into* or *examined*; of conduct μηδὲν ἀ. ἔσεσθαι παρὰ τῷ θεῷ Athenag.*leg.*36.1(M.6.969C); hence *indiscriminate* ἀ. ... φόνον Gr.Nyss.*v.Mos.*(M.44.393B); *unquestioning* ὑπακοὴ ἐστιν ἀ. κίνησις Jo.Clim.*scal.*4(M.88.680A).

ἀνεξετάστως, *without examination* τὰς ἐντολὰς τοῦ κυρίου ἀ. δεχόμεθα Bas.*ascet.*2.2(2.326D; M.31.888B).

[*]ἀνεξεύρητος, = ἀνεξεύρετος, *unsearchable,* Hipp.*haer.*5.7(p.79. 9; M.16.3127A); of nature of God, Geo.Pis.*hex.*81(M.92.1435A); *ib.* 594(1481A).

***ἀνεξευρίσκω,** *find out* τὴν διάνοιαν ἀ. Vict.*Mc.*proem.(p.263.13).

ἀνεξήγητος, *indescribable*; of God's goodness, Iren.*haer.*4.20.5 (M.7.1035C); of eternal generation of Son, ref. Is.53:8, Cyr.*Jo.*1.1 (4.11B).

[*]ἀνεξήτητος, v. ἀνεξίτητος.

ἀνεξικακ-έω, *be long-suffering*; of God, Meth.*symp.*10.2(p.124.13; M.18.196C); Chrys.*hom.3.6 in Heb.*(12.37B); Thdr.Mops.*Mal.*3:5ff. (M.66.625A); ἀ. τοῖς εἰωθόσι πλημμελεῖν Cyr.*Is.*2.5(2.345B); Proc.G. *Is.*24:18(M.87.2193C); of Christ ~οῦντος γὰρ τοῦ υἱοῦ...οὐκ ἀνέξεταί φησιν ὁ πατήρ Cyr.*Jo.*6(4.571D); ἀ. μέχρι τοῦ σταυροῦ Proc.G.*Is.*33 (M.87.2296B); Justn.*conf.*(p.106.18; M.86.1029D); of men, *M.Tar.*9 (p.471); Eus.*v.C.*2.11(p.45.26; M.20.989C); *be patient, wait, V.Alex. Acoem.*37(p.687.6).

ἀνεξικακία, ἡ, *forbearance, long-suffering, patient endurance*; **1.** divine; of God, Clem.*paed.*1.9(p.136.16; M.8.344C); Tit.Bost. *Man.*2.28(M.18.1189B); Cyr.H.*catech.*8.4; Chrys.*hom.22.1 in Gen.* (4.193C); καλεῖ πρὸς μετάγνωσιν τὸ τῆς ἀ. μέγεθος Cyr.*Os.*61(3.94A); of Christ, Or.*Cels.*2.34(p.161.13; M.11.856C); Eust.*engast.*10(p.31. 23; M.18.633B); Eus.*d.e.*1.1(p.4.4; M.22.17B); Chrys.*hom.71.2 in Jo.* (8.419C); Arsen.*tent.*(M.66.1621B); **2.** as Christian virtue, Clem. *paed.*3.12(p.286.5; M.8.669B); οὐκ ἀδίκου τῆς δικαίας ἀμύνης οὔσης, ἀλλὰ κρείττονος τῆς ἀ. *Const.App.*6.23.2; πραότης γάρ, ἀνεξικακίας μήτηρ ‡Bas.*const.*13(2.558C; M.31.1377A); μέγα...ὅπλον ἐν τοῖς πειρασμοῖς ἀ. Chrys.*hom.30.1 in Heb.*(12.280B); exeg. Rom.12:21 λαμπρὰ νίκη, ὅταν ἐν τῷ ἀγαθῷ, τουτέστι τῇ ἀ., νικήσῃς τὸ κακόν, τὴν ὀργὴν...ἐκβαλών id.*hom.in Rom.*12:20(3.167C); τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀ., ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ θεοῦ φιλανθρωπία· ἐφ' ἡμᾶς δὲ ἡ διὰ τοῦ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια Euthal.Diac.*epp. cath.*(M.85.681A); Jo.D.*virt.*(M.95.85C) = Ephr.3.425D; as expressly taught by Christ (ref. Mt.18:22), Or.*fr.382 in Mt.*(p.164; M.17. 300B); (ref. Mt.26:25), Chrys.*hom.81.2 in Mt.*(7.775C); περὶ ἀ. διαλεγόμενος, μέσον ἑαυτὸν προτίθησι, κελεύων ἐκεῖθεν λαμβάνειν τὰ ὑποδείγματα id.*hom.80.1 in Jo.*(8.472D); **3.** as title of address μέμνηται ἡ ὑμετέρα ἀ. Const.ap.Thdt.*h.e.*1.20.5(3.798); Bas.*ep.*82 (3.175D; M.32.460B); *Cod.Afr.*86.

ἀνεξίκακος, 1. *forbearing, long-suffering*; **a.** of God, Cyr.*Os.*70 (3.105E); Proc.G.*Is.*55:7(M.87.2557A); Leont.N.*v.Jo.Eleem.*41(p.79. 24); neut. as subst., Eus.*fr.Lc.*(M.24.581B); Tit.Bost.*Man.*2.22 (M.18.1177C); *Const.App.*2.20.7; **b.** of Christians, Just.*Iapol.*16.1 (M.6.352C); Athenag.*leg.*34.2(M.6.968C); of the 'gnostic', Clem.*str.* 7.7(p.34.8; M.9.465A); as imitating God, Gr.Nyss.*or.dom.*5(p.92. 27; M.44.1177B); of the ideal bishop, *Const.App.*2.57.1; Nil.*epp.* 3.134(M.79.445B); of slaves, ref. 1Petr.2:18 *ἀ. ὑπομονῆς* Euthal. Diac.*epp.cath.*(M.85.680C); *patient δέχου...τὴν ἀπόδειξιν, ἀ. τοῖς λόγοις ἁπλώσας τὴν ἀκοήν* Cyr.*Jo.*2.1(4.122A); **2.** *averting evil ἀ. ἄφιξιν* Sophr.H.*mir.Cyr.et Jo.*8(M.87.3437D, prob. f.l. for *ἀλεξι-*).

ἀνεξικάκως, *forbearingly, patiently*, of God *ἴδιον γὰρ ἂν εἴη θεῷ πάντα ἀ. φέρειν* Eust.*engast.*10(p.31.26; M.18.633C); of Christ *τοὺς ὑβρίζοντας φέρων ἀ.* Thdr.Heracl.ap.*cat.Mt.*9:34(p.73.15); *cat.Lc.* 22:14(p.154.7), l. *ἀνεξικακῶν* Cyr.*Lc.*22:14(M.72.905A); of men, Cyr. *Jo.*1.10(4.110E); Ant.Mon.*hom.*111(M.89.1776B); superl., of S. Peter, ref. Gal.2:14, Or.*Jo.*32.5(p.434.20).

ἀνεξίτηλος, *indelible*; hence met., as subst. neut., *fixedness εἰσω δὴ οὖν καθῆσθαι πυλῶν* [sc. of Jerusalem]*...κεχρησμῴδηκε θεός, τὸ ἀσφαλές τε καὶ ἀ. καὶ τὸ μηδαμῇ χρῆναι παρολισθεῖν τῆς εἰς αὐτὸν γνησιότητος τοῦ τύπου σημαίνοντος* Cyr.*ador.*7(1.229C), ? f.l. for *ἀνεξίτητος* q.v.

ἀνεξίτητος, also [*]*ἀνεξήτητος*; **1.** *with no outlet*, Eus.*e.th.*3.2 (p.144.30; M.24.981A); hence *inescapable* Cyr.*Is.*2.2(2.237A); *ἀνεξήτητος ib.*(224C); *ib.*2.5(345A); *ib.*4.3(620A); *insoluble, unintelligible ἀ. δὲ ταῖς οἰκείαις ἐννοίαις τὸ τῶν μαθημάτων ὕψος εὑρών* id.*Jo.*2.1 (4.146D); **2.** *abiding ἀ. ἔχουσι τὴν εὐσέβειαν* id.*hom.pasch.*10(5².129D); **3.** *? unfulfilled*, ref. Ex.20:5 *ἔδει σκληροῖς καταπτοεῖσθαι δείμασι τοὺς ἀ. μέλλοντας ποιεῖσθαι τὴν ἐντολήν* id.*ador.*6(1.174A).

ἀνεξιχνίαστος, *unsearchable*; of God, acc. Valentinus, Iren.*haer.* 1.2.2(M.7.453B); Serap.*euch.*13.2; *ἀνθρωπίνως ὑπέλαβον εἶναι τὸν ἀ.* Cyr.H.*catech.*6.8; Didym.(‡Bas.)*Eun.*5(1.312E; M.29.740C); Gel. Cyz.*h.e.*2.22.3(M.85.1292A); Dion.Ar.*d.n.*1.2(M.3.588C); *Rit.Bapt.* (p.392); of divine attributes and activity *ἀ. δημιουργίας Diogn.*9.5; love, Ephr.3.529A; power, Bas.*hex.*2.2(1.13C; M.29.32A); judgements, Gr.Naz.*or.*28.12(p.40.2; M.36.40C); *ἀ. τὸ ἔλεος τῆς ἐπαγγελίας σου Const.App.*2.22.12; providence, Chrys.*scand.*2(3.467A); ways, Melet.*nat.hom.*30(M.64.1280C); of Son: eternal generation, Eus.*e.th.* 1.12(p.71.8; M.24.848A); *ἡ ζωὴ...ἀ.* †Diad.*Ar.*1(M.65.1149C); ref. Inc. *φιλανθρωπίας ἀ. πελάγεσιν* Jo.D.*hom.*8.10(M.96.716A); of mercy shown in descent to Hades, Or.*schol.in Lc.*1:46(M.17.324A).

***ἀνεξιχνίαστος,** *inscrutably*, Mac.Aeg.*hom.*29.1(M.34.716B).

ἀνεξόδευτος, *not going out of*, Max.*schol.d.n.*4.7(M.4.257A).

ἀνέξοδος, 1. *unable to escape*, *Ps.Naas.*ap.Hipp.*haer.*5.10(p.103. 10; M.16.3159B); **2.** as subst., *beggar χηρῶν καὶ ἄλλων ἀ. λαβόντων ἐλεημοσύνην* Ath.*h.Ar.*13(p.189.25; M.25.708C); *ib.*60(p.217.2; 765B).

***ἀνεξομολόγητος,** *without having confessed*, ‡Chrys.*serm.jej.*4 (11.834D).

***ἀνεξουσίως,** *without power of self-determination*, Leont.H.*Nest.* 1.16(M.86.1464C).

***ἀνέξωστος,** of a wrestler, *not to be thrown*, ‡Nil.*perist.*10.6(M.79. 900C).

ἀνέορτος, *without festive joy*, Gr.Naz.*or.*27.2(p.3.8; M.36.13A); *μαρτύρων δὲ μὴ ὄντων...ἡμῶν ὁ βίος ἐγίνετο...ἀ.* Ast.Am.*hom.*10(M.40. 316A).

***ἀνεπαίρω,** *lift up*, Jo.Clim.*scal.*20(M.88.941C).

ἀνεπαίσχυντος, *having no cause for shame*, of Adam *ἀ. παρρησίᾳ ...πρὸς τὸν θεόν* Ath.*gent.*2(M.25.8B); Bas.*reg.fus.*51(2.306A; M.31. 1041A); of the ideal bishop, *Const.App.*2.4.1.

***ἀνεπαισχύντως, 1.** *without cause for shame*, i.e. *rightly, duly εἰ τὰς ἐσχάτας ὑπηρεσίας τοῖς ἁγίοις ἀ. ἐξετέλεσεν* Clem.*fr.*18(p.201.2; M.9.748C); Hipp.*haer.*1 proem.(p.3.14; M.16.3020D); *υἱὸν ἀ. ὁμολογήσωμεν* Jo.D.*hom.*1.5(M.96.553A); **2.** *without disgrace, without dishonour*, of Christ *γεννηθεὶς διὰ γεννητικῶν πόρων ἀ., ἀχράντως* Epiph.*exp.fid.*15(p.516.8; M.42.812B); *βρέφος κυηθείς, περιγράφεται ἀ.* Thdr.Stud.*antirr.*3.35(M.99.405C); **3.** *without feeling ashamed περὶ τοῦ ἁγίου πνεύματος ἀ. ... ἄγνοιαν ὁμολογεῖν* Bas.*Eun.*3.6(1.277D; M.29.668B); Gr.Nyss.*hom.1 in Cant.*(M.44.772B); *ἀ. τελώνην καλέσας εἰς μαθητείαν* Vict.*Mc.*2:15(p.288.26).

ἀνέπακτος, *without epact*, Max.*comput.*25(M.19.1244B).

ἀνέπαφος, 1. *untouched, unharmed*; **a.** sexually *σάρκα συνουσίας ἀ.* Meth.*symp.*5.4(p.56.21; M.18.101C); *virgin*; of BMV, Chrys.*hom. 4.6 in Mt.*(7.58A); *σῶμα ἀ.* Isid.Pel.*epp.*5.46(M.78.1353B); Thdt.*Os.* 3:2f.(2.1325); **b.** morally, Isid.Pel.*epp.*2.53(M.78.497A); *δίκαιον καὶ ἀ.* †Jo.Jej.*serm.*(M.88.1921B); of Christ's flesh untouched by sin, Gennad.*fr.Rom.*8:3(p.375.23; M.85.1689B); **c.** of abstracts, *intact τῆς εὐσεβείας τὴν ὁμολογίαν ἀ. διαφυλάξαι* Thdt.*Cant.*5:7f.(2.130); *νόμον ἀ. τετηρήκατε* id.*affect.*2(p.52.15; 4.743); *τὴν ἀσύγχυτον ἕνωσιν νοῦς ἀνθρώπινος...ἀ. οἶδε διατηρεῖν* Areth.*Apoc.*6(M.106.540B); **d.** of divine nature in Inc.; *unimpaired*, Chrys.*hom.11.2 in Jo.*(8.64B); **2.** *not to be touched*, of holy things *ἀ. ... τοῖς ἔτι βεβήλοις* Cyr.*ador.* 9(1.323C); of evil deeds *ἀπόβλητα καὶ ἀ. ποιεῖσθαι* id.*hom.pasch.*24 (5².290A); **3.** *that cannot be touched, unattainable*, id.*Jo.*9.1(4.802C); **4.** *intangible*; of God, Nemes.*nat.hom.*44(M.40.805B); ‡Bas.*struct. hom.*1.5(1.326C; M.30.16B); of Son, ref. Inc. *ὁ αὐτὸς ἐστιν...ψηλαφητὸς καὶ ἀ.* Leont.B.*arg.Sev.*(M.86.1945C); Sophr.H.*ep.syn.*(M.87.3165C); Jo.D.*Jacob.*48(M.94.1457B); *κρατεῖται ὁ ἀ.* ‡Jo.D.*hom.*5.4(M.96. 653B); ‡Jo.D.*ep.Thphl.*3(M.95.349B); denied of Christ's risen body *μήτε μὴν ἀ. σῶμα, σκιοειδές τε καὶ ἄϋλον* Cyr.*Jo.*12.1(4.1109A).

ἀνεπαχθής, *not burdensome, without offence*; neut. as subst., *gentleness, lenity*, Chrys.*hom.29.2 in Mt.*(7.344B); id.*hom.29.2 in Jo.*(8.166A).

***ἀνεπερείστως,** *independently*, *cat.Apoc.*12:1f.(p.351.4).

***ἀνεπεσχέτως,** *without restraint*, Ephr.3.59E.

***ἀνεπήκοος,** *not having heard* of, Eus.*p.e.*7.6(304D; M.21.516D).

***ἀνεπηρεαστικός,** = sq., *unmolested δός μοι τὴν πρός σε ὁδὸν ἀνύβριστον καὶ ἀ.* Ephr.1.257B; cf.*A.Jo.*114(p.214.13).

ἀνεπηρέαστος, *free from injury* or *insult, unmolested*; hence **1.** *immune λειτουργημάτων ἀ.* Eus.*v.C.*2.20(p.49.26; M.20.1000A); morally or spiritually *unharmed*; in temptation, Bas.*moral.*62.3 (2.283C; M.31.800C); *νοῦν εὐθὺν ἀβλαβῆ καὶ ἀ. φυλαττόμενον Rit. Bapt.*(p.409); neut. as subst. *λειτουργοὶ μὲν πρὸς τό ἀ. ... ἄγγελοι* ‡Nil.*perist.*11.14(M.79.924B); **2.** *not deserving insult, blameless*, Bas. *ep.*271(3.417E; M.32.1005A); Marc.Er.*opusc.*1.16(M.65.908B) cit. s. *συντριμμός*.

ἀνεπηρεάστως, 1. *without being harmed, safely*, Nil.*exerc.*46(M.79. 777A); **2.** *without scoffing*, Gr.Nyss.*Eun.*8(2 p.182.11; M.45.776B).

ἀνεπίβατος, *inaccessible*; *unassailable*; lit., of Holy of Holies, Gr.Nyss.*v.Mos.*49(M.44.317C); *ποίμνιον...λύκοις...ἀ.* Sophr.H.*v. Anast.*(M.92.1689C); fig. or met. *σοφίαν...ἀ.* Clem.*str.*1.5(p.18.8; M. 8.720A); Gr.Nyss.*Eun.*3(2 p.36.8; M.45.604A); of the heart *πονηροῖς λογισμοῖς ἀ.* id.*or.dom.*3(p.48.8; M.44.1149C); neut. as subst., ‡Nil. *perist.*12.11(M.79.961A); of Christ *ἀ. δικαίως ἡ θεωθεῖσα* [sc. *φύσις*] *...τῇ ἁμαρτίᾳ* ‡Cyr.*Trin.*15(6³.21C; M.77.1152D); *ταύταις γὰρ* [sc. *ἡδοναῖς*] *ἡ θεία σὰρξ ἀ.* Andr.Caes.*Apoc.*2(M.106.228C).

[*]**ἀνεπιβούλεστος,** for *ἀνεπιβούλευτος*, Ephr.3.257B.

ἀνεπιβούλευτος, 1. *not plotted against, unassailed*, *A.Jo.*106 (p.204.7); *τότε...ἀ....τὴν περὶ αὐτοῦ* [sc. *τοῦ πνεύματος*] *διάνοιαν* Bas. *ep.*125.3(3.216B; M.32.549A); **2.** *unassailable, secure*; **a.** as divine or supernatural; of God's might, *A.Jo.*77(p.189.26); *χρῖσμα ἅγιον... καὶ σφραγὶς ἀ. Rit.Bapt.*(p.405); **b.** in gen. *ἀ. φυλάσσειν τὴν πίστιν* Clem.*str.*1.9(p.29.11; M.8.740C); of poverty, Diad.*perf.*65(p.78.5); ‡Proc.G.*Pr.*24:30(M.87.1469C); neut. as subst., *security*, ref. Ps. 126:1 *οὐκ αὐτάρκη πρὸς τὸ ἀ. τὰ ὑφ' ἡμῶν σπουδαζόμενα* Didym.*Ps.* 11:8(M.39.1216B).

ἀνεπίβουλος, neut. as subst., *freedom from attack, security*, Isid.Pel.*epp.*1.210(M.78.316C).

***ἀνεπιγνωμοσύνη, ἡ,** *lack of knowledge, ignorance*, ‡Proc.G.*Pr.* 1:7(M.87.1225B); *ib.*2:6(1236C).

ἀνεπιγνώμων, *ignorant, unconscious*, Vict.*Mc.*3:28(p.299.22).

ἀνεπίγνωστος, *not distinctly known*; *not to be known ἀ. πάντως ἡ τοῦ πνεύματος φύσις* Gr.Nyss.*Eun.*1(1 p.144.8; M.45.384B); of God *ἀ. ὢν κατ' αὐτό, τὸ τί ἐστι καὶ καθ' ὅ ἐστιν* Max.*schol.d.n.*1.2(M.4.189C).

ἀνεπίγραφος, 1. *without title*; of Ps.42, Or.*fr.in Ps.*49(p.80); Eus. *Ps.*136(M.24.36D); *ib.*142(48B); ‡Hipp.*fr.7 in Pss.*(p.137.16); **2.** *without name of author*; of Heb., Euthal.Diac.*epp.Paul.*(M.85.725B); *cat.Mt.*1:5(p.6.29); **3.** *without name of person addressed*, Bas.*ep.* 155 tit.(3.244A; M.32.612B).

ἀνεπίδεικτος, 1. *not displayed, hidden*, Gr.Naz.*carm.*1.2.10.282 (M.37.700A); Diad.*perf.*46(p.52.15); **2.** *unostentatious εἰ εὖ ποιεῖς, ἀ. ἔσο* Isid.Pel.*epp.*1.84(M.78.241A); neut. as subst., *freedom from ostentation τὸ ἀ. τῆς εὐλαβείας* Gr.Naz.*or.*18.32(M.35.1028A); Vict. *Mc.*1:43f.(p.282.18).

ἀνεπίδεκτος, A. act.; **1.** *not receiving, not admitting*, Meth.*symp.* 11.3(p.138.14; M.18.216C); *ἀ. αἰσχρῶν...φαντασιῶν* Cyr.*Ps.*16:3(M. 69.816A); of Christ *ἀ. ἁμαρτίας δείξαι τὴν σάρκα ἦν...ὁ ἀδάμ... ἐκ παραβάσεως δεκτικὴν ἁμαρτίας πεποίηκε* ‡Ath.*Apoll.*1.7(M.26. 1104C); **2.** *not receptive, incapable of receiving* or *experiencing*; of God, Adam.*dial.*4.14(p.170.19; M.11.1829A) cit. s. *πάθος*; Eun. ap.Bas.*Eun.*2.30(1.266E; M.29.641E); *ἡ μὲν ἄκτιστος* [sc. *φύσις*]*... κρείττων τε προσθήκης ἀπάσης καὶ τῆς ἐλαττώσεως, τῶν ἀγαθῶν ἀ.* Gr.Nyss.*hom.6 in Cant.*(M.44.885D); id.*Eun.*12(1 p.383.2; M.45.

A. def. *ἄ. γὰρ γῆ ἐστι πάσχουσα· ἀπὸ προσώπου γὰρ τῆς γῆς ἡ πλάσις τοῦ Ἀδὰμ ἐγένετο Barn.*6.9; *τί γάρ ἐστιν ὁ ἄ. ἀλλ' ἢ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστὸς ζῷον λογικόν; μὴ οὖν καθ' ἑαυτὴν ψυχὴ ἄ.; οὔ, ἀλλ' ἀνθρώπου σῶμα καλεῖται...κατ' ἰδίαν μὲν τούτων οὐδέτερον ἄ. ἐστιν, τὸ δὲ ἐκ τῆς ἀμφοτέρων συμπλοκῆς καλεῖται ἄ.* †Just.*fr.res.*8(p.45; M.6.1585B); *ὁ δὲ καὶ νοῦν καὶ λόγον δεξάμενος, ἔστιν ἄ., οὐ ψυχὴ καθ' ἑαυτήν* Athenag.*res.*15(p.66.27; M.6.1004D); *τὸν ὅρον τοῦ ἀ. ἀποδίδομεν, ὃς ἐστι ζῷον θνητόν, χερσαῖον, πεζόν, λογικόν* Clem.*str.*8.6(p.91.25; M.9.584C); ref. Jo.2:25 *εἰ μὲν γὰρ τὸ 'ἀνθρώπου' λαμβάνομεν ἐπὶ παντὸς τοῦ κατ' εἰκόνα θεοῦ ἢ παντὸς λογικοῦ...εἰ δὲ τὸ 'ἀ.' τηρήσαιμεν ἐπὶ τοῦ θνητοῦ λογικοῦ ζῴου μόνου* Or.*Jo.*10.45(29; p.224.11; M.14.396D); cf. *ἀ.... οἷς μόνοις ἄνω...ὁρᾶν ἐπέτρεψεν Diogn.*10.2; cf. *ἄ. quod sursum spectat,* Lact.*div.inst.*2.1(M.*PL.*6.257B); *ὁ ἄ. ἐστι ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. λέγεται καὶ πάλιν τὸ ἐντελὲς ὄνομα τοῦ ἀ. ἀνορθοπεριπατητικόν. συνέκοψαν δὲ οἱ ὀνοματοθέται τὴν πολυλεξίαν, καὶ ὠνόμασαν αὐτὸν ἄ. ... ὁ δὲ ἄ. περιπατῶν βλέπει καὶ θεωρεῖ τὰ ἄνω. πάλιν ἄ. λέγεται, διὰ τὸ ἄνω ἀθρεῖν τὸν ὦπα* ‡Ath.*def.*1.3(M.28.533C); *ἄ.· νοῦς ἐνδεδεμένος προσφόρῳ καὶ πρεπούσῃ σαρκί* Bas.*hom.*21.5(2.167A; M.31.549A); ‡Bas.*struct.hom.*1.16(1.330D; M.30.24D); *ἄ. ... ζῷον λογικὸν θνητόν* Chrys.*stat.*11.2(2.117A); *ἄ. συνθετόν ἐστι πρᾶγμα· ἐκ ψυχῆς καὶ σώματος συνεστώς, κατ' οὐσίαν τούτων ἑνωθέντων, καὶ οὐχ ἕν ἐστι τῇ φύσει...τοῦτο γὰρ ὁ ἄ., ψυχὴ λογικὴ σώματι ὀργανικῶς συνημμένῳ κεχρημένη* Pamph.H.*panopl.*6.1(p.614); v. *λογικός*.

B. *human being*; **1.** in good sense, as possessing honour and dignity *ἄ. εἶ, ἀνωτέρω εἶ τοῦ διαβόλου* Or.*hom.5.17 in Jer.*(p.46.24; M.13.321B); as microcosm *ὁ μικρὸς οὗτος κόσμος...ὁ ἄ.* Gr.Naz.*or.*28.22(p.56.16; M.36.57A); cf.*ib.*45.7(M.36.632B) cit. s. G.3.i; Leont.B.*Nest.et Eut.*1(M.86.1284C); *τὸν μικρὸν κόσμον, τὸν σύνδεσμον πάσης τῆς κτίσεως, τουτέστιν τὸν ἄ.* Cosm.Ind.*top.*5(M.88.320A); hence *ἄ.*= *real man*, opp. irrational or savage creatures *ἐσμεν ἄ., καὶ φρόνησιν ἔχομεν καὶ λόγον* ‡Clemens Romanus '*ep.*9' ap.Leont.et Jo.*sacr.*2(M.86.2037A); *ἐκεῖ παραγενόμενος ἄ. ἔσομαι* Ign.*Rom.*6.2; *ὁ μὲν ὄντως ἄ. ὁ τὰς κοινὰς φρένας κεκτημένος, ὁ δὲ ἄγριος καὶ θηριώδης* Clem.*str.*8.3(p.82.17; M.9.564C); Chrys.*hom.52.5 in Ac.*(9.395A); **2.** in depreciatory sense *ἀσύνετος εἶ ἄ.* Herm.*mand.*10.1.2; Isid.Pel.*epp.*1.461(M.78.436C); *οὐ δυνάμεθα οὖν πιστεῦσαι ἀ. ὅστις πρὸς ὀλίγον ζῇ M. Pers.*1.4(p.424.7); **3.** as common designation of men and women *ἐν ἐκείνῳ* [sc. *αἰῶνι*]*...τὰ ἔπαθλα οὐκ ἄρρενι καὶ θηλείᾳ, ἀνθρώπῳ δὲ ἀπόκειται...κοινὸν οὖν καὶ τοὔνομα ἀνδράσιν καὶ γυναιξὶν ὁ ἄ.* Clem.*paed.*1.4(p.96.10; M.8.261A); hence *ἡ ἄ. woman,* †Hipp.*narr.*(p.275.10; M.10.872B) Soz.*h.e.*2.7.4(M.67.952A); Thdt.*h.e.*1.18.4(3.795); *ὁ κύριος υἱὸν τοῦ ἀ., καὶ οὐχὶ τῆς ἀ. ἑαυτὸν ὀνομάζει, καὶ διὰ τοῦτο πειρῶνται οἱ ἄπιστοι δεικνύναι ὡς ἐκ γαμικῆς συναφείας ὁ δεσποτικὸς γέγονε τόκος* ‡Just.*qu.et resp.*66(M.6.1308A); **4.** *human being*, opp. divine, of BMV *ἐκ τοῦ μνηστῆρος δείξῃ τὴν Μαρίαν ἀληθῶς ἀ. οὖσαν* Ath.*ep.Epict.*5(p.9.3; M.26.1057C); *ἆρα γὰρ καὶ τὴν Μαρίαν, ἄ. εἴποιτε εἶναι, ἢ οὐκ ἄ.;* Leont.H.*Nest.*2.6(M.86.1545D); *Μαρία...ἄ. ἦν· ὑπὸ ἀ. δὲ θεὸν τεχθῆναι ἀδύνατον* Anastasius ap.Evagr.*h.e.*1.2(p.7.25; M.86.2425A); of Church *καθόσον ἐφικτὸν αὐτῇ ἀ. οὖσῃ καταξιωθῆναι σὺν ταῖς ἀσωμάτοις θείαις δυνάμεσιν* ‡Bas.*h.myst.*35(p.266.13); Christol., v. infra I; **5.** for view that scripture makes no difference (ref. Mal.3:1) between appellations *ἄ.* and *ἄγγελος*, Or.*Jo.*2.23(17; p.79.3ff.; M.14.152Dff.); v. *ἄγγελος*; **6.** *mankind κατὰ πρόσωπον τῶν τότε ἀ.* Polyc.*ep.*3.2; *τὸν ἄ. ἐποίησεν* Tat.*orat.*7(p.7.8; M.6.820B); Iren.*haer.*3.18.7(M.7.937B); *ib.*3.19.1(939A); *Hom. Clem.*19.21; *δόξῃ...ἐστεφάνωται ὁ κοινὸς ἄ.* Bas.*Spir.*55(3.47B; M.32.169B); Gr.Nyss.*Eun.*3(2 p.40.5; M.45.608A); *θεὸν ἐν ἀνθρώπῳ γεγενῆσθαι* id.*or.catech.*25(p.95.9; f.l. *ἀνθρώποις* M.45.65D).

C. *grown man*; opp. child, Epiph.*haer.*51.10(p.261.27; M.41.905D); *οὐδὲ ἀ., ἀλλὰ παιδίῳ* Chrys.*hom.23.9 in Mt.*(7.297E).

D. *man*, opp. woman, in false argument that woman was not created in divine image *οὐ γὰρ εἶπε τὴν ἄ., φησίν, ἢ ἁπλῶς ἄ., ἀλλὰ τῇ τοῦ ἄρρενος προσθήκῃ τὸ ἀρρενικὸν ἐνέφηνεν* ‡Bas.*struct.hom.*1.22(1.334F; M.30.33C); *ποίαν ἕξει συγγνώμην ἄ. ταῦτα ποιῶν, ἐφ' οἷς ἡ γυνὴ...κολάζεται;* Chrys.*hom.9.5 in Phil.*(11.271C).

E. in partic. phrases; **1.** Semitisms *ἄ. εἰμι...υἱὸς ἀνθρώπου ὡς εἷς ἐξ ὑμῶν A.Thom.*A 66(p.183.11); *πῶς ἄ. εἰρήνης Ἰούδας ἦν;* Or.*Jo.*32.14(8; p.448.7; M.14.777A); **2.** *ἄνθρωπος τοῦ θεοῦ man of God*; **a.** of Christians generally *ὑπὸ τοῦ ἀ. Ἰησοῦ ἄ. γινόμενος θεοῦ* Or.*Jo.*1.9(11; p.15.9; M.14.41A); *δεῖ...τὸν τοῦ θεοῦ ἄ. καὶ παροικῆσαι ἐν τῷ σκηνώματι τῷ θεϊκῷ* Mac.Aeg.*ep.*(M.34.409C); *Pers.*(p.25.29); Chrys.*hom.17.2 in 1Tim.*(11.649C); *ἐὰν εὐσεβῇ τις, ἄ. θεοῦ ἐστιν· ἐὰν δὲ ἀσεβῇ τις, ἄ. τοῦ διαβόλου, οὐκ ἀπὸ τῆς φύσεως ἀλλ' ἀπὸ τῆς ἑαυτοῦ γνώμης γινόμενος* ‡Ign.*Magn.*5; *ἡ ἄ. τοῦ θεοῦ Μελανία* Pall.*h.Laus.*9(p.29.10; M.34.1028A); **b.** of clergy [prob.], Dion.Al.ap.Eus.*h.e.*7.10.3(M.20.657B); bishops, Eus.*v.C.*3.15(p.84.7; M.20.1072B); *Const.App.*2.25.2; other clergy, *ib.*2.47.1; **c.** of confessors *ὁ διωχθεὶς ἕνεκεν τῆς πίστεως καὶ μαρτυρήσας περὶ αὐτοῦ καὶ ὑπομείνας, οὗτος ἀληθῶς ἄ. θεοῦ ib.*5.3.4; **d.** of OT writers *οἱ τοῦ θεοῦ ἄ. τῷ θείῳ πνεύματι φωτισθέντες* Eus.*e.th.*1.20(p.96.3; M.24.892C); **e.** of an angel *εἰπέ μοι, ἄ. τοῦ θεοῦ T.Abr.*B 7(p.111.3); **f.** in phrase *ὁ σὸς ἄ.* addressed to God, of Constantine, Const.ap.Gel.Cyz.*h.e.*3.19.18(M.85.1349A).

F. of man's nature and constitution; **1.** tripartite division, *perfectus homo constat carne, anima, et spiritu,* Iren.*haer.*5.9.1(M.7.1144B); cf. *πάντες...εἰς ζωὴν ἀναστήσονται, ἰδια ἔχοντες σώματα, καὶ ἰδίας ἔχοντες ψυχάς, καὶ ἴδια πνεύματα ib.*2.33.5(834A); *ὁ ἄ. συνέστηκεν ἐκ σώματος καὶ ψυχῆς καὶ πνεύματος* Or.*princ.*4.2.4(p.313.2; M.11.365A); *ἐκ τριῶν εἶναι τὸν ἄ. ... πνεύματος καὶ ψυχῆς καὶ σώματος* Apoll.*fr.*88(p.226.25)ap.Gr.Nyss.*Apoll.*46(M.45.1233C) al.; based on scripture *ὡς ἐν τρισὶ τούτοις τὸν ἄ. ἔχειν τὴν σύστασιν· καὶ μάρτυς ὁ Παῦλος ἐπευχόμενος Ἐφεσίοις τὴν...χάριν τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ τοῦ πνεύματος* Proc.G.*Gen.*1:26(M.87.117D), cf. Esaias *or.*23; **2.** bipartite *ἐποίησεν ἄ. ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος* Athenag.*res.*13(p.63.18; M.6.1000B); *ib.*15(p.65.25; 1004A); †Just.*fr. res.*8(p.45; M.6.1585B) cit. s. A; Iren.*haer.*5.6.1(M.7.1138A); *ἄ. ... λέγεται κατὰ φύσιν οὔτε ψυχὴ χωρὶς σώματος οὔτ' αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν μορφὴν συντεθέν* Meth.*res.*1.34(p.272.7ff.; M.41.1097D); contrast *ἀ. ...λέγω τὰς χρωμένας ψυχὰς σώμασιν* Or.*princ.*4.2.7(14; p.319.1; M.11.372A); *ὁ δὲ ἄ. ἓν πρόσωπον...ἀπό τε πνεύματος καὶ σαρκός* Apoll.*inc.*2(p.304.19; M.28.92C); *διπλοῦς ὁ ἄ., ἐκ ψυχῆς καὶ σώματος συγκείμενος* Cyr.H.*catech.*3.4; *οὐ γὰρ τριχῇ διαιρεῖ τὸν ἄ. ἡ θεία γραφή, ἀλλ' ἐκ ψυχῆς καὶ σώματος τόδε τὸ ζῷον συνεστάναι φησίν* Thdt.*haer.*5.10(4.422); Eulog.*fr.dogm.*(M.86.2953D); cf.Leont.B.*cap. Sev.*18(M.86.1908A) cit. s. σάρξ; **3.** double nature of man, Clem. *exc.Thdot.*51(p.123.17; M.9.684A); *διπλῆ τις φύσις ἡ τε πρὸς τὸν θεὸν ὡμοιωμένη...καὶ ἡ καθ' ἣν ἄρρεν καὶ θῆλυ γίνεται* Proc.G.*Gen.*1:27(M.87.128C); **a.** 'inner man' cf. *ὅπως...ἀνεπίληπτος ἑκάστου ἡμῶν ἄ. αὐτῷ γένοιτο* Athenag.*leg.*31.2(M.6.961C); *ἔστι κατὰ τὸν ἔσω ἄ. εἶναι παιδίον, κἂν ἐν γεροντικῇ τις ᾖ ἡλικίᾳ σώματος* Or.*hom.1.13 in Jer.*(p.10.31; M.13.269A); cf. *τὸ μὲν...τὸν ἀληθῆ ἄ., τὸν κατὰ ψυχὴν νενοημένον, τὸ δὲ τούτου χώραν περιβολῆς ἐπέχον· τοῦτο δὲ εἶναι τὸ σῶμα* Eus.*p.e.*7.4(301B; M.21.513A); *οὐ διακρίνοντες...τὸν ἔξωθεν ἄ. ἀπὸ τοῦ ἔνδον* Hegem.*Arch.*5(p.6.13; M.10.1433C); *οὐσία τοῦ ἀ. κατὰ μὲν τὸ ἐντός, εἰκὼν τοῦ θεοῦ· κατὰ δὲ τὸ ἐκτός, χοῦς ἀπὸ τῆς γῆς* Proc. G.*Gen.*1:26(M.87.132B); *πρὸς τὸν ἔσω ἡμῶν ἄ., ὅπου οὐκ ἔστιν ἐκτυπώματα τῶν λογισμῶν καὶ οὐδὲ θεωρία τῶν συνθέτων* Philox.*ep.* 22(p.174); v. *ἔσω*; **b.** 'outward man' *ἔστι...κατὰ τὸν ἔξω ἄ. εἶναι παιδίον, κατὰ δὲ τὸν ἔσω ἄνδρα* Or.*hom.1.13 in Jer.*(p.11.1; M.13.269A); *περὶ τὸ τοῦ ἔξωθεν ἀσχολεῖν ἡμᾶς ἀ.* Meth.*symp.*11(p.141.4; M.18.220D); cf. *τὸν ὁρώμενον τοῖς πολλοῖς ἄ.* Eus.*v.C.*1.42(p.27.20; M.20.956D); *ἵνα γὰρ μὴ ἀκούων, ὅτι φθείρεται ὁ ἄ. σου ὁ ἔξω, ἀλγῇς, λέγει ὅτι, ὅταν παντελῶς τοῦτο γένηται, τότε μάλιστα χαρήσῃ, καὶ ἥξεις ἐπὶ βελτίονα λῆξιν* Chrys.*hom.10.1 in 2Cor.*(10.505D); **4.** of 'old man' opp. redeemed personality (Rom.6:6) *εἰ ἡ αὐτὴ φύσις Χριστοῦ, οἷα καὶ ἡ ἡμῶν, ὁ παλαιὸς ἐστιν ἄ., ψυχὴ ζῶσα καὶ οὐ πνεῦμα ζωοποιοῦν* Apoll.*anac.*23(p.244.22; M.28.1276D).

G. of man's creation; **1.** in relation to other creatures *πολὺ δὴ πλέον τῶν ἄλλων ἀγαπήσει τὸν ἄ., εἰκότως, τὸ κάλλιστον τῶν ὑπ' αὐτοῦ*

δημιουργηθέντων καὶ φιλόθεον ζῷον Clem.*paed.*1.8(p.127.8; M.8. 325B); σοφώτατοι τῶν ἄλλων ζώων ἄ. id.*prot.*3(p.32.21; M.8.128A); αἰσχρόν γε...δοκείτω καὶ τῶν ἀλόγων ζώων τὸν ὑπὸ θεοῦ δημιουργηθέντα ἄ. ἀκρατέστερον εἶναι id.*str.*2.23(p.190.7; M.8.1089A); **2.** for creation in divine image and interpretations of it v. εἰκών; **3.** man's original state and destiny [for further references v. Ἀδάμ]; **a.** created neither mortal nor immortal, Thphl.Ant.*Autol.* 2.27(M.6.1093B) cit. s. ἀθάνατος; **b.** created mortal, but given immortality by grace of participation in Logos, Ath.*inc.*5.1(M. 25.105A); possessing ἀφθαρσία q.v., Gr.Nyss.*beat.*3(M.44.1225D); **c.** endowed with freedom of will ἐλεύθερον γὰρ καὶ αὐτεξούσιον ἐποίησεν ὁ θεὸς τὸν ἄ. Thphl.Ant.*Autol.*2.27(M.6.1096A); v. ἐλεύθερος; **d.** with superior knowledge, Gr.Nyss.*beat.*3(M.44.1228C); **e.** with ἀπάθεια q.v., Gr.Nyss.*hom.opif.*5.1(M.44.137B); id.*or.catech.* 8(p.42.11; M.45.33B) etc.; **f.** capable of vision of God, Cyr.*Juln.* 3(6².89D); **g.** created perfect, Or.*Jo.*13.37(p.262.20; M.14.464B); ἔκτισε μὲν τὸν ἄ. ... ἀπροσδεᾶ παντὸς καλοῦ Cyr.*Juln.*3(89D); Proc.G.*Gen.*1:27(M.87.129C); his condition recapitulated in the 'new man', ‡Ath.*dial.Trin.*3.16(M.28.1228C); **h.** created as a child ἐβούλετο ἁπλοῦν καὶ ἀκέραιον διαμεῖναι τὸν ἄ. νηπιάζοντα Thphl.Ant.*Autol.*2.25(M.6.1092B); ὁ θεὸς...οἷός τε ἦν παρασχεῖν ἀπ' ἀρχῆς τῷ ἀ. τὸ τέλειον, ὁ δὲ ἄ. ἀδύνατος λαβεῖν αὐτό· νήπιος γὰρ ἦν Iren.*haer.*4.38.1(M.7.1105C); hence ἔδει...τὸν ἄ. πρῶτον γενέσθαι, καὶ γενόμενον αὐξῆσαι, καὶ αὐξήσαντα ἀνδρωθῆναι, καὶ ἀνδρωθέντα πληθυνθῆναι, καὶ πληθυνθέντα ἐνισχῦσαι, καὶ ἐνισχύσαντα δοξασθῆναι, καὶ δοξασθέντα ἰδεῖν τὸν ἑαυτοῦ δεσπότην *ib.*4.38.3(1108C); **i.** general condition ζῷων ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄ. ... οἷόν τινα κόσμον ἕτερον, ἐν μικρῷ μέγαν, ἐπὶ τῆς γῆς ἱστησιν, ἄγγελον ἄλλον, προσκυνητὴν μικτόν, ἐπόπτην τῆς ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς Gr. Naz.*or.*45.7(M.36.632B); **4.** man's fall and disobedience (v. Ἀδάμ, παράβασις, παρακοή), Iren.*haer.*1.10.3(M.7.556A); Marcell.*fr.*96 ap. Eus.*Marcell.*2.3(p.50.32; M.24.809A); ἐκ παρακοῆς ἐντολῆς θεοῦ γέγονεν ὁ ἄ. δεκτικὸς τῆς ἐπισπορᾶς τοῦ ἐχθροῦ ‡Ath.*Apoll.*1.15 (M.26.1120C); **5.** all men represented and symbolized by Adam εἰ δὲ καί ποτε τὸν κοινὸν καὶ πολὺν ἄ., καὶ τὸ γένος αὐτὸ χρεὼν διασημῆναι, πάλιν οἰκεία καὶ προσφυεῖ χρωμένη προσηγορίᾳ, τὸν πάντα ἄ. τῇ τοῦ Ἀδὰμ ἐπωνυμίᾳ σημαίνειν Eus.*p.e.*7.8(307C; M.21.521A); πάντες ἄ. Ἀδὰμ ἐσμεν εἰς ὄντες †Apoll.*ep.Bas.*1(M.32.1101D).

H. ἄ. as aeon in Gnostic systems; **1.** of Valentinus ἐκ δὲ τοῦ Λόγου καὶ τῆς Ζωῆς προβεβλῆσθαι κατὰ συζυγίαν Ἄ. καὶ Ἐκκλησίαν Iren.*haer.*1.1.1(M.7.448A); εἰς γὰρ ὄνομα Ἀνθρώπου πλασθεὶς Ἀδὰμ φόβον παρέσχεν προόντος Ἄ. Val.Gn.ap.Clem.*str.*2.8(p.132.13; M.8. 972B); Hipp.*haer.*6.29(p.156.21; M.16.3238A) al.; Epiph.*haer.*31.10 (p.401.19; M.41.493A); Thdt.*haer.*1.7(4.297); **2.** of Marcus, Iren. *haer.*1.14.3(M.7.601B); τὰ δὲ φωνήεντα καὶ αὐτὰ ἑπτὰ ὄντα, τοῦ Ἄ. καὶ τῆς Ἐκκλησίας· ἐπεὶ διὰ τοῦ Ἄ. φωνὴ προελθοῦσα ἐμόρφωσε τὰ ὅλα *ib.*1.14.5(604B) = Hipp.*haer.*6.46(p.178.8; M.16.3270B) etc.; **3.** of Barbeliot Gnostics, cf. *emittit Autogenes hominem perfectum et verum, quem et Adamantem vocant,* Iren.*haer.*1.29.3(M.7.693A); Thdt. *haer.*1.13(4.305); **4.** thus, of *primal man* in Heracleon ὁ μὲν γὰρ ὑπὲρ τὸν τόπον υἱὸς ἀνθρώπου σπείρει· ὁ δὲ σωτήρ, ὢν καὶ αὐτὸς υἱὸς ἀ., θερίζει Heracleon ap.Or.*Jo.*13.49(47; p.276.32; M.14.488C); in Ophite system, Iren.*haer.*1.30.1(M.7.695A); Hipp.*haer.*5.6(p.78.6; M.16. 3126A) cit. s. Ἀδάμας; Ναασσηνοὶ ἄ. καλοῦσι τὴν πρώτην τῶν ὅλων ἀρχήν, τὸν αὐτὸν καὶ υἱὸν ἀ. τοῦτον δὲ τριχῇ διαιροῦσιν· ἔστι μὲν γὰρ αὐτοῦ...τὸ μὲν νοερόν, τὸ δὲ ψυχικόν, τὸ δὲ χοϊκόν. καλοῦσι δὲ αὐτὸν Ἀδάμαν, καὶ νομίζουσι τὴν αὐτοῦ εἶναι γνῶσιν ἀρχὴν τοῦ δύνασθαι γνῶναι θεόν *ib.*10.9(p.268.12; 3419A); θῆλυ δὲ τὸ πνεῦμα καλοῦσι... ἐρασθῆναι δὲ...τὸν πρῶτον ἄ. Thdt.*haer.*1.14(4.306); **5.** in theory of Monoimus λέγει ἄ. εἶναι τὸ πᾶν, ὅ ἐστιν ἀρχὴ τῶν ὅλων, ἀγένητον, ἄφθαρτον, ἄϊδιον, καὶ υἱὸν ἀ. τοῦ προειρημένου γενητὸν καὶ παθητόν, ἀχρόνως γενόμενον, ἀβουλήτως, ἀπροορίστως Hipp.*haer.*8.12(p.232.7; M.16.3358B); *ib.*8.13(p.233.8; 3359A); **6.** Manichean ὁ πρῶτος ἄ. Hegem.*Arch.*7(p.10.6; M.10.1437B); *ib.*12(p.20.3; 1448A) cit. s. ἄρχων.

I. of human nature of Christ, or Christ as man; **1.** in gen. of Christ incarnate; as man ἐν ἀ. θεός Ign.*Eph.*7.2; υἱὸς δὲ θεοῦ, ὁ Ἰησοῦς...εἰ καὶ κοινῶς μόνον ἄ., διὰ σοφίαν ἄξιος υἱὸς θεοῦ λέγεσθαι Just.*1apol.*22.1(M.6.361A); διὰ δυνάμεως τοῦ λόγου κατὰ τὴν τοῦ πατρὸς...βουλὴν διὰ παρθένου ἄ. ἀπεκυήθη καὶ Ἰησοῦς ἐπωνομάσθη *ib.*46.5(397C); σταυρῶσαι...τὸν μόνον ἄμωμον καὶ δίκαιον ἄ. id.*dial.* 17.1(M.6.512B); γεγονὼς πάντα ὅσα ἐστὶν ἄ., ἐκτὸς ἁμαρτίας Hipp. *Noet.*17(p.261.26 v. not. ad loc.; M.10.825D); θεὸς καὶ ἄ. Heraclides ap.Or.*dial.*1(p.220.3); ἦν ὁ τοῦ θεοῦ λόγος ἐν τῷ ἀ. Ath.*inc.*17.4(M. 25.125C); αὐτοῦ...ὄντος τοῦ σώματος, καὶ οὐκ ὄντος ἐκτὸς αὐτοῦ τοῦ λόγου, εἰκότως ὑφουμένου τοῦ σώματος, αὐτὸς ὡς ἄ. διὰ τὸ σῶμα ὑφοῦσθαι λέγεται...εἰ δὲ ὁ λόγος γέγονε σάρξ, ἀνάγκη ὡς περὶ ἀ. λέγεσθαι αὐτοῦ τήν τε ἀνάστασιν καὶ τὴν ὕψωσιν...ὅτι μὴ ὁ πατήρ ἐστιν ὁ γενόμενος σάρξ, ἀλλ' ὁ τούτου λόγος ἐστὶν ὁ γενόμενος ἄ. id. *Ar.*1.45(M.26.104C); ἀ. δὲ γέγονε, καὶ οὐκ εἰς ἄ. ἦλθε...εἰ...μόνον ἐν ἀ. φανεὶς ἦν, οὐδὲν ἦν παράδοξον *ib.*3.30(388A); id.*tom.*7(M.26.804B) cit. s. θεϊκῶς; τὸν Χριστὸν ἀπέστειλας εἰς ἀνθρώπους ὡς ἄ. *Const. App.*7.38.7; θεὸς ἀ. γεγονώς, οὐ τροπὴν ὑποστὰς ἀλλὰ σάρκα λαβών Epiph.*anc.*117(p.145.5; M.43.229A); γέγονε σάρξ, τουτέστιν ἄ. Cyr. *apol.Thdt.*1(p.111.23; 6.205D); ὁ...παντοδύναμος λόγος ἐλθὼν ἐσαρκώθη...καὶ ἐγένετο σάρξ...βουλόμενος δεῖξαι ὅτι κατ' ἀλήθειαν γέγονεν ἄ. Procl.CP *Arm.*5(p.189.30; M.65.860.D); doctrine denied by Manicheans ἐφαίνετο τοῖς ἀ. ὡς ἄ., μὴ ὢν ἄ. Hegem.*Arch.*8(p.12.12; M. 10.1440B); **2.** of Christ assuming humanity, Clem.*prot.*10(p.78.15; M.8.228A) cit. s. ἀναλαμβάνω; ἡγοῦμαι οὖν βασιλέα μὲν λέγεσθαι τὴν προηγουμένην τοῦ πρωτοτόκου...φύσιν...τὸν δὲ ἄ., ὃν ἀνείληφεν, ὑπ' ἐκείνης μορφούμενον Or.*Jo.*1.28(30; p.36.5; M.14.76C); in Or.'s doctrine, of the pre-existent humanity or human soul of Christ τὸν ἄ. τοῦ υἱοῦ τοῦ θεοῦ τὸν τῇ θεότητι αὐτοῦ ἀνακεκραμένον πρεσβύτερον εἶναι τῆς ἐκ Μαρίας γενέσεως *ib.*1.32(37; p.42.12; 88B); Meth.*symp.* 3.5(p.33.7; M.18.69B); οὐκ ἂν δὲ πάλιν ἐθεοποιήθη κτίσματι συναφθεὶς ὁ ἄ., εἰ μὴ θεὸς ἦν ἀληθινὸς ὁ υἱός· καὶ οὐκ ἂν παρέστη τῷ πατρὶ ὁ ἄ., εἰ μὴ φύσει καὶ ἀληθινὸς ἦν αὐτοῦ λόγος Ath.*Ar.*2.70(M.26.296A); [sc. Valentinus] ἐν σχήματι λέγων τὸν κύριον γεγενῆσθαι, ἀλλ' οὐχὶ αὐτὸν τὸν ἄ. παρ' αὐτοῦ προειλῆφθαι Bas.*ep.*261.2(3.402D; M.32.969C); ‡Just.*coh.Gr.*38(M.6.309B) cit. s. ἀναλαμβάνω; τὸν τοῦ θεοῦ λόγον κατελθεῖν καὶ ἀναλαβεῖν τὸν ἄ. ἐκ μήτρας Adam.*dial.*5.7(p.188.31; M. 11.1844A); *ib.*5.8(p.190.5; 1844B); ἔλαβεν γὰρ ὁ μὲν υἱὸς τοῦ θεοῦ τὸν ἄ., ὃν ἐνεδύσατο ἀπὸ τῆς ἐκκλησίας Ph.Carp.ap.Cosm.Ind.*top.*10(M. 88.433C); ἄ. in this sense denotes universal *humanity* not *a man*, cf. τὸν υἱὸν...σάρκα ἤτοι σῶμα, τουτέστιν ἄ., εἰληφέναι Ath.*syn.*28 (p.257.19; M.26.741D); Gr.Nyss.*or.catech.*32(p.116.9; M.45.80B); ἆρα γὰρ καὶ τὴν Μαρίαν ἄ. εἴποιτε εἶναι ἢ οὐκ ἄ.;...εἰ δὲ ἄ. καὶ πῶς τὸν καθόλου ἄ. αὕτη γεγέννηκε, πολλὰς μὲν ἀνθρώπων γενεὰς ἔχοντα πρὸ αὐτῆς, πολλὰς δὲ καὶ μετ' αὐτήν; Leont.H.*Nest.*2.6(M.86.1545D); *ib.* 2.8(1553A); hence ἄ. assumed by Son possesses no independent personality or hypostasis οὐδὲ δύο υἱούς, ἄλλον μὲν υἱὸν θεοῦ...ἄλλον δὲ ἐκ Μαρίας ἄ. Apoll.*ep.Jov.*(p.251.4; M.28.28A); **3.** hence ἄ. = *human nature* of Christ θεὸς καὶ ἄ. ἐφανερώθη, καὶ τὸν μὲν ἄ. αὐτοῦ εὐκόλως ἐστὶ νοεῖν ὅτι πεινᾷ Hipp.*fr.in Ps.*2:7(p.146.2; M.10.608C); cf.Or.*Jo.*1.32(37; p.42.12; M.14.88B); οὐκ ἂν χωρὶς τοῦ ἀ. χαιρησάντων ἡμῶν τὴν ἀπὸ τοῦ λόγου ὠφέλειαν, μένοντος ὅποιος ἦν τὴν ἀρχὴν πρὸς τὸν πατέρα θεόν, καὶ μὴ ἀναλαβόντος ἄ. *ib.*10.6(p.176.23; 316C); τὸν ἄ. τοῦ σωτῆρος, ὃν κατανοεῖν διδασκόμεθα, αὐτὸν εἶναι ποίημα...πῶς ἡμᾶς διδάσκει τὴν θεότητα αὐτοῦ τοῦ λόγου κατανοεῖν; ἀλλ'...Ἰησοῦν τὸν ἄ. τοῦ σωτῆρος...εἶπεν ἡμῖν κατανοεῖν ‡Ath.*serm. fid.*30(p.27; M.26.1285A); Pamph.H.*panopl.*5.2(p.613) cit. s. προδιάπλασις; **4.** of Christ regarded from human aspect *qua* man ὡς ἄ. μαρτυρούμενον ὑπὸ τοῦ θεοῦ ἔχειν τι θειότερον ἐν τῷ βλεπομένῳ ἀ. Or.*Cels.*1.66(p.120.21; M.11.785A); ἐροῦμεν ὅτι ἀδύνατον εἶναι οὕτως ἄ. ἀναμάρτητον. τοῦτο δέ φαμεν ὑπεξαιρουμένου τοῦ κατὰ τὸν Ἰησοῦν νοουμένου ἀ. *ib.*3.62(p.256.17; 1001C); λαβόντος τοῦ κατὰ τὸν σωτῆρα ἀ. τὴν ἐξουσίαν τῶν ἐν οὐρανῷ οἷον τῶν ἐνυπαρχόντων τῷ μονογενεῖ id.*or.*26(p.362.1; M.11.501D); τὸν ἀμνὸν οὐκ ἄλλον τοῦ ἀ. ὑπολητέον ...ὁ δὲ προσαγαγὼν τοῦτον τὸν ἀμνὸν ἐπὶ τὴν θυσίαν ὁ ἐν τῷ ἀ. ἦν θεός id.*Jo.*6.53(35; p.162.1; M.14.292C); θεὸν μὲν κατὰ πνεῦμα, ἄ. δὲ καθ' ὃ γεγέννηται ἐκ τῆς Μαρίας Heraclides ap.Or.*dial.*1(p.122.14); Eus. *h.e.*1.2.23(M.20.65B); εἰς τὸν κατὰ τὸν σωτῆρα νοούμενον ἄ. γεγράφθαι ‡Ath.*serm.fid.*28(p.25; M.26.1284B); 'μιμηταί μου γίνεσθε'...δηλονότι τοῦ ἀ. λέγει *ib.*31(p.27; 1285B); ὁ μὲν κατὰ Χριστὸν ἄ. ἐπὶ Καίσαρος Αὐγούστου τὴν ἀρχὴν λαμβάνει διὰ γεννήσεως Gr.Nyss.*Eun.*6(2 p.145. 4; M.45.729D); *Const.App.*7.38.7; Socr.*h.e.*3.23.45(M.67.445B); **5.** esp. in phrase ὁ κυριακὸς ἄ. *the Christ-man*, i.e. Christ *qua* man, the historical Christ, Ath.*exp.Ps.*40:6(M.27.197B); εἰς οὐρανούς, ὅπου πρόδρομος εἰσῆλθεν ὑπὲρ ἡμῶν ὁ κυριακὸς ἄ., ἐν ᾧ μέλλει κρίνειν ζῶντας καὶ νεκρούς †Ath.*exp.fid.*1(M.25.204A); *ib.*4(205C); ὁ δὲ κυριακὸς ἄ. οὐκ ἄκων...ἀπέθανεν ‡Ath.*serm.fid.*4(p.6; M.26.1265C); τὸν κυριακὸν ἄ. ὃν εἶπεν ὁ Παῦλος μεσίτην θεοῦ καὶ ἀνθρώπων *ib.*26(p.23; 1280B); *ib.*31(p.28; 1285C): μὴ ἀπατάτωσαν οἱ ἄ. ... ἄ. ἄνουν δεχόμενοι τὸν κυριακόν, ὡς αὐτοὶ λέγουσι, μᾶλλον δὲ τὸν κύριον ἡμῶν καὶ θεόν Gr.Naz.*ep.*101(M.37.177B); ἐν τῷ γὰρ εἰπεῖν, γέγονεν ἐν ἀγωνίᾳ, τὸν κυριακὸν ἄ. ἀληθινὸν ἄ. ὄντα δείκνυσι Epiph.*anc.*37(p.46.29; M.43. 84B); *ib.*44(p.54.20; 96C); *ib.*93(p.114.23; 188A): *ib.*(p.115.3; 188B); ἀπὸ προσώπου αὐτοῦ τοῦ κυριακοῦ ἀ., τουτέστι τῆς αὐτοῦ ἐνανθρωπήσεως id.*haer.*69.64(p.213.15; M.42.305D); ‡Chrys.*Spir.*7(3.805D); τῇ ἐνεργείᾳ τοῦ πνεύματος, καθ' ἣν καὶ ὁ κυριακὸς ἄ. (οὕτω γὰρ τοῖς πολλοῖς φίλον προσαγορεύειν τὸν Ἰησοῦν)...ἐκυήθη Ast.Am.*hom.*8(M.

40.280C); *προέκοπτε σοφίᾳ...ὡς κυριακὸς ἄ.* Nest.ap.Cyr.*dial.Nest.* (M.76.252B); ‡Nil.*perist.*4.9(M.79.836A); *ἄγοιτο ὑπὸ τοῦ λόγου ὁ κυριακὸς ἄ.* Leont.H.*Nest.*1.16(M.86.1464B); *ib.*1.18(1468B); *ib.*1.19 (1473C); *ib.*2.14(1568A); *οὐκ ἀνυπόστατον ὑμῖν τὸν ἄ. τὸν κυριακὸν δεῖξαι βουλόμεθα...ἀλλ' οὐκ ἰδιυπόστατον ib.*2.10(1556A); *Ἀπολινάριος ...ἀντὶ νοῦ ψυχικοῦ βουλόμενος εἶναι ἐν τῷ κυριακῷ ἀ. τὸν λόγον* id. *monoph.*(M.86.1809C); *ὁ κυριακὸς ἄ. ἔχει ἰδίαν φύσιν κατὰ τὸ σαρκικόν ib.*(1872B); Pamph.H.*panopl.*4(p.611); **6.** emphasizing independent reality and completeness of Christ's manhood, and human centre of personality of the Christ-man; *ἄ.* denoting the man who embodied Christ *ὥσπερ γὰρ ἦν ἄ., ἵνα πειρασθῇ, οὕτω καὶ λόγος, ἵνα δοξασθῇ· ἡσυχάζοντος μὲν τοῦ λόγου ἐν τῷ πειράζεσθαι...συγγινομένου δὲ τῷ ἀ. ἐν τῷ νικᾶν* Iren.*haer.*3.19.3(M.7.941A); cf. *qui de substantia domini nostri, et de dispositione quam fecit propter hominem suum, falsa docent, ib.*3.24.1(966A); *λόγος γὰρ ἦν θεοῦ πρωτότοκος ἀπ' οὐρανῶν ἐπὶ σὲ κατερχόμενος, καὶ ἄ. πρωτότοκος ἐν κοιλίᾳ πλασσόμενος, ἵν' ὁ πρωτότοκος λόγος θεοῦ πρωτοτόκῳ ἀ. συναπτόμενος δειχθῇ* Hipp.*fr.1Reg.*2(p.121.11)ap.Thdt.*eran.*1(4.55); *τὸν ἐκ τῆς παρθένου ἄ. ἀναλαβών ib.*3(p.122.2)ap.eund.l.c.; *ὁ δὲ ἄ. ἐκεῖνος, ᾧ σύνοικος ὁ λόγος...ἐξομοιοῦται τῷ θεῷ...καὶ γὰρ ὁ θεὸς ἐστιν· θεὸς δὲ ἐκεῖνος ὁ ἄ. γίνεται, ὅτι βούλεται ὁ θεός* Clem.*paed.*3.1(p.236.22; M.8.556C); *σοφίαν...τῷ...πρωτογόνῳ τῶν ἀ. ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι* Meth.*symp.*3.4(p.30.21; M.18.68A); *οὐδαμῶς μὲν τοῦ εἶναι ὃς ἦν ἐξιστάμενος, ὁμοῦ δ' ἐν τῷ ἀ. φυλάττων τὸν θεόν* Eus.*d.e.* 4.10(p.168.31; M.22.281A); *πάντα γ' ἐπιτελῶν δι' οὗ ἀνείληφεν ἄ. ib.*4. 13(p.172.5; 285D); *ib.*9.3(p.409.27; 661A); *τὸν υἱὸν τοῦ ἀ. ὃν ἀνείληφεν* id.*Marcell.*2.1(p.32.14; M.24.777B); id.*e.th.*1.6(p.65.6; M.24.836A); *ἐκ γυναικὸς δὲ γέγονεν ἄ., ὁ...πνεύματι παγεὶς ἁγίῳ* Eust.*fr.in Pr.8:22* (M.18.677B); *ὁ ἄ. γὰρ ὁ ἀποθανὼν τριήμερος μὲν ἀνίσταται ib.*(680C); *κύριον δὲ τῆς δόξης αὐτὸν τὸν ἄ. τὸν σταυρωθέντα σαφῶς ὀνομάζει ib.*(681A); *εἰ...Παῦλος ἔφρασε, τὸν κύριον τῆς δόξης ἐσταυρῶσθαι, σαφῶς εἰς τὸν ἄ. ἀφορῶν, οὐ...δεήσει πάθος τῷ θείῳ προσάπτειν ib.*(681C); *τὸ τοῦ Χριστοῦ πρόσωπον εἰσιδών...ἄ. ... καθαρὸν...ἐποπτεύων* id.*engast.*10(p.31.13; M.18.633B); *τοῦτο οὐ πέπονθεν, ἀλλ' ὁ ἄ. ὃν ἐνεδύσατο, ὃν ἀνέλαβεν ἐκ Μαρίας τῆς παρθένου, τὸν ἄ. τὸν παθεῖν δυνάμενον· ὅτι ἄ. θνητός, θεὸς δὲ ἀθάνατος. πιστεύομεν ὅτι...ἀνέστη οὐχ ὁ θεὸς μὲν ἐν τῷ ἀ., ἀλλ' ὁ ἄ. ἐν τῷ θεῷ ἀνέστη* CSard.*ep.cath.* ap.Thdt.*h.e.*2.8.48(3.847); Ath.*Ar.*2.70(M.26.296A) cit. s. 2; *ἀνείληφεν ἄ., Χριστὸν Ἰησοῦν, ὃν...παθεῖν παρέδωκεν...ἐν ᾧ ἀ. ... ἀποθανὼν ...ἀνέστη* †Ath.*exp.fid.*1(M.25.201B); ‡Ath.*serm.fid.*3(p.5; M.26. 1265C); *ib.*24(p.19; 1276C); ‡Ath.*Ar.*4.35(p.84.12; M.26.521B) cit. s. *χρίσις*; Bas.*ep.*210.5(3.316E; M.32.776B) cit. s. *συνάφεια*; Gr.Nyss. *Eun.*5(2 p.117.7; M.45.697B) cit. s. *δεξιός*; *ib.*6(2 p.150.14; 736D); *εἰ ταῦτα τιθείη ἀποδείκνυται τὸ μὴ ἑνοῦσθαι ἄ. θεῷ* id.*Apoll.*45(M.45. 1232B); *ὁ ἐν Μαρίᾳ ἄ., ἐν ᾧ ᾠκοδόμησεν ἡ σοφία τὸν ἴδιον οἶκον* id. *ep.*3(M.46.1021A); *τέλειον εἰς ἑαυτὸν ἀναπλάσας ἄ. ἀπὸ Μαρίας...οὐκ ἐν ἀ. οἰκήσας, ὡς εἴωθεν ἐν προφήταις...κατοικεῖν...ἀλλ' αὐτὸς... συμπεριλαβὼν τὸ εἶναι ἀ. καὶ εἴ τί ἐστιν ἄ. ἀ. δὲ...τέλειον ⟨ἔχοντα⟩ ὅσα ἐν ἀ. καὶ οἷα ἄ.* Epiph.*anc.*75(p.95.1f.; M.43.157C); *ἑνώσει τοῦ...λόγου πρὸς τὸν ἐκ Μαρίας ἄ.* Atticus CP*fr.*ap.Thdt.*eran.*2(4.167); *τῶν... ἁγίων...Βασιλείου καὶ Γρηγορίου...καταψεύδεται· μὴ γὰρ λέγειν αὐτοὺς ἀ. γεγενῆσθαι τὸν υἱόν, ἀλλ' ἑνοικῆσαι ἀνθρώπῳ* Philost.*h.e.*8.13(M.65. 565B); esp. among Antiochene theologians, Diod.*synous.*(M.33. 1560C) cit. s. *χάρις*; *οὐκ εἶπεν τοῦ υἱοῦ, ἀλλὰ τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ· οὐ γὰρ κοινωνοὶ τῆς βασιλείας τοῦ θεοῦ λόγου γινόμεθα, ἀλλὰ τοῦ ἀναληφθέντος ἀ.* Thdr.Mops.*Col.*1:13(p.260.8; M.66.928A); cf. *quemadmodum...fieri poterat, ut ille qui adsumptus est homo ipse sit et qui de caelo descendit?* id.*Eph.*4:10(p.168.4); *ἄ. ... ἡνωμένον τῷ μονογενεῖ* id.*fr.inc.*(p.298.12; M.66.980C); *εἰ γὰρ οὐκ ἄ. ἐστιν... ἀναληφθείς ὁ γεννηθείς...θεὸς δὲ σαρκωθείς, πῶς ὁ γεννηθεὶς θεὸς ἐκ θεοῦ καὶ ὁμοούσιος λέγοιτο ἂν τῷ πατρί;* id.*fr.Apoll.*3.1(p.313.8; M.66. 993C, Lat.); *τὸν δὲ ἄ. περὶ οὗ ταῦτά φησιν ὁ προφήτης σαφῶς...δηλοῖ Παῦλος τὸν ὑπὸ τοῦ μονογενοῦς εἰλημμένον ἄ. εἶναι...σαφῶς δεικνὺς ὅτι Ἰησοῦς ἄ. ib.*4.4(p.320.34; 1001A); *ὁ...θεὸς λόγος ἄ. εἴληφεν τέλειον ἐκ σπέρματος ὄντα...Δαβίδ...ἄ. τέλειον τὴν φύσιν ἐκ ψυχῆς τε νοερᾶς καὶ σαρκὸς συνεστῶτα ἀνθρωπίνης* id.*symb.*(p.98.14; M.66.1017B); *οὐ λόγῳ φύσεως ἀλλ' εὐδοκίας, καθ' ἣν ἡνώθη τῷ θεῷ λόγῳ ὁ κατὰ πρόγνωσιν ἐκ σπέρματος Δαβὶδ γενόμενος ἄ.* id.*fr.mir.*(p.339.16; M.66. 1004D); *θεὸς γὰρ ἦν ὁ λόγος, ἀνθρώπῳ τε συνημμένος καὶ ἑνοικῶν αὐτῷ* Nest.*fr.*C 11(p.278.3)ap.Cyr.*Nest.*1.2(p.20.2; 6^1.12B); *οὐ σὰρξ ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἄ. ἀνειληφώς...ὃν δὲ ἀνέλαβεν ἄ. οὐ φύσει θεὸς ὢν διὰ τὸν ἀναλαβόντα αὐτὸν ἀληθῶς θεοῦ υἱὸν ὁμωνύμως αὐτῷ χρηματίζει ib.*B 5(p.217.20)ap.Cyr.*Thds.*6(p.46.3; 5^2.5E); such language already implicitly attacked, Ath.*Ar.*3.30(M.26.388B); *ἡμᾶς φησι δύο πρόσωπα λέγειν, τὸν θεὸν καὶ τὸν παρὰ τοῦ θεοῦ προσληφθέντα ἄ.· αὐτὸν δέ φησι μὴ οὕτως ἔχειν, ἀλλὰ...τὸν σαρκωθέντα...οὐχ ἕτερον παρὰ τὸν ἀσώματον, ἀλλὰ τὸν αὐτὸν καθ' ὁμοίωσιν ἡμετέρας ἐν σαρκὶ ζωῆς* Apoll.*fr.*67(p.220.13)ap.Gr.Nyss.*Apoll.*35(M.45.1200B); *ib.*76 (p.222.21; M.45.1212A) cit. s. *ἐπιστημοσύνη*; *εἰ ἀ. συνήφθη ὁ θεός, τέλειος τελείῳ, δύο ἂν ἦσαν ib.*81(p.224.14; 1212C); and protested against by Cyril *ἄ. δὲ ἀνειλῆφθαι παρὰ τοῦ θεοῦ λόγου φασὶ...κατὰ σχέσιν δηλονότι καὶ οἰκειότητα τὴν πνευματικὴν τὴν ὡς ἐν θελήσει καὶ χάριτι* Cyr.*apol.Thdt.*72(p.138.6; 6^1.232C); *τοὺς δὲ λέγοντας ὅτι τὸν Λάζαρον...ἤγειρεν φωνήσας οὐχ ὁ ἄ., ἀλλὰ ὁ θεὸς λόγος, καὶ ὅτι οὐχ ὁ θεὸς ἐκοπίασε...ἀλλ' ὁ ἀναληφθεὶς ἄ. ... φαμὲν διημαρτηκέναι τῆς ἀληθείας* id.*resp.*20(6^2.390B); *ἄ. γεγονώς, καὶ οὐκ εἰς ἀ. ἐλθών, ἦγουν ἄ. ἑαυτῷ συνάψας* id.*hom.pasch.*27(5^3.323B); but Cyril asserts *ὁ λόγος ...γέγονεν ὑπὲρ ἡμῶν ἀρχιερεύς, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ γυναικὸς ἄ. ἤτοι ναὸν ἀναλαβών thes.*21(5^1.214B); cf. *ὁ...Κύριλλος...εὔδηλον ἡμῖν ἐποίησεν...ὅτιπερ ὁ...υἱὸς...ἄ. τέλειον ἀνέλαβεν* [Eudoxius Bosphorensis ap.CCP(448)]*...καὶ ἐν τῷ ἀναγινώσκεσθαι Εὐστάθιος... Βηρυτοῦ εἶπεν· ἄ. οὐκ ἀνέλαβεν ἀλλ' ἄ. ἐγένετο· σάρκα δὲ ἀνέλαβεν* CCP(448)*act.*(*ACO* 2.1.1 p.122.13; II.2.137D); employed by Thdt., ref. Christ as head of Church *κατὰ τὸ ἀνθρώπειον ἡμῶν ἐστι κεφαλή, ὡς καὶ περὶ ἀ. καὶ ταῦτα εἰρῆσθαι, πᾶσαν ἐν αὐτῷ φέροντος τὴν θεότητα* Thdt.*Col.*2:9(3.485); *τέλειον ἄ. ὑπὸ τελείου θεοῦ ἀνειλῆφθαι* id.*ep.*151 (4.1298); *θεοτόκον...οὐχ ὡς θεὸν φύσει γεννήσασαν ἀλλ' ὡς ἄ. τῷ... ἡνωμένον θεῷ* id.ap.Cyr.*apol.Thdt.*1(p.109.18; 6^1.204E); *οὔτε θεὸς ἀνθρωπείας κεχωρισμένος φύσεως οὔτε ἄ. γεγυμνωμένος θεότητος ib.* (p.109.30; 205B); by Leont. II. *θεοῦ ἀληθοῦς πρὸς ἄ. ἀληθῆ γέγονεν ἀληθῶς ἡ φυσικὴ σύνθεσις τοῦ δεσπότου ἡμῶν Nest.*1.14(M.86.1457B); *εἰ τοίνυν οὐ συνετέθη ὁ λόγος τῷ ἐξ ἡμῶν ἀ. ... ἔσται ὁ ἐξ ἡμῶν ἄ. ἄλογός τε καὶ ἄνους ib.*1.16(1461B) echoing Nestorian argument *οὐδὲ συνετέθη τῷ ἐξ ἡμῶν ἀ.* [sc. *ὁ λόγος*] *ib.*(1461A); *ἔχει τὴν ἄκτιστον ὑπόστασιν τοῦ λόγου, καὶ τῆς κτιστῆς αὐτοῦ φύσεως οὖσαν ὑπόστασιν, σὺν τῷ λόγῳ καὶ ὁ ἄ. ὁ ἐν Χριστῷ ib.*1.39(1500C); **7.** of Christ as 'new man', v. *καινός*, *Ἀδάμ*; **8.** heret., of Christ as mere man *οἱ...τὴν θεότητα αὐτοῦ περιγράψαντες, τὸν δὲ ἄ. ὡς ἅγιον καὶ δικαιότατον πάντων ἀ. ὁμολογήσαντες* Or.*Jo.*10.6(4; p.176.15; M.14.316B); *οἱ μὲν γὰρ τὸν ἄ. ὃν ἔλαβεν ὁ σωτήρ, αὐτὸν εἶναι τὸν υἱὸν λέγουσιν· οἱ δὲ τὸ συναμφότερον, τόν τε ἄ. καὶ τὸν λόγον, υἱὸν τότε γεγενῆσθαι, ὅτε συνήφθησαν* ‡Ath. *Ar.*4.15(p.59.19; M.26.488C); Thdt.*haer.*2.1(4.328); v. *φιλός*; **9.** of man's re-creation in Christ, cf. *deus hominis...plasmationem in se recapitulans, ut...vivificaret hominem*, Iren.*haer.*3.18.7(M.7.938B); *Χριστὸς νέον τὸν παλαιὸν ἄ. ἀποτελῶν* Hipp.*haer.*10.34(p.293.11; M. 16.3454C); cf.id.*antichr.*4(p.7.2; M.10.732B); *τί γὰρ ἄλλο πλὴν ὁ πᾶς ἄ. ὑπὸ τῆς θεότητος κατεπίνετο, καὶ πάλιν θεὸς ἦν ὁ θεὸς λόγος, οἷος καὶ πρὶν γενέσθαι ἄ., καὶ συναπτέθεόν γε τὸν ἄ. ἀπαρχὴν τῆς ἡμῶν ἐλπίδος* Eus.*d.e.*4.14(p.173.13; M.22.170D); Ath.*Ar.*2.70(M.26.296A).

***ἀνθρωπόσαρκος**, *having human flesh* Leont.H.*Nest.*6.5(M.86. 1756C) cit. s. *θεόσαρκος*.

***ἀνθρωποσφαγία**, ἡ, *slaughter of men*, Tat.*orat.*23(p.26.4; M.6. 857C *ἀνθρωποφ-*).

***ἀνθρωπόσχημος**, *in human guise* ἀ. *τὸ θεῖον αἰ...γραφαὶ καταγγέλλουσιν* ‡Ath.*disp.*29(M.28.476D).

***ἀνθρωπότερον**, *in a manner more suitable for men*, Proc.G.*Gen.* 11:7(M.87.313C), prob. f.l. for *ἀνθρωπινότερον*.

ἀνθρωπότης, ἡ, **1.** *mankind, humanity*, in gen. *ὑποτάσσεσθαι τὰ πάντα τῇ ἀ.* Thphl.Ant.*Autol.*1.6(M.6.1033A); *οἰκονομίαν τοῦ θεοῦ, τὴν ἐπὶ τῇ ἀ. γενομένην* Iren.*haer.*1.10.3(M.7.556A); *ib.*3.11.8(889B); Clem.*prot.*11(p.80.23; M.8.232B); *μία...τῆς ἀ. σωτηρία ἡ πίστις* id. *paed.*1.6(p.108.10; M.8.285C); id.*str.*7.2(p.7.7; M.9.412A); *θηρία διαφθείροντα τὴν ἀ.* Hipp.*Dan.*4.2.2(M.10.680D); Meth.*symp.*1.2(p.10. 14; M.18.41A); *πρῶτον τῆς ἀ. ἄνθρωπον...Ἀδάμ ib.*3.4(p.31.4, v.l. *τῶν ἀνθρώπων* M.18.68A); Ath.*exp.Ps.*15:1(M.27.100D); *συναντᾷ αὐτῷ θόρυβος τῆς ἀ.* Ephr.1.330E; Mac.Aeg.*hom.*3.6(M.34.472B); Bas. *hom.*1.3(2.3A; M.31.168A); *ἐὰν ἐν πολιτείᾳ...ᾖ ἀ. ζηλώσῃ σε* Esaias *or.* 5.5(p.20); Cosm.Ind.*top.*2(M.88.124B); **2.** abstract, *humanity, human nature*; **a.** opp. divine *ἄνθρωπον οὐχὶ τὸν ὁμοια τοῖς ζώοις πράττοντα, ἀλλὰ τὸν πόρρω μὲν τῆς ἀ. πρὸς αὐτὸν δὲ τὸν θεὸν κεχωρηκότα* Tat. *orat.*15(p.16.15; M.6.837B); **b.** in good sense *εἰ...τὰς περὶ τὰ λεγόμενα θεῖα πράξεις μιμήσαιτο...ἀλλότριος...ἀνθρωπότητος λογισθείη* ‡Just. *monarch.*6(M.6.325B); **c.** in gen. *διαφόροις σπουδάσμασιν ἡ ἀ. γνωρίζεται* Const.ap.Eus.*v.C.*2.59(p.65.6; M.20.1033A); Gr.Nyss.*Eun.*1(1 p.73.27; M.45.304B); *τὰ τῇ ἀ. πρέποντα* Cyr.*thes.*20(5^1.196D); *ἀνθρωπότητος γὰρ ἴδιον τὸ μὴ εἰδέναι τὰ μέλλοντα ib.*22(218C); *τὴν κατ' εἰκόνα...κτισθεῖσαν ἀ.* Leont.II.*Nest.*1.18(M.86.1472A); **3.** universal, *humanity ἀτομόν ἐστιν, ἡ καθ' ἕκαστον ἡμῶν ὑπόστασις· ἀ. δὲ ἡ τῆς οὐσίας κοινότης* ‡Ath.*dial.Trin.*1.16(M.28.1141D); *ἡ ὑπόστασις Πέτρου ἄνθρωπός ἐστι, καὶ ἡ ὑπόστασις Παύλου ἄνθρωπός ἐστι· καὶ δύο εἰσὶν ὑποστάσεις, καὶ οὐ δύο ἀ. ib.*1.17(1144C); *παρ' Ἕλλησι...μία θεότης ...καὶ παρ' ἡμῖν ἀ. μία, τὸ γένος ἅπαν. ἀλλ' ὅμως θεοὶ πολλοί, καὶ*

οὐχ εἷς, ὡς δὴ καὶ ἄνθρωποι Gr.Naz.*or.*31.15(p.163.11; M.36.149B); **4.** of Christ's human nature, v. *θεότης*; *Παῦλος ἄλλον Χριστὸν οὐκ οἶδεν ἀλλ' ἢ τοῦτον...ὃν καὶ ἄνθρωπον λέγει...πανταχοῦ ἐπὶ τοῦ πάθους...καὶ τῆς ἀ. αὐτοῦ...τῷ τοῦ Χριστοῦ κέχρηται ὀνόματι* Iren. *haer.*3.18.3(M.7.933B); Clem.*paed.*1.5(p.99.6; M.8.268A) cit. s. *νεολαία*; *δόξα τῇ θεότητί σου ἢ...εἰς ἀπεικασίαν ἀνθρώπων ὤφθη· δόξα τῇ ἀ. σου, ἥτις δι' ἡμᾶς ἀπέθανεν A.Thom.*A 80(p.196.3); *φύσει μὲν αὐτοῦ ἀρχὴ ἡ θεότης, πρὸς ἡμᾶς δέ, μὴ ἀπὸ τοῦ μεγέθους αὐτοῦ δυναμένους ἄρξασθαι τῆς περὶ αὐτοῦ ἀληθείας, ἡ ἀ. αὐτοῦ, καθ' ὃ... καταγγέλλεται 'Ἰησοῦς Χριστός* Or.*Jo.*1.18(20; p.23.1; M.14.53D); *οἱ ἀναιροῦντες αὐτοῦ τὴν ἀ., καὶ μόνην αὐτοῦ τὴν θεότητα παραδεξάμενοι ib.*10.6(4; p.176.13; 316B); *τὴν ὁμοιοπαθῆ ταύτην ἡμῖν ἀναλαβὼν ἀ.* Cyr.H.*catech.*4.9; Ath.*Ar.*1.41(M.26.96C) cit. s. *ὕψωσις*; *ὅσα...λέγει ἡ γραφή, ὅτι...ἐδοξάσθη ὁ υἱός, διὰ τὴν ἀ. αὐτοῦ λέγει, οὐ διὰ τὴν θεότητα* id.*inc.et c.Ar.*4(M.26.989B); *ἐγὼ...καὶ τὸ 'ἐν μορφῇ θεοῦ ὑπάρχειν' ἴσον δύνασθαι τῷ 'ἐν οὐσίᾳ θεοῦ ὑπάρχειν' φημί. ὡς γὰρ τὸ 'μορφὴν εἰληφέναι δούλου' ἐν τῇ οὐσίᾳ τῆς ἀ. τὸν κύριον γεγενῆσθαι σημαίνει· οὕτω δὲ καὶ τὸ 'ἐν μορφῇ θεοῦ ὑπάρχειν' τῆς θείας οὐσίας παρίστησι πάντως τὴν ἰδιότητα* Bas.*Eun.*1.18(1.230A; M.29.552C); *τίς δὲ τῆς ἀ., ἣν...ὑπέστη θεός, αἰτία; τὸ σωθῆναι...ἡμᾶς...ἐχρίσθη θεότητι. χρίσις γὰρ αὕτη τῆς ἀ.* Gr.Naz.*or.*30.2(p.110.8; M.36.105B); ref. Jo. 17:5 *φαίνεται οὖν τὰ τοιαῦτα κατ' οἰκονομίαν τῆς ἀ., οὐ κατ' ἔλλειψιν τῆς θεότητος εἰρηκώς* Didym.(‡Bas.)*Eun.*4.3(1.292C; M.29.701B); Epiph. *haer.*65.7(p.11.1; M.42.24D); ref. Jo.7:1 *εἶπεν...ἵνα δηλώσῃ ὅτι καὶ τὰ τῆς θεότητος ἐπεδείκνυτο, καὶ τὰ τῆς ἀ.* Chrys.*hom.48.1 in Jo.* (8.283C); Cyr.*Is.*2.1(2.193C); *τὸ τῆς ἀ. μυστήριον* id.*thes.*20(5[1].195B); *τὸν ἕνα κύριον 'Ἰησοῦν Χριστὸν...θεότητός τε καὶ ἀ., διὰ τῆς...πρὸς ἑνότητα συνδρομῆς* id.*ep.*4.3(p.27.4; 5[2].23C); *γεννηθέντα...ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀ., ὁμοούσιον τῷ πατρὶ...κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀ. ib.*39.5(p.17.12; 5[2].106B); *Symb.Chalc.* (p.129.27; H.2.456C); *τῆς ἀναληφθείσης ἀ. τὴν ἀποστολὴν εἶναι* Thdt. *Trin.*15(M.75.1169A); *μήπω δὴ θεὸν εἶναι τὸν δι' ἀνθρωπότητος φανερούμενον ἐπιστάμενος* Bas.Sel.*or.*19.1(M.85.241A); *θεότητα κεκρυμμένην ἐν ἀ. ib.*25.2(289B); Leont.B.*Nest.et Eut.*1(M.86.1280C); *ἡ δὲ ἀ. τοῦ Χριστοῦ πάντας τοὺς ἀνθρώπους, μάλιστα τοὺς Χριστούς, ἔχει μετούχους. διὰ τοῦτο γὰρ ὅτι παρὰ πάντας ἐχρίσθη ἡ ἀ. τοῦ Χριστοῦ, χρισθεῖσα πνεύματι ἁγίῳ* Cosm.Ind.*top.*5(M.88.253C); Justn.*conf.* (p.74.1; M.86.995C); *θεότης καὶ ἀ. ἡνώθη καθ' ὑπόστασιν* Max.*ambig.* (M.91.1060A); *ἀρχὴ δὲ καὶ τέλος ὁ Χριστός, ὡς πρῶτος διὰ τὴν θεότητα· καὶ ἔσχατος, διὰ τὴν ἀ.* Andr.Caes.*Apoc.*66(M.106.425D); in exposition of nature of prophecy *τὸ γὰρ προφητικὸν πνεῦμα τὸ σωματεῖόν ἐστιν τῆς προφητικῆς τάξεως ὃ ἔστιν τὸ σῶμα τῆς σαρκὸς 'Ἰησοῦ Χριστοῦ τὸ μιγὲν τῇ ἀ. διὰ Μαρίας POxy.*5.14 [saec. iii–iv].

ἀνθρωποτόκος, *man-bearing, who is mother of man,* epithet of BMV; **1.** apptly. used in Antiochene theology in time of Gr.Nyss. (cf. teaching of Diod. *μὴ τῆς Μαρίας υἱὸς ὁ θεὸς λόγος ὑποπτευέσθω synous.*(M.33.1560C)) *μὴ τὴν ἁγίαν παρθένον τὴν θεοτόκον ἐτόλμησέ τις ἡμῶν καὶ ἀ. εἰπεῖν, ὅπερ ἀκούομέν τινας ἐξ αὐτῶν ἀφειδῶς λέγειν;* Gr.Nyss.*ep.*3(M.46.1024A); **2.** used by Thdr. Mops. in conjunction with *θεοτόκος* q.v.: *ὅταν τοίνυν ἐρωτῶσιν, ἀ. ἢ θεοτόκος ἡ Μαρία, λεγέσθω...ἀμφότερα· τὸ μὲν γὰρ τῇ φύσει τοῦ πράγματος, τὸ δὲ τῇ ἀναφορᾷ· ἀ. μὲν γὰρ τῇ φύσει, ἐπείπερ ἄνθρωπος ἦν ὁ ἐν τῇ κοιλίᾳ τῆς Μαρίας, ὡς καὶ προῆλθεν ἐκεῖθεν· θεοτόκος δὲ, ἐπείπερ θεὸς ἦν ἐν τῷ τεχθέντι ἀνθρώπῳ fr.inc.*15(p.310.14; M.66.992B); **3.** used by Nest.; **a.** in preference to *θεοτόκος*: *ὥσπερ οὖν ἡ γυνὴ τίκτει μέν...σῶμα, ψυχοῖ δὲ θεός, καὶ οὐκ ἂν λέγοιτο γυνὴ ψυχοτόκος, ὅτι ἔμψυχον ἐγέννησεν, ἀ. δὲ μᾶλλον, οὕτω καὶ ἡ...παρθένος, καὶ εἰ τέτοκεν ἄνθρωπον, συμπαρελθόντος αὐτῷ τοῦ θεοῦ λόγου, ἀλλ' οὐ διὰ τοῦτο θεοτόκος* Nest.*fr.*D 1(p.352.10)ap.Cyr.*Nest.*1.3(p.23.34; 6[1].17D); *θεοτόκον μὲν οὐκ εἶναι λέγων τὴν ἁγίαν παρθένον, Χριστοτόκον δὲ μᾶλλον καὶ ἀ.* Cyr.*Chr.un.*(5[1].716C); *Χριστοτόκον, Κυριοτόκον, ἀ. ἐμάθομεν ἀπὸ τῆς γραφῆς λέγειν, θεοτόκον δὲ οὐδαμῶς ἐδιδάχθημεν λέγειν* id.*dial. Nest.*(M.76.249A); id.*ep.*45(p.152.12; 5[2].136B); *Νεστόριος...ἀ. λέγων τὴν ἁγίαν παρθένον, καὶ οὐ θεοτόκον* Eulog.*fr.Trin.*(M.86.2944A); *τῶν μὲν λεγόντων ἀ. δεῖν τὴν Μαρίαν ὀνομάζεσθαι· τῶν δὲ θεοτόκον* Evagr. *h.e.*1.7(p.12.29; M.86.2436B); **b.** in conjunction with *θεοτόκος, ego una tecum clamo τὸ θεοτόκος. sed et τὸ θεοτόκος dico et addo et τὸ ἀ.* Nest.*fr.*C 18(p.301.17); *cum θεοτόκον vocas...memineris et ἀ. vocare, ib.*(p.309.8); *ib.*(p.312.26); id.*fr.*C 19(p.319.11); cf.id.*ep.*9(Loofs p.191.19); *nos enim vocem, qua dei genetrix nominatur, si cum voce ponatur illa, quae est hominis genetrix, integerrimum pietatis credimus characterem, ib.*(p.192.7); this conjunction guards against Arianism and Apollinarianism, and also against heresy of Paul of Samosata and Photinus, id.*fr.*C 18(p.303.15); **4.** used by other Antiochenes in conjunction with *θεοτόκος*: *οὐ προέβη τοίνυν οὐδὲ τοῦτο τοῖς ἀπὸ τῆς Ἀνατολῆς...οἱ μὲν γὰρ αὐτῶν καταδέχονται θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον μετὰ καὶ τοῦ ἀ.* Cyr.*ep.*27 (p.45.27; 5[2].91A); cf.Alexander Hierapolitanus ap.*Synodicon* 86(94) (Schultze, *Theodoreti opera* (Halle, 1769–74) 5.746); *ἐπειδὴ...ναὸς ἦν θεὸν ἔνοικον ἔχων...οὐκ ἀ. ⟨μόνον⟩ ἀλλὰ καὶ θεοτόκον τὴν παρθένον προσαγορεύομεν* Thdt.ap.Cyr.*apol.Thdt.*1.7(p.109.27; 6.205A); *θεοτόκον καὶ ἀ. τὴν ἁγίαν παρθένον προσαγορεύομεν* id.*ep.*151(4.1303); *τίς οὕτως εὐήθης, ὡς φυγεῖν τὴν ἀ. φωνήν, μετὰ τῆς θεοτόκου τιθεμένην; ib.*(1304); *θεοτόκος καὶ ἀ. ἡ ἁγία παρθένος ὑπὸ τῶν τῆς εὐσεβείας διδασκάλων προσαγορεύεται* id.*inc.*35(M.75.1477A); **5.** rejected by Cyril *ἀρκεῖ...τὸ θεοτόκον λέγειν καὶ ὁμολογεῖν τὴν ἁγίαν παρθένον· τό γε μὴν προσεπάγειν ὅτι καὶ ἀ., οὐκ ἀναγκαῖον οὔτε ἐπωφελές hom. div.*15.4(p.14.20; M.77.1093A); cf.†Cyr.*hom.div.*11(5[2].382D); *περιττὸν δὲ οἶμαι τὸ δεῖν οἴεσθαι καὶ ἀ. αὐτὴν εἰπεῖν* Cyr.*apol.Thdt.*1.15(p.113.1; 5[2].206D); and by Thdot. Anc. *ἡ παρθένος οὐκ ἔστιν ἀ. exp.symb.* 18(M.77.1340C); **6.** rejected by later writers, e.g. Leont.H.*Nest.*4.1 (M.86.1652C); *ib.*4.21(1685C); and anathematized, Justn.*conf.anath.* 5(p.92.2; M.86.1015B); v. *θεοτόκος*.

***ἀνθρωποϋπόστατος,** *having a human hypostasis, subsisting hypostatically as man,* ‡Ath.*annunt.*6(M.28.925B) cit. s. *θεοϋπόστατος*.

***ἀνθρωποφανής,** *having human appearance,* Philost.*h.e.*3.11(M. 65.497B).

***ἀνθρωποφόρος,** *man-bearing,* of divinity of Christ *τὸ δεῖν προσκυνεῖν μὴ σάρκα θεοφόρον, ἀλλὰ θεὸν ἀ.* Gr.Naz.*ep.*102(M.37. 200C); *εἴπερ ἡ στολὴ τοῦ λόγου ἐστὶν ἡ σάρξ...ἡ δὲ σάρξ ἐστιν ὁ ἄνθρωπος, θεὸν ἀ. ἀκόλουθον μᾶλλον εἰπεῖν ἐπὶ Χριστοῦ* Leont.H.*Nest.* 6.1(M.86.1753B); *ib.*6.2(1753D); *προῆλθεν ἐκ τῆς μητρὸς θεὸς ἀ., τουτέστι θεὸς καὶ ἄνθρωπος ἐν μιᾷ ὑποστάσει* Anast.*fid.*(p.273).

***ἀνθρωποφυϊκός,** *of human nature,* Dion.Ar.*myst.*3(M.3.1033A).

***ἀνθρωπόφυτος,** neut. as subst., *that which is born of man,* Melet.*nat.hom.*synops.(M.64.1084C).

***ἀνθρωπώνυμος,** *having a human name,* Anast.S.*fr.*5(M.89.1288A).

ἀνθυλακτέω, *bark* or *bay in answer,* ‡Bas.*Lac.*3(2.590A; M.31. 1445A); Gel.Cyz.*h.e.*3.15.1.

ἀνθυπάγω, 1. *bring back into bondage πάλιν ἀ. τοῖς ἁμαρτήμασιν* Dion.Al.*fr.*(p.61.4); **2.** *bring under instead,* †Bas.*Is.*277(1.591B; M. 30.608B).

ἀνθυπακού-ω, *be obedient in reparation ἐκείνου...παρακούσαντος, ~ει οὗτος μέχρι σταυροῦ* ‡Caes.Naz.*dial.*122(M.38.1012).

ἀνθυπαντάω, *meet, reply* to objections, Anast.S.*hod.*15(M.89. 260B).

ἀνθυπατιανός, *of proconsular rank,* Hier.*vir.ill.*(tr.Sophr.Pal.)53 (p.34.15; *ἀντ-* M.*PL.*23.662C); *Cod.Afr.*proem.(H.1.861A); *ib.*(881B).

ἀνθύπατος, ὁ, *proconsul, M.Polyc.*4; Ath.*fug.*3(p.70.11; M.25. 648C); Pall.*h.Laus.*62(p.157.16; M.34.1233B); as imperial title *Μαξιμιανὸς...πατὴρ πατρίδος, ἀ.* Maximian ap.Eus.*h.e.*8.17.4(M.20.792A).

***ἀνθυπερβάτως,** *in inverted order, out of order,* Epiph.*haer.*57.6 (p.351.14; M.41.1004C); *ib.*70.12(p.246.3; M.42.365B).

***ἀνθυποβαίνω,** *descend to, submit to, in turn ἀνθυπέβη γὰρ πᾶσι τοῖς τοῦ προπάτορος ἡμῶν ὀφλήμασιν ὁ Χριστός* ‡Caes.Naz.*dial.*122 (M.38.1012).

***ἀνθυποδέχ-ομαι,** *receive in exchange* or *from one another,* ‡Bas.*const.*33.1(2.579C; M.31.1421C); *'χάριν...ἀντὶ χάριτος' χάριν γὰρ ἡμεῖς ὥσπερ καὶ δῶρον καλὸν προσφέροντες τὴν ἑαυτῶν τῷ θεῷ πίστιν, χάριν ~όμεθα οὐρανόθεν μεγίστην* Nil.*epp.*2.314(M.79.353B).

***ἀνθυποκρούω,** *object in answer,* Gr.Nyss.*bapt.Chr.*(M.46.584C).

***ἀνθυπομνήσκω,** *recall in answer* to an objection, ‡Meth.*palm.*7 (M.18.396C).

ἀνθυποστρέφω, 1. *turn back, return; turn again into προβάτια... εἰς προβάτια ἀ.* Eulog.*fr.Novat.*(M.104.344B); **2.** trans., *turn instead πρὸς ἄκρον ὕψος ἀρθῶσι φρένες, πρὸς ἄκρον αὐτὰς ἀ. βάθος* Geo.Pis. *hex.*1698(M.92.1566A); *send* or *bring back,* Gr.Mag.*dial.*(tr. Zach.) 1.10(M.*PL.*77.207B).

***ἀνθυποστρόφως,** *by transposition* of letters, Cyr.*syn.def.*(M.76. 1424A).

***ἀνθυποτρέχω,** *pass through,* Geo.Pis.*hex.*1443(M.92.1514A).

ἀνθυποφέρ-ω, 1. *offer instead,* ‡Just.*ep.Zen.et Ser.*3(M.6.1185C); **2.** *bring upon instead,* of a change in fortune *τέως μὲν ἐπράττομεν εὖ· εἶθ' ὥσπερ ῥεύματος ἀνθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ καὶ τὰ ἴδια* Synes.*ep.*89(M.66.1456C); id.*calv.*2(p.191.17; M.66.1169B); **3.** *reply; rejoin; reply to,* trans. *ἀ. τὰ ὑφορμοῦντα* Bas.*ep.*156.2(3.246B; M.32.616C); *τὸν τῶν ὑπεναντίων ἀ. λόγον* Gr.Nyss.*tres dii*(M.45. 125A); *offer in reply διαλέκτῳ ἀκόλουθον ἐρωτᾶν τὸ πῶς ἐπαίνου ἐστί, καὶ μὴ ἀ. τὴν ψῆφον Disp.Phot.*3(M.88.549B); Thdr.Stud.*epp.*2. 185(M.99.1569B); **4.** *raise an objection ἀνθυπενεχθησομένην ἀνθυποφορὰν ὑπὸ τῶν μὴ παραδεχομένων τὸν λόγον* Or.*Jo.*6.5(2; p.112.4; M.14.205D); Gr.Nyss.*anim.et res.*(M.46.36B); Isid.Pel.*epp.*3.95(M.78.

801B); Socr.*h.e.*3.23.28(M.67.444A); *τὸ τοῦ ~οντος οὖν πρόσωπον ἀναλαβὼν ὁ Ἐκκλησιαστής* Olymp.*Eccl.*2:24–25(M.93.505C); **5.** *bring a charge* *οὔτε κατὰ φύσιν οὔτε κατὰ πρᾶξιν ~ειν ὑμᾶς δυνατὸν τὴν ἁμαρτίαν ἐν τῷ δημιουργῷ* ‡Ath.*Apoll.*1.17(M.26.1124B); *ib.*1.21 (1129C).

ἀνθυποφορά, ἡ, *reply*; *objection*; in gen. *ἀ. οὐκ εὐκαταφρόνητον* Or.*Jo.*2.29(24; p.86.7; M.14.164D); *ib.*6.5(2; p.112.4; 205D) cit. s. *ἀνθυποφέρω*; Bas.*Spir.*34 tit.(3.28B; M.32.128B); Cyr.*Os.*125(3.157A); raised by speaker in order to be demolished *δείκνυνται κατὰ ἀ. τὰ πρὸς τοῦ λαοῦ θρυλούμενα, ὡς ἐπιζητήματά τινα ὑπὸ τῶν ἀνθρώπων ἀναφέροντες* Clem.*str.*3.4(p.213.28; M.8.1141C); Or.*Jo.*20.38(30; p.380.16; M.14.665A).

ἀνθυφαίρεσις, ἡ, **1.** *corresponding diminution*, Gr.Naz.*or.*28.30 (p.68.19; M.36.69B); **2.** *withdrawal*, Thdt.*qu.33 in 1Reg.*(1.378).

***ἀνθυψόω,** *exalt in turn*, ‡Caes.Naz.*dial.*108(M.38.977).

ἀνθώδης, prob. f.l. for *ἀκανθώδης, thorny*, Jo.D.*hom.*12.9(M.96.793C).

ἀνιάτρευτος, 1. *uncured* *μήτε ἡμεῖς ἀ. καταλειφθῶμεν μὴ φανερουμένης ἡμῖν τῆς ἁμαρτίας ἡμῶν* Bas.*ep.*203.2(3.301B; M.32.741A); *ἀναγκαῖον πλήσσεσθαι τὴν κακίαν, ἵνα μὴ ἀ. διαμένωμεν. ἐπάταξε γὰρ κύριος τοὺς ἐχθροὺς αὐτοῦ...ἐπωφελῶς* Nil.*epp.*3.185(M.79.472A); *ἡ δὲ τελεία ἐγκατάλειψις ὅτε τοῦ θεοῦ πάντα τὰ πρὸς σωτηρίαν πεποιηκότος, ἀνεπαίσθητος καὶ ἀ., μᾶλλον δὲ ἀνίατος, ἐξ οἰκείας προθέσεως διαμείνῃ ὁ ἄνθρωπος* Jo.D.*f.o.*2.29(M.94.968B); **2.** *incurable*; of physical ailments, Sophr.H.*mir.Cyr.et Jo.*66(M.87.3649D); of moral evil *ὦ τῆς ἀ. τῶν Ἰουδαίων κακίας* ‡Chrys.*Steph.protomart.*1.1 (8.18B); neut. as subst. *τὸ ἀ. ὑμῶν ἀπὸ τοῦ νόμου* †Gregent.*disp.* (M.86.720D); neut. plur. as adv., *incurably* *ἐνανθρωπήσας θεὸς λόγος ...οὐδὲ...ἀφῆκεν ἡμᾶς ἀ. νοσεῖν* †Jo.D.*B.J.*11(M.96.956B); **3.** *ignorant of medicine* *πῶς λέγεις ἰατρὸν τὸν ἑαυτοῦ διδάσκαλον, αὐτὸς ἀ. ὤν*; Gr.Nyss.*laud.Bas.*(M.46.817C).

***ἀνίδιος,** *with nothing of one's own*, Bas.*ep.*2.2(3.71E; M.32.1140B); Jo.Mosch.*prat.*171(M.87.3040A).

***ἀνιδίως,** *so as not to be one's own*, Marc.Er.*opusc.*1.161(M.65.925A).

ἀνίδρυτος, *of no fixed abode, unlocalized* *εἴπερ οὖν ὁ θεὸς ἱδρύεται πρὸς ἀνθρώπων, ἀ. ποτε ἦν καὶ οὐδ' ὅλως ἦν· τοῦτο γὰρ ἂν εἴη ἀ., τὸ οὐκ ὄν* Clem.*str.*7.5(p.21.8; M.9.437A); *στέρησίς ἐστι τὸ κακὸν...καὶ ἀ.* Dion.Ar.*d.n.*4.32(M.3.732D); *ὃ πάσης παντελῶς ἑνώσεως ἀποπέπτωκε...ἄπειρον καὶ ἀ. καὶ ἀόριστον ib.*11.5(953A).

ἀνίερος, 1. *unholy, unhallowed, impious*; of demons, Eus.*l.C.* 15(p.247.32; M.20.1420B); of Jews, Ath.*fug.*2(p.69.12; M.25.645C); **2.** *not a priest* *οὗτοι δὲ...ἐκ τῆς Καισαρέων ἐκκλησίας χειροτονίαν μὴ λαμβάνοντες, πῶς οὐκ εἰσὶ παντελῶς ἀ. καὶ ἀχειροτόνητοι, καὶ οἱ ἐξ αὐτῶν βαπτιζόμενοι παντελῶς ἐθνικοὶ καὶ ἀβάπτιστοι;* Tim.CP *haer.* (M.86.73A); *ἀ. ἡ ἱερέα παύοντα τῆς λειτουργίας οὐκ ἔξεστιν δέχεσθαι τὰς ἐξομολογήσεις Nomoc.*44; Jo.D.*hom.*2.5(M.96.585A).

ἀνιερ-όω, *make unhallowed, profane* *τεθείακεν θεὸν ὁ βασιλεὺς ὁ Ῥωμαίων...Ἀντίνοον [ὄν] ~ωσεν οὕτως ὡς Γανυμήδην ὁ Ζεύς* Clem. *prot.*4(p.38.7; M.8.140C).

***ἀνιέρως,** *profanely, sacrilegiously* *ὅπως μὴ...ἀ. οἰώμεθα τοὺς... θεοειδεῖς νόας πολύποδας εἶναί τινας καὶ πολυπροσώπους* Dion.Ar.*c.h.* 2.1(M.3.137A).

ἀνίημι, 1. *let go*; *set free*; **a.** persons *ἀνεθεὶς τοῦ φόβου* Chrys. *hom.35.3 in Jo.*(8.205E); *τῆς αἰχμαλωσίας ἀνῆκε τὸν Ἰσραήλ* Cyr. *Nah.*1(3.475E); **b.** things, *make available* *πᾶσιν ὁμοίως ἀνεῖται τὸ ἀπ' αὐτῆς* [sc. *τῆς σοφίας*] *ὠφέλιμον* Bas.*hom.*12.4(2.100B; M.31. 392D); **c.** places, *leave open* *ἡ θάλασσα ἀνίεται πᾶσιν* Clem.*ecl.*28 (p.145.17; M.9.713A); *δυνάμεις ἀφανεῖς ἀμφὶ τὰ δι' ἀέρος ἀνειμένα πεδία ποτώμεναι* Eus.*l.C.*1(p.198.13; M.20.1324A); hence **2.** *set at ease* *ἐν τῷ θάλπει...τὰ ἐκτετριμμένα τῶν ἱματίων...ἀνίησι τὸ σῶμα* Chrys.*hom.10.3 in Phil.*(11.278D); *ἀ. αὐτοῦ τὴν ψυχήν* id.*hom.51.1 in Ac.*(9.379E); pass., in good sense, *have relief*; from illness, Thdr. Lect.*fr.*(M.86.225C); from weariness, Jo.Mosch.*prat.*1(M.87.2853A); in bad sense, *live at ease*, Chrys.*hom.26.3 in Heb.*(12.239A); perf. ptcpl. pass. as adj., *unconstrained* *'ηὐλίσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε'· τουτέστι, τὸν ἀνειμένον βίον ὑπέδειξα καὶ οὐκ ἐπείσθητε* id. *hom.37.4 in Mt.*(7.419C); **3.** intrans., *give up, cease*; hence *refrain* *οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν* Clem.*prot.*2(p.16.4; M.8.84A).

***ἀνικανότης,** ἡ, *insufficiency*, Epiph.*haer.*proem.1(p.169.21; M. 41.176A).

***ἀνικάνως, 1.** c. *ἔχω, be insufficient*, Cyr.*Is.*1.1(2.16B); id.*Jo.*12 (4.1066D); id.*inc.unigen.*(5^1.701D); **2.** *unbecomingly, inadequately* to one's position *ἀ. τὸν βίον διατελῶν* Thphn.*chron.*p.319(M.108.772C).

ἄνικμος, *without moisture*; met., of the heart, Geo.Pis.*hex.*4(M. 92.1426A).

***ἀνίκμως,** *without moisture* *Ἀαρὼν ῥάβδον ἀ. βλαστήσασαν* ‡Ath. *occurs.*16(M.28.993C).

***ἀνίλεως,** *unmercifully*, *T.Gad* 5.11; Chrys.*Laz.*1.10(1.721D); Gr. Mag.*dial.*(tr.Zach.)2.30(M.*PL.*66.187B).

***ἀνίμαστος,** *unscourged*, Nonn.*par.Jo.*19:1(M.43.897B).

ἀνιμ-άω, 1. *draw up, raise*; **a.** lit. *τὰ σφάλματα τοῦ ἡμιτριταίου προσετάχθην ~ᾶσθαι T.Sal.*7.6(M.122.1325D); **b.** fig. or met., of souls by Christ *ἵνα...~ηθῶσιν ὑπὸ τοῦ λόγου ἐπὶ τὴν ἀνωτάτω μακαριότητα* Or.*Cels.*6.44(p.115.6; M.11.1365D); (Manich.) *ὁ υἱὸς...πρὸς σωτηρίαν τῶν ψυχῶν...μηχανὴν συνεστήσατο ἔχουσαν δώδεκα κάδους, ἤ τις ὑπὸ τῆς σφαίρας στρεφομένη, ~ᾶται τῶν θνησκόντων τὰς ψυχάς* Hegem. *Arch.*8(p.12.15; M.10.1440B); *τῇ φύσει τῶν ἀνθρώπων...διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως ~ηθείσῃ* Thdt.*Ps.*39:4(1.857); of soul by asceticism *ξηρὸν σῶμα ὑπὸ νηστείας γινόμενον ἐπὶ μοναχοῦ, ψυχὴν ἐκ βυθοῦ ~ᾶται* Hyper.*mon.*89(M.79.1481C); of sinners, Eus.*d.e.* 1.6(p.27.32; M.22.56C); *καθάπερ οἱ εἰς φρέαρ ἐμπεσόντες...οὕτω καὶ ὁ εἰς βάθος ἐλθὼν τῶν ἁμαρτημάτων. χαλάσωμεν οὖν σχοινία...καὶ ~ησώμεθα* Chrys.*hom.8.4 in 1Cor.*(10.71A); id.*hom.57.5 in Mt.*(7. 583B); of ideas, Or.*Jo.*13.3(p.228.17; M.14.404A); *ἀπὸ τῆς τοῦ προφήτου διδασκαλίας...Παῦλος...~ώμενος ὡς καθαρὸν ὕδωρ ἀρδεύει... ἐκκλησίαν* Epiph.*haer.*42.12(p.160.5; M.41.780B); hence **2.** *soak up, absorb*, ref. Inc. *Μαρία μὲν ~ᾶται τὸν λόγον εἰς σύλληψιν, ὡς ὑετὸν ἡ γῆ* Epiph.*anc.*66(p.80.12; M.43.136C); *ὁ θεὸς λόγος, ὢν ἦλιος νοητός, εἰς σάρκα κατελθών, οὐδὲν μὲν ἐκ τῆς σαρκὸς ~ᾶται νόσημα* Mac.Mgn. *apocr.*4.28(p.216.12); Evagr.Pont.*or.*128(M.79.1193D) cit. s. *ἀντικοτέω*; **3.** *draw out* with the nostrils, *smell out*, exeg. Cant.2:9,17 *τὰ εἰσπεμπόμενα τῆς κακίας ἐνθυμήματα ὑπὸ τοῦ πονηροῦ ταῖς τῶν δικαίων διανοίαις...ἐλάφου δίκην ~ώμενος ὁ οὐράνιος λόγος* Ph.Carp.*Cant.*49 (M.40.65C); *τὰς* [sc. *ἐν καταχθονίῳ τόπῳ*] *κρατούσας δυνάμεις τῇ ὀσφρήσει καθάπερ ἔλαφος ~ησάμενος κατάργησον* Nil.ap.Proc.G. *Cant.*2:17(M.87.1613D); **4.** *draw out* the moisture from, hence *dry up* *ἐξῆλθεν ἐκ τῆς πυρᾶς ὡς ὁμοίωμα δράκοντος καιομένου καὶ ~ωμένου τὴν γῆν A.Mt.*22(p.247.21).

ἀνίμησις, ἡ, *exhalation*, Dion.Al.ap.Eus.*h.e.*7.21.8(M.20.685B).

ἀνίπταμαι, *fly up*, Clem.*paed.*3.2(p.242.18; M.8.572A); fig. and met., Didym.*Trin.*2.20(M.39.737B); †Jo.D.*B.J.*1(M.96.864B).

***ἀνισομέτρως,** *in unequal measure*, Cyr.*Chr.un.*(5^1.768B).

***ἀνισονομέω,** *be out of harmony with*, *Schol.*19 in Max.*qu.Thal.*61 (M.90.645B).

***ἀνισόπλατος,** *of unequal breadth*, Melet.*nat.hom.*20(M.64.1224C).

ἄνισος, *unequal*, of Son *ἄ. γὰρ ἑαυτῷ θεὸς υἱὸν καὶ ἀνόμοιον οὐκ ἂν ποτε τίκτων γεννήσειεν* Sophr.H.*or.*2.30(M.87.3253C); *uneven*, of numbers, Meth.*symp.*3.3(p.30.4; M.18.64C); *unequal*, in sense of *greater, different in kind* *ἐξ ὕλης καὶ εἴδους τὸ σῶμα. ἡ μὲν οὖν ὕλη φθείρεται καὶ διαλύεται· μένει δὲ ὁ ἄ. τοῦ εἴδους ὁ λόγος* Aen.*dial.* (M.85.981B).

ἀνισότης, ἡ, **1.** *inequality*; **a.** in gen. *ἰσότης μὲν γάρ ἐστιν ἡ ζωή, ἀ. δὲ ἡ φθορά...οὔτε ἀναρμοστία καὶ ἀ. ὁ ἄνθρωπός ἐστιν οὔτε μὴν ἰσότης καὶ εὐαρμοστία· ἀλλ' ὅτε μὲν ἐδέξατο τὴν ἀναρμοστίαν, ὅπερ ἐστὶ...τὴν ἁμαρτίαν, γέγονεν ἀνάρμοστος καὶ ἀπρεπής* Meth.*symp.*3.7 (p.34.3,20; M.18.72Af.); *ὁ ταῖς τῶν πολλῶν κατὰ τὸ φαινόμενον ἀνισότησι κατ' αἴσθησιν ὑπαντῶν, ἐν τοῖς δίκην πυλῶν πεφυκόσιν εἰσάγειν πρὸς ψυχὴν τὰς τῶν ὁρατῶν ἐπιφανείας αἰσθητηρίοις, καὶ παρὰ τῶν ἀ. ἐμποδιζόμενος διαβῆναι κατὰ νοῦν πρὸς τὸν ἕνα τῆς τῶν ἀνθρώπων φύσεως λόγον* ‡Proc.G.*Pr.*12:13(M.87.1341A); of unevenness of character *τῆς ἀγάπης τὴν δύναμιν...πᾶσαν τὴν ἐν πᾶσι κατὰ τὴν γνώμην ἀ. τε καὶ διαφορὰν ἐξισοῦσάν τε καὶ ὁμαλίζουσαν· καὶ εἰς τὴν ἐπαινετὴν ἀ. δεόντως προβιβάζουσαν, ἑκάστου...τὸν πέλας... ἑαυτοῦ προτιμῶντος* Max.*ep.*2(M.91.400A); **b.** ref. Son, Gr.Naz.*or.*29. 14(p.95.5; M.36.93A); *εἰ τοῦτο ἀληθὲς...χωρεῖ δὲ ὁ υἱὸς τὸν πατέρα, ὥσπερ ὁ πατὴρ τὸν υἱόν, εὔδηλον ὁ τῆς ἀ. λόγος ἐκβέβληται* Thdt. *Trin.*13(M.75.1165C); **2.** *inequity, injustice* *ζυγὸς ἀδικίας* [Os.12:7a], *τουτέστιν, ἀ. καὶ πλεονεξία* Cyr.*Os.*140(3.173C); *ib.*141(174B).

***ἀνισότιμος,** *of unequal value*, Gr.Naz.*or.*29.14(p.95.5; M.36.93A).

ἀνισοφυής, *of unequal nature* *ἕτερον μὲν...ἀνθρωπότης, ἕτερον δὲ... θεότης...πῶς οὖν...μιᾷ προσκυνήσει τιμᾶν ἀξιοῖς τὰ οὕτως ἀλλήλοις ἀ.;* Cyr.*Nest.*2.12(p.51.1; 6^1.58A); id.*dial.Trin.*1(5^1.409E); *δυὰς γὰρ ἡμῖν υἱῶν ἀ. ἀναφαίνεται* id.*Chr.un.*(5^1.735A); *πῶς οὐ...ἐπενήνεκται δὲ τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ τριάδι τὸ ἀ. αὐτῇ*; *ib.*(732D).

ἀνίστη-μι (ἀνιστάνω, ἀνιστάω), I. trans., *make to stand up*; **A.** *raise up*; **1.** in gen., plants from seed, *Const.App.*5.7.26; persons from illness, Serap.*euch.*5.10; *ἀσθενῶν ἡμην καὶ οὐκ ἀνεστήσατέ με* Chrys.*hom.60.4 in Jo.*(8.357B); met., *raise* spirits, *cheer* *διὰ τῶν ῥημάτων αὐτοὺς ἀ.* id.*hom.63.2 in Mt.*(7.631A); **2.** *raise* from the dead; **a.** of Christ's Resurrection *τὴν μέλλουσαν ἀνάστασιν...ἧς τὴν ἀπαρχὴν ἐποιήσατο* [sc. *ὁ δεσπότης*] *τὸν κύριον Ἰησοῦν Χριστὸν ἐκ*

b. exeg. 1Reg.28:3ff., v. *δαίμων*; **c.** of heathen gods regarded as evil spirits *ψευδοπροφῆται. ... τὰ τῆς πλάνης πνεύματα καὶ δ. δοξολογοῦσιν* Just.*dial.*7.3(M.6.492C); Tat.*orat.*19(p.21.17; M.6.849A); *δεισιδαίμων...ὁ δεδιὼς τὰ δ.* Clem.*str.*7.1(p.5.12; M.9.408A); *πάντων τῶν παρὰ τοῖς ἔθνεσι νομιζομένων θεῶν καταφρονεῖν ὡς οὐ θεῶν ἀλλὰ δ.* Or.*Cels.*3.2(p.204.29; M.11.924A); *τῷ τοῦ τόπου δ. ib.*8.36(p.251.23; 1572C); *μή ποτε εἰδωλολατρήσωμεν καὶ τοῖς δ. ἑαυτοὺς ὑποτάξωμεν· τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν δ.* id.*mart.*32(p.28.7; M.11.604B); *τὸ λαοπλάνον δ.* Eus.*h.e.*7.17(M.20.680A); *τὰ λίχνα δ., θερώμενα τὴν ἀπὸ τῶν αἱμάτων...τῶν θυσιῶν ἀπόλαυσιν, περὶ τοὺς βωμοὺς εἱλεῖται* †Bas.*Is.*236(1.558E; M.30.532D); *τὰ...δ., τὰ προσδιατρίβοντα τῷ περιγείῳ τόπῳ...εἰς τὸν οἰκεῖον τῆς ἀβύσσου ἀπελαθήσεται τόπον ib.*(559B; M.533B); Gr.Nyss.*Eun.*4(2 p.75.16; M.45.648D); Chrys.*hom.in Is.*45:7(6.154A); Philost.*h.e.*7.8(M.65.545B); *ἡ τῶν ἐθνῶν πληθύς, ἡ...καθέδρα δαιμονίων τυγχάνουσα* Job.Mon.*inc.*1(M.86.3316A); **4.** *Devil, Satan τοῦ δ. ἡμᾶς νικήσαντος* Or.*Jo.*20.36(29; p.376.32; M.14.660A); Nonn.*par.Jo.*17:12(M.43.885B).

δαιμόνιος, 1. *supernatural, divine ὄνομα δ. ἔσχε Μωϋσῆς* Cels.ap.Or.*Cels.*1.21(p.72.4; M.11.696C); Cels.*ib.*5.24(p.36.23; 1233A); Cels.*ib.*8.48(p.263.6; 1588B); **2.** *demonic, caused by demons δ. νόσου* Gr.Nyss.*Eun.*8(2 p.194.15; M.45.789B).

δαιμονισμός, ὁ, *demonic possession,* Or.*Cels.*8.58(p.275.17; M.11.1605B); *ib.*8.66(p.282.5; 1616A).

δαιμονιώδης, *devilish,* Or.*princ.*2.8.3(p.160.9) cit. s. *κατάστασις*; δ. *αἵρεσις* Ath.*decr.*5(p.5.22; M.25.425A); δ. *διδασκαλίας* Epiph.*haer.*42.14(p.183.28; M.41.813B); δ. *ἐπιβουλὰς δι' ὧν ἐπάγεται τοῖς ἀνθρώποις τὰ πονηρὰ πρὸς ἁμαρτίαν συμπτώματα* Gr.Nyss.*or.dom.*1(p.20.14; M.44.1132B); Nil.*epp.*3.33(M.79.392C) cit. s. *θυμός*; *ἐγκόσμιον...καὶ δ. καὶ ψυχικὴν σοφίαν* Cyr.*Ps.*9:23(M.69.780A); ‡Jo.D.*ep.Thphl.*9(M.95.356C) cit. s. *οἰώνισμα.*

***δαιμονιωδῶς,** *devilishly, madly, like one possessed,* Pall.*h.mon.*8(p.40.6; M.34.1140B); Thphn.*chron.*p.93(M.108.276B); *δαιμωνιωδῶς* Sophr.H.*ep.syn.*(M.87.3184A).

δαιμονίως, *by supernatural power, miraculously,* Cels.ap.Or.*Cels.*3.26(p.222.11; M.11.952A).

***δαιμονομανία, ἡ,** *madness of demon-worship*; of pagan cult, Areth.*Apoc.*27(M.106.636A).

δαιμονόπλοκος, *woven by the Devil σειρά τις εἶναι δ. ἡ καθόλου αἵρεσις* Thdr.Stud.*epp.*1.40(M.99.1053C).

***δαιμονοποιός,** *making* men *into demons ἀποσχέσθαι αὐτὸν τῶν σκοτεινῶν...καὶ δ. φθεγμάτων* Thdr.Stud.*epp.*2.116(M.99.1385C).

δαιμονώδης, *devilish,* Chrys.*exp.in Ps.*11(5.120B).

***δαιμοχαίρων,** *demon-loving Βελφεγὼρ...ἑρμηνεύεται εἶδος ἀσχημοσύνης, καὶ δαιμοχαίρων* Hesych.H.*Ps.tit.*105.58(M.27.1117C).

δαίμων, ὁ, [acc. *δαίμοναν Mir.Geo.*13(p.133.5)]; *demon, devil, evil spirit*; etym. δ. ... *οὐχ ἥπερ Ἕλλησι δοκεῖ παρὰ τὸ δαήμονας εἶναι καὶ ἐπιστήμονας, ἀλλ' ἢ παρὰ τὸ δειμαίνειν, ὅπερ ἐστὶ φοβεῖσθαι καὶ ἐκφοβεῖν, δαίμονάς τινας προσφυῶς ὀνομάζεσθαι* Eus.*p.e.*4.5(142B; M.21.248C); cf. *daemonas autem grammatici dictos aiunt quasi δαήμονας id est penitos ac rerum scios,* Lactantius *divinae institutiones* 2.15(M.*PL*.6.331A).

A. origin; **1.** older view, offspring of marriages between 'angels' and women (cf. Gen.6:4), or these angels themselves, Just.*2apol.*5.3(M.6.452B); *αἱ τῶν γιγάντων ψυχαὶ οἱ περὶ τὸν κόσμον εἰσὶ πλανώμενοι* δ. Athenag.*leg.*25.1(M.6.948C); **2.** later refutation *ἀναγκαῖον... ἡμᾶς...εἰπεῖν...ἐπειδὴ δὲ οἱ υἱοί, φησίν, τοῦ ἐπικληθέντος θεοῦ, τουτέστι, τοῦ Ἐνώς, τὰς ἐκ τοῦ Κάιν θυγατέρας τεθέανται, ἃς καὶ τῶν ἀνθρώπων θυγατέρας εἶπεν ἡ γραφή· εἶτα προσεφθάρησαν αὐταῖς... ἀσύνετον δὲ τὸ οἴεσθαι τοὺς ἀσωμάτους δ. ἐνεργεῖν δύνασθαι τὰ σωμάτων, καὶ τὸ παρὰ φύσιν ἰδίαν ἐπιτελεῖν* Cyr.*resp.*15(p.601.18; 6².385B); id.*glaph.Gen.*2(1.28E); ‡Caes.Naz.*dial.*48(M.38.917).

B. nature and destiny; **1.** discussion whether material; **a.** old view that they have a certain kind of body δ. *δὲ πάντες σαρκίον μὲν οὐ κέκτηνται, πνευματικὴ δέ ἐστιν αὐτοῖς ἡ σύμπηξις ὡς πυρὸς καὶ ἀέρος. μόνοις γοῦν τοῖς πνεύματι θεοῦ φρουρουμένοις εὐσύνοπτα καὶ τὰ τῶν δ. ἐστὶ σώματα, τοῖς λοιποῖς δὲ οὐδαμῶς, λέγω δὲ τοῖς ψυχικοῖς* Tat.*orat.*15(p.16.27; M.6.840A); Clem.*str.*7.6(p.24.5; M.9.444B); cf.id.*exc.Thdot.*81(p.131.32; M.9.696B); cf. *tale corpus quale habent daemones, quod est naturaliter subtile quoddam et velut aura tenue, et propter hoc vel putatur a multis vel dicitur incorporeum,* Or.*princ.*1 proem.8(p.15.12; M.11.120A); for they must be fed, id.*mart.*45(p.41.31; M.11.624B); id.*Cels.*4.32(p.302.14; M.11.1076C,D); *ib.*8.30(p.245.6; 1560B); **b.** later view, that they do not possess bodies; †Bas.*Is.*97(1.447B; M.30.277B); yet given to material lusts *ib.*; *τῶν δ. ἕκαστος, οὔτε ὄψα προσφέρεται, οὔτε πολυποσίας, ἢ μέθης δέχεται κατηγόρημα. φύσις γὰρ αὐτοὺς τῆς τῶν βρωμάτων μετουσίας ἐχώρισεν* Gr.Nyss.*paup.*1(M.46.456A); ‡Chrys.*indict.*1.1(8².94C); Thdt.*Is.*13:21(p.69.15; 2.265); Dion.Ar.*d.n.*4.27(3.728D); **c.** whether they differ in nature from angels *ἅγιοι ἄγγελοι ἄλλης εἰσὶ φύσεως καὶ προαιρέσεως παρὰ τοὺς ἐπὶ γῆς πάντας* δ. Or.*Cels.*3.37(p.233.25; M.11.968B); later view *τί παρήλλακται ἡ οὐσία τῶν δ. τῶν ἀγγέλων; ἡ οὐσία οὐ παρήλλακται, ἀλλ' ἡ προαίρεσις* ‡Ath.*qu. Ant.*(M.28.604A); †Bas.*Is.*97(1.447B; M.30.277B); **d.** not souls of the dead, Tat.*orat.*16(p.17.11; M.6.840B); Chrys.*hom.28.2 in Mt.*(7.336B); **2.** demons and evil; **a.** not created evil *δεῖ...περὶ δαιμόνων ἀκριβέστερον διειληφέναι ὅτι τε μή εἰσι, καθὸ δ. εἰσί, δημιουργήματα τοῦ θεοῦ, ἀλλὰ μόνον καθὸ λογικοί τινες, καὶ πόθεν ἐληλύθασιν ἐπὶ τὸ τοιοῦτοι γενέσθαι, ὡς ἐν καταστάσει δαιμόνων αὐτῶν ὑποστῆναι τὸ ἡγεμονικόν* Or.*Cels.*4.65(p.336.13; M.11.1133C); *κατὰ δὲ ἡμᾶς πάντες δ. ἀποπεσόντες τῆς ἐπὶ τὸ ἀγαθὸν ὁδοῦ, πρότερον οὐκ ὄντες δ.· καὶ ἔστιν εἶδος τῶν ἐκπεσόντων θεοῦ τὸ τῶν δ. ib.*7.69(p.218.18ff.; 1517C); *οἱ δ. οὐ καθ' ὃ δ. καλοῦνται, οὕτω γεγόνασιν· οὐδὲν γὰρ κακὸν ἐποίησεν ὁ θεός· ἀλλὰ καλοὶ μὲν γεγόνασι καὶ αὐτοί* Ath.*v.Anton.*22(M.26.876A); Gr.Naz.*or.*39.7(M.36.341B); *τούτους* [sc. δ.]*...οὐ πονηροὺς ἐξ ἀρχῆς παρὰ τοῦ θεοῦ τῶν ὅλων δημιουργηθῆναί φαμεν, οὐδὲ τοιάνδε φύσιν λαχεῖν· ἀλλὰ τῇ παρατροπῇ τῆς γνώμης, ἀπὸ τῶν ἀμεινόνων εἰς τὰ χείρω μεταπεσεῖν* Thdt.*affect.*3(p.97.6; 4.788F.); id.*haer.*5.8(4.407); Dion.Ar.*d.n.*4.34(M.3.733C); view that demons are evil by nature elaborately refuted, *ib.*4.23(M.3.724C–725C); *πλῆθος πολὺ...τῶν ἀγγέλων, οἵτινες, κακοὶ γεγονότες τὴν προαίρεσιν, καί, ἀντὶ τοῦ ἀγαθοῦ, τῇ ἀποστασίᾳ ἐξακολουθήσαντες τοῦ ἄρχοντος αὐτῶν, δ. ὠνομάσθησαν* †Jo.D.*B.J.*7(M.96.908A,B); **b.** but all are now evil, without possibility of repentance *ἡ τῶν δ. ὑπόστασις οὐκ ἔχει μετανοίας τόπον* Tat.*orat.*15(p.17.1; M.6.840A); Clem.*prot.*3(p.33.3; M.8.128B); *τὸ τῶν δ. ὄνομα οὐδὲ μέσον ἐστὶν ὡς τὸ τῶν ἀνθρώπων, ἐν οἷς τινές μὲν ἀστεῖοι τινὲς δὲ φαῦλοί εἰσιν...ἀεὶ δ' ἐπὶ τῶν φαύλων ἕξω τοῦ παχυτέρου σώματος δυνάμεων τάσσεται τὸ τῶν δ. ὄνομα* Or.*Cels.*5.5(p.5.15ff.; M.11.1188A); *ib.*8.31(p.246.24; 1561C); Eus.*p.e.*4.5(142A; M.21.248B); **c.** and cause all evil in the world, Tat.*orat.*17(p.19.16; 844B); **d.** cause of their apostasy; man *ὑπόθεσις δὲ αὐτοῖς τῆς ἀποστασίας οἱ ἄνθρωποι γίνονται ib.*8(p.8.4; 821A); Eus.*d.e.*4.9(p.162.14; M.22.272A); whose honourable place in Creation they envied, ‡Bas.*Lac.*8(2.592E–593B; M.31.1452B,C); cf.†Bas.*Is.*279(1.591E–592A; M.30.609A,B); pride, Thdt.*haer.*5.8(4.407); *ἐξ ἀγγέλων δ. τινὰς αὐτὴ* [sc. *οἴησις*] *πεποίηκε* Jo.Clim.*scal.*25(M.88.1001B); transgression and ignorance, Tat.*orat.*7(p.8.1; 821A); **e.** demons and passion, v. *πάθος*; **3.** their ultimate fate; **a.** eternal punishment, cf. *ἀθανασία, ἀθάνατος*; Just.*1apol.*28.1(M.6.372B) al.; *M.Carp.*7; Thdt.*haer.*5.8(4.406); view that Christ died also for them is condemned, Nil.*epp.*1.204(M.79.160A); **b.** acc. Or. they participate in final *apocatastasis πάντων ἀσεβῶν ἀνθρώπων καὶ πρός γε δ. ἡ κόλασις πέρας ἔχει καὶ ἀποκατασταθήσονται ἀσεβεῖς τε καὶ δ. εἰς τὴν προτέραν αὐτῶν τάξιν* Or.*princ.*2.10.8(p.183.3f.)ap.Justn.*Or.*(M.86.975A); δ. ... *τὴν αὐτὴν τοῖς ἁγίοις τάξιν διὰ τῆς ἀποκαταστάσεως λαμβάνειν* Justn.*ib.*(p.205.28; M.86.975C); †Leont.B.*sect.*10(M.86.1265C); **4.** their present habitat; earth itself or air surrounding earth, Or.*Cels.*8.33(p.248.28; M.11.1565B); id.*mart.*45(p.41.17; M.11.621A); Eus.*p.e.*5.2(181D; M.21.316A); Chrys.*exp.in Ps.*41(5.137D).

C. pagan gods as demons; **1.** in gen., Just.*1apol.*5.2(M.6.336B); *οἱ δ. αὐτοὶ μετὰ τοῦ ἡγουμένου* [*αὐτῶν*] *Διός* Tat.*orat.*8(p.8.18; M.6.824A); Clem.*prot.*2(p.30.15ff.; M.8.121B); a demon confessing *προσκυνούμεθα ὑπ' αὐτων* [sc. pagans] *ὡς θεοί· ἀλλ' ἐν ἀληθείᾳ ἐσμὲν δ. A.Barth.*6(p.142.20); *ἑορταῖς...αἵτινες ἐπὶ τιμῇ τῶν δ. ἐπιτελοῦνται Const.App.*2.62.3; *ib.*5.11.1; **2.** individual pagan gods called demons, e.g. Apollo, Clem.*prot.*3(p.33.18; M.8.129A); Or.*Cels.*3.28(p.225.20; M.11.956B); Proteus, Clem.*paed.*3.1(p.236.8; M.8.556B); *Ὀλυμπιακός, ἢ δαίμονος ἑορτή* Bas.Sel.*or.*27.1(M.85.309B); **3.** pagan gods and heroes, demons in disguise, Eus.*p.e.*5.3(182C; M.21.316C); *ib.*4.15(153D–154B; M.268B,C); **4.** demons in statues δ. *ἐνιδρυμένοι τισὶν ἀγάλμασι* Or.*Cels.*8.41(p.256.12; M.11.1577C); Ath.*exp.Ps.*5:7(M.27.73D); Chrys.*exp.in Ps.*134(5.395B,C).

D. demons' relationships with men, apart from possession; **1.** demon (i.e. Satan) caused Fall, Bas.*hex.*6.1(1.50C; M.29.117C, D); cf.id.*hom.*9.8(2.808; M.31.348B); **2.** demons generally hostile to man, producing droughts, famines, storms etc. *πάντα ταῦτα δ. αὐτουργοῦσι δήμιοι, κρίσει τινὶ θείᾳ λαβόντες ἐξουσίαν ἐν καιροῖς τισι ταῦτ' ἐνεργεῖν εἴτε εἰς ἐπιστροφὴν ἀνθρώπων* Or.*Cels.*8.31(p.247.3ff.; M.11.1564A); Gr.Nyss.*anim.et res.*(M.46.72A); *ὁ...δ., καθάπερ ἐχθρὸς καὶ πολέμιος, πολεμεῖ τῇ φύσει τῇ ἀνθρωπίνῃ* Chrys.*exp.in Ps.*44(5.161C); *οἱ δ. πανταχοῦ τοὺς ἀνθρώπους εἰς ἀθυμίαν ἐμβάλλειν ἐσπουδάκασι, καὶ πανταχοῦ χαίρουσι τῇ ἀπωλείᾳ* id.*hom.28.3 in Mt.*(7.338A); Synes.*ep.*57(M.66.1384C); *χαρὰ τοῖς δ. ἡ τῶν ἀνθρώπων*

ἀπώλεια, καὶ τρυφῶσιν ἐκεῖνοι τοῖς ἡμετέροις κακοῖς Bas.Sel.*or.*23 (M.85.277B); **3.** in paganism; **a.** instigators of idolatry *οἱ μὲν περὶ τὰ εἴδωλα αὐτοὺς ἕλκοντες οἱ δ. εἰσιν...οἱ προστετηκότες τῷ ἀπὸ τῶν ἱερείων αἵματι καὶ ταῦτα περιλιχμώμενοι* Athenag.*leg.*26.1(M.6.949D); *ib.*27.2(953A); Eus.*p.e.*4.14(153B; M.21.265C); of belief in fate *τοιοῦτοί τινές εἰσιν οἱ δ.* [*οὗτοι*] *οἱ τὴν εἱμαρμένην ὥρισαν* Tat.*orat.*9(p.9.23; M.6.825A); and of other evils *δ. φαῦλοι, ἐπιφανείας ποιησάμενοι, καὶ γυναῖκας ἐμοίχευσαν καὶ παῖδας διέφθειραν* Just.*1apol.*5.2(M.6.336A); Tat.*orat.*14(p.15.12; 836B); through sacrifice offered to them, demons obtain power over men, cf.1Cor.10:20, *Hom.Clem.*9.9; *Const.App.*7.21; **b.** as objects of worship *τὸν...παρελθόντα εἰς τὸν βίον δ. τοῖς τὰ ἐπὶ γῆς εἰληχόσιν εὐχαριστητέον καὶ ἀπαρχὰς καὶ εὐχὰς ἀποδοτέον, ἕως ἂν ζῶμεν, ὡς ἂν φιλανθρώποις αὐτῶν τυγχάνοιμεν* Cels. ap.Or.*Cels.*8.33(p.248.17; M.11.1565A); equated with angels *ἀγγέλους θεοῦ ἢ δ. ἀγαθούς* Or.*ib.*3.37(p.234.6; 967C); *ib.*4.24(p.243.27; 1061B); Plato's view *δαιμόνων δὲ φύσεις ἀποδέχεται, καὶ τοὺς μὲν ἀγαθοὺς εἶναί φησιν αὐτῶν, τοὺς δὲ φαύλους* Hipp.*haer.*1.19(p.21.3; M.16.3044A); **c.** Christian refutation of pagan views *οὐχ ὑποκείμεθά γε δαίμοσιν ἀλλὰ τῷ ἐπὶ πᾶσι θεῷ διὰ τοῦ ἡμᾶς προσαγαγόντος Ἰησοῦ τοῦ Χριστοῦ, καὶ κατὰ νόμους μὲν θεοῦ οὐδεὶς εἴληχε δ. τὰ ἐπὶ γῆς· διὰ* ⟨*δὲ*⟩ *τὴν σφῶν παρανομίαν τάχα μὲν αὐτοῖς διελόντες τοὺς τόπους* Or.*Cels.*8.33(p.248.26ff.; M.11.1565B); *Κέλσος μὲν οὐ θέλει ἡμᾶς ἀχαρίστους εἶναι πρὸς τοὺς τῇδε δ., οἰόμενος ἡμᾶς ὀφείλειν αὐτοῖς χαριστήρια· καὶ ἡμεῖς δὲ...φαμὲν πρὸς τοὺς μηδὲν εὐεργετοῦντας ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἱσταμένους μηδὲν ἀχάριστον ἡμᾶς ποιεῖν, ὅταν αὐτοῖς μὴ δῶμεν ib.*8.57(p.273.31; 1601D); *ib.*8.25(p.241.21; 1553C); **d.** pagan opinion that demons govern world had to be opposed even by later Christians *οὐχ οὕτως ἥλιος φανός, ὡς ἡ τοῦ θεοῦ πρόνοια σαφής· ἀλλ' ὅμως τολμῶσί τινες λέγειν, ὅτι δ. τὰ καθ' ἡμᾶς διοικοῦσι* Chrys.*diab.*1.6(2.255D); *εἰ δ. διώκουν, οὐδὲν τῶν δαιμονιώντων ἀνθρώπων ἄμεινον διεκείμεθα, μᾶλλον δὲ κἀκείνων χείρους ἂν ἦμεν ib.*(256D); *μὴ δαίμοσι λογιζώμεθα τοῦ κόσμου τὴν οἰκονομίαν* ‡Chrys.*prov.*1(2.753C); **4.** their activities among Christians; **a.** in gen., seek to draw men away from God and Christ, Just.*1apol.*58.3(M.6.416B); *ib.*58.1(416A); Or.*Cels.*8.64(p.280.15ff.; M.11.1613A); *δ., οἵτινες ἡμᾶς ἐξαφανίσαι ἀπὸ τῶν σωζομένων καὶ ἐρημῶσαι σπουδάζουσι* Nil.*epp.*3.99 (M.79.432A); Cyr.*Ps.*118:11(M.69.1272A); cause Christians to be persecuted, Just.*2apol.*1.2(M.6.444A); and are both tempters and accusers *αὐτοὶ γὰρ διεγείρουσιν ἡμᾶς εἰς τὸ ἁμαρτεῖν, καὶ αὐτοὶ κατήγοροι γίνονται...αὐτοὶ οἱ δ. λέγοντες· οὐχ ἡμεῖς ὑπηρέται ὑμῶν γεγόναμεν εἰς τὸ ὀργισθῆναι, ἢ κενοδοξῆσαι* Jo.Jej.*poenit.cont.virg.* (M.88.1965A); **b.** being responsible for many vices *τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δ. καθηγεῖται λιχνότατος, ὃν ἐγωγε οὐκ ἂν αἰσυνθείχην 'κοιλιοδαίμονα' προσειπεῖν* [*καὶ*] *δαιμόνων κάκιστον* Clem.*paed.*2.1(p.165.9f.; M.8.404A); *ὁ δ. τοῦ θυμοῦ, ὁ δ. τῆς κενοδοξίας, ὁ δ. τῆς λύπης καὶ... ἑκάστου πάθους ἡ δύναμις* Or.*hom.6.11 in Ezech.*(p.390.18f.; M.13.719D); *ἔστι μὲν ὅτε καὶ ἄλλοι ἄλλας διαφόρους σατανικὰς διανοίας ἐκτελοῦσιν οἱ δ. πρὸς πειρασμόν, καὶ βλάβην τῶν ἀνθρώπων· ἔστι δὲ ὅτε καὶ εἰς δ. πολλὰς τεκταίνει φαυλότητας* Nil.*epp.*1.294(M.79.189C); †Nil.*mal.cog.*1(M.79.1200D); Jo.Clim.*scal.*3(M.88.664D); *ib.*23(965B); Max.*carit.*2.19(M.90.989B); but not so as to exonerate man from responsibility for sin, Clem.*str.*6.12(p.481.7; M.9.320A); theory that there are two kinds of demons, the one to tempt soul, the other to tempt body, fully propounded, Diad.*perf.*81(p.104.8ff.); **c.** deceiving by magic *διὰ τῆς τῶν ἐνεργούντων δ. τέχνης δυνάμεις ποιήσας μαγικάς* Just.*1apol.*26.2(M.6.368A); *ἵνα...πιστεύσωμέν τινας, ἐκ τῆς ἀσήμου φωνῆς τῶν ὀρνίθων μαθόντας ὅτι ἀπίασί ποι ὁ ὄρνιθες καὶ ποιήσουσι τόδε ἢ τόδε, προδηλοῦν, καὶ τοῦτ' ἐροῦμεν ἀπὸ τῶν δ. συμβολικῶς ἀνθρώποις δεδηλῶσθαι κατὰ σκοπὸν τὸν περὶ τοῦ ἀπατηθῆναι ὑπὸ τῶν δ. τὸν ἄνθρωπον καὶ κατασπασθῆναι αὐτοῦ τὸν νοῦν ἀπ' οὐρανοῦ καὶ θεοῦ ἐπὶ γῆν καὶ τὰ ἔτι κατωτέρω* Or.*Cels.*4.97(p.370.27; M.11.1177A); cf. *sive auguratio, sive extispicium, sive quaelibet immolatio, sive etiam sortitio aut quicumque motus avium vel pecudum ...ut aliquid de futuris videatur ostendere, in operatione daemonum fieri non dubito, dirigentium vel avium vel pecudum...motus aut sortium secundum ea signa, quae docuerunt idem daemones observari ab his, quibus artis hujus scientiam tradiderunt,* id.*hom.16.7 in Num.*(p.147.24ff.; M.12.698A); id.*Cels.*4.93(p.366.15ff.; 1172B,C); Eus.*h.e.*8.14.5(M.20.781C); occupation with which is forbidden to Christians, cf.Or.*hom.16.7 in Num.*(pp.148.28–149.2; 699A); *εἰ δὲ ἀπὸ δαιμόνων ἐνεργείας ἀπατηλὰ περιπέτονται, μή μοι καθέζου δαιμόνων ἀπάταις προσεχηνώς, μηδὲ γίνου διαβολικαῖς ἔκδοτος ἐνεργείαις* †Bas.*Is.*77(1.434A; M.30.248C); *ib.*78(434D; M.249B); demonic predictions not true prophecy, Jo.Clim.*scal.*3(M.88.669C); *ἐν τοῖς πειθομένοις τῷ δ. πολλάκις προφήτης ἐγένετο· ἐν τοῖς δὲ ἐξουθενοῦσιν αὐτόν, ἀεὶ ἐψεύσατο...οὐδὲν τῶν μελλόντων ἐκ προγνώσεως οἶδασιν ib.*(672A); because they are liars, should never be believed, Chrys. *hom.13.2 in Mt.*(7.170C); Cyr.*Jo.*12(4.1039C); speak truth only if compelled by higher power, Eust.*engast.*4(p.20.30; M.18.620C); **d.** tempting and vexing Christians in other ways *πολλῆς τοῖς ἀγωνιζομένοις διὰ τοὺς ἀνταγωνισμένους δ. χρεία τῆς νήψεως...τῶν ἀντιπάλων φυλάξασθαι τὰς ἐπιβουλὰς πολλῶν ὄντων, καὶ ἀοράτων, καὶ πάθεσιν ἡμετέροις καὶ αἰσθήσεσιν ὅπλοις καθ' ἡμῶν κεχρημένων* Nil. *Magn.*59(M.79.1048B); *ἀλλήλοις...βοηθοῦσιν οἱ δ., εἰς ἀπώλειαν τῶν τούτοις* [sc. sins] *περιπιπτόντων συμφωνοῦντες, τάχα πῶς ὁ ἄνθρωπος τῆς οἰκείας ἀπογνῷ σωτηρίας* id.*epp.*3.42(M.79.408C); *καὶ τοῖς ἔξωθεν πράγμασι κέχρηνται πρὸς τὰς φαντασίας οἱ δ.* †Nil.*mal.cog.*4(M.79. 1205A); *ἐν ταῖς καθ' ὕπνον φαντασίαις τυποῦσιν ἡμῶν τὸ ἡγεμονικὸν καὶ σχηματίζουσιν οἱ δ. ib.*(1204C); *πρὸ μὲν τοῦ πτώματος, φιλάνθρωποι· μετὰ δὲ τὸ πτῶμα ἀπότομον τὸν θεὸν λέγουσιν οἱ δ.* Jo.Clim.*scal.*5 (M.88.780A); *εἰσὶν ἀκάθαρτοι πονηρῶν πονηρότεροι δ., οἳ τὴν ἁμαρτίαν ἡμᾶς κατεργάζεσθαι μόνους οὐ συμβουλεύουσιν· ἀλλὰ κοινωνοὺς ἡμᾶς πρὸς τὸ κακόν, καὶ ἑτέρους ἔχειν συμβουλεύουσιν ib.*26(1060D); freq. also in disguise *ὁ δ. ὁ ἐν τῷ στρατιωτικῷ σχήματι φανείς A.Mt.*14 (p.232.6); Evagr.Pont.*or.*107(M.79.1192A); **e.** receiving souls of wicked after death, *Hom.Clem.*9.9; Mac.Aeg.*hom.*22(M.34.660A); and detaining those not yet perfectly purified, *ib.*43.9(777C); *ἐὰν ἐξέλθῃ ἡ ψυχὴ μὴ γνοῦσα τὴν ἀλήθειαν, παραδίδοται τοῖς δ., ὅπως δαμάσωσιν αὐτὴν ἐν ταῖς γεέννας τοῦ πυρός* Hegem.*Arch.*11(p.18.10; M.10.1445A); **5.** demons in spiritual life (for special demon of accidie, the noonday devil, v. *ἀκηδία*); **a.** distractions in prayer caused by demons *λίαν βασκαίνει ὁ δ. ἀνθρώπῳ προσευχομένῳ, καὶ πάσῃ χρᾶται μηχανῇ, λυμήνασθαι τὸν τούτου σκοπόν· οὐ παύεται οὖν τὰ νοήματα κινῶν τῶν πραγμάτων διὰ τῆς μνήμης, καὶ ὅλα τὰ πάθη ἀναμοχλεύων διὰ τῆς σαρκός, ἵνα ἐμποδίσαι δυνηθῇ τῷ ἀρίστῳ αὐτοῦ δρόμῳ* Evagr.Pont.*or.*46(M.79.1176D); *τοὺς μὲν ἄκρως προσευχομένους πολεμοῦσιν οἱ δ., ἵνα τὰ νοήματα τῶν αἰσθητῶν φιλὰ μὴ ἀναλαμβάνωσι· τοὺς δὲ γνωστικούς, ἵνα ἐγχρονίζωσιν ἐν αὐτοῖς οἱ ἐμπαθεῖς λογισμοί* Max.*carit.*2.90(M.90.1013B); distinction between distractions that come from man himself and those caused by demons *εἰ...χρημάτων, ἢ δόξης ἀνάμνησις γένοιτο, ἐκ τοῦ πράγματος δῆλον ὅτι ὁ θλίβων ἡμᾶς ἐπιγνωσθήσεται· καὶ ἐπὶ τῶν ἄλλων δὲ λογισμῶν ὡσαύτως, ἀπὸ τοῦ πράγματος εὑρήσεις τὸν παρεστῶτα, καὶ ὑποβάλλοντα τὰς φαντασίας δ. οὐ πάσας δὲ τὰς μνήμας τῶν τοιούτων πραγμάτων ἐκ δαιμόνων λέγω συμβαίνειν· ἐπειδὴ πέφυκε καὶ αὐτὸς ὁ νοῦς κινούμενος ὑπὸ ἀνθρώπου τῶν γεγονότων ἀναφέρειν τὰς φαντασίας, ἀλλ'* [viz. *ἐκ δαιμόνων*] *ὅσαι τῶν μνημῶν θυμόν, ἢ ἐπιθυμίαν παρὰ φύσιν συνεπισπῶνται* †Nil.*mal. cog.*2(M.79.1201C); **b.** special temptations in prayer *ἐπὰν καθαρῶς... προσεύχηται ὁ νοῦς...οἱ δ. ... ὑποτίθενται...αὐτῷ δόξαν θεοῦ, καὶ σχηματισμόν τινα τῶν τῇ αἰσθήσει φίλων, ὡς δοκεῖν τελείως τετεῦχθαι αὐτὸν τοῦ περὶ προσευχῆς σκοποῦ. τοῦτο δέ,...ὑπὸ τοῦ τῆς κενοδοξίας πάθους γίνεσθαι, καὶ ὑπὸ τοῦ δαίμονος τοῦ ἀπτομένου, τοῦ κατὰ τὸ ἐγκέφαλον τόπου, καὶ φλεψὶ πάλλοντος* Evagr.Pont.*or.*72(M.79.1181D); *ὁ παμμίαρος φιλεῖ πολλάκις παρ' αὐτὰς τὰς ἁγίας συνάξεις...δυσφημεῖν τὸν κύριον. ... ὅθεν...μανθάνομεν σαφῶς μὴ οὖσαν τὴν ἡμετέραν ψυχὴν τὴν τὰ ἄθεσμα...καὶ ἄρρητα λόγια ἔνδοθεν φθεγξαμένην· ἀλλὰ τὸν μισόθεον δ.* Jo.Clim.*scal.*23(M.88.976C); through visions, Evagr. Pont.*or.*94(1188B); **c.** in eremitical and monastic life, †Nil.*mal. cog.*8(M.79.1209C) cit. s. *ἀναχωρητής*; *εἴθισται τῷ δ. καὶ μάλιστα ἐν τοῖς ἀγωνιζομένοις, καὶ τὸν μονήρη βίον μετερχομένοις πολλάκις πᾶσαν αὐτοῦ τὴν ὁρμὴν...ἐν τοῖς παρὰ φύσιν μόνον...αὐτοὺς παρασκευάζειν πολεμεῖσθαι* Jo.Clim.*scal.*15(M.88.885B); **d.** principal temptations and remedies *ἐν πάσαις ἡμῶν ταῖς κατὰ θεὸν ἐργασίαις τρεῖς ἡμῖν βοθύνους οἱ δ. ὀρύσσουσι. καὶ πρῶτον μὲν παλαίουσιν, ἵνα τὸ ἀγαθὸν κωλύσωσι γενέσθαι· δεύτερον δὲ μετὰ τὴν πρώτην αὐτῶν ἦτταν, ἵνα μὴ κατὰ θεὸν τὸ τυχὸν γένηται. ὅταν δὲ καὶ τούτου οἱ κλέπται τοῦ σκοποῦ ἀποτύχωσι, τότε λοιπὸν ἡσυχίως ἐπιστάντες ἐν τῇ ἡμετέρᾳ ψυχῇ μακαρίζουσιν ἡμᾶς, ὡς κατὰ θεὸν ἐν πᾶσιν πολιτευομένους. τοῦ μὲν προτέρου ἐχθρός, σπουδὴ καὶ μέριμνα θανάτου· τοῦ δὲ δευτέρου, ὑποταγὴ καὶ ἐξουδένωσις· τοῦ δὲ τρίτου, τὸ ἑαυτὸν διηνεκῶς καταμέμφεσθαι ib.*26(1013C); *ib.*23(977D); **6.** limitations of their power; **a.** cannot truly prophesy, heal, or help men in other ways, Tat.*orat.*18(p.20. 15; M.6.845B); *ib.*17(p.18.24; 844A); Or.*Cels.*8.57(p.274.9; M.11. 1604A); *τοῦτο* [sc. *προφητεία*]*...ἔργον θεοῦ, ὅπερ οὐδὲ μιμήσασθαι δύναιντ' ἂν οἱ δ., κἂν σφόδρα φιλονεικῶσιν...εἰ δέ που καὶ δ. τοῦτο πεποιήκασιν, ἀλλ' ἀπατῶντες τοὺς ἀνοητοτέρους* Chrys.*hom.19.2 in Jo.*(8.112D); *δ. οὐ θεραπεύουσιν. εἰ δέ ποτε, καὶ συγχωροῦντος τοῦ θεοῦ, ἐπιτύχοιέν τινος θεραπείας, καθάπερ ἄνθρωποι, εἰς δοκιμὴν τὴν σὴν ἡ συγχώρησις γίνεται, οὐκ ἐπειδὴ θεὸς ἀγνοεῖ, ἀλλ' ἵνα σὺ παιδευθῇς, μηδὲ θεραπευόντων ἀνέχεσθαι τῶν δ.* id.*Jud.*1(1.598E); *τῶν ἐσομένων οὐδὲν οἱ δ. ἴσασι· καταστοχαζόμενοι δὲ τῶν πραγμάτων,*

...προλέγειν ἐπιχειροῦσι Thdt.*Ezech.*21:22(2.845); Jo.D.*f.o.*2.4(M.94.877A); do not know secrets of heart, †Nil.*mal.cog.*27(M.79.1232B); **b.** cannot harm Christians οὐ *Χριστιανὸς...ὑποτάξας ἑαυτὸν μόνῳ τῷ θεῷ καὶ τῷ λόγῳ αὐτοῦ, πάθοι τι ἂν ὑπὸ τῶν δαιμονίων, ἅτε κρείττων δαιμόνων τυγχάνων* Or.*Cels.*8.36(p.251.28; M.11.1572C); *ib.*8.27(p.243.7; 1556C); *τὸ μὲν παρὰ δαίμονος ἐνοχλεῖσθαι χαλεπὸν οὐδέν· οὐ γὰρ εἰς γέενναν ἐμβαλεῖν τὸ δαιμόνιον δύναται* Chrys.*hom.in 1 Tim.* 5:9(3.321B); *οὐδεὶς...τῶν πονηρῶν δ. τοῦ ἐναρέτου ποτὲ κωλύει τὸ πρόθυμον* Max.*qu.Thal.*56(M.90.581B,C); Jo.D.*f.o.*2.4(M.94.877B); but only those who subject themselves to them, Or.*Cels.*8.36 (p.251.15; 1572B); *ib.*8.34(p.250.6; 1569A); being dependent on permission of God for man's good *διὰ πέντε αἰτίας φασὶ παραχωρεῖσθαι ἡμᾶς ὑπὸ θεοῦ πολεμεῖσθαι ὑπὸ δαιμόνων καὶ πρώτην...ἵνα πολεμούμενοι καὶ ἀντιπολεμοῦντες, εἰς διάκρισιν τῆς ἀρετῆς καὶ τῆς κακίας ἔλθωμεν. δευτέραν δέ, ἵνα πολέμῳ...τὴν ἀρετὴν κτώμενοι, βεβαίαν αὐτὴν...ἕξωμεν. τρίτην δέ, ἵνα προκόπτοντες εἰς τὴν ἀρετήν ...μάθωμεν ταπεινοφρονεῖν. τετάρτην δέ, ἵνα πειρασθέντες τῆς κακίας, τέλειον μῖσος αὐτὴν μισήσωμεν. πέμπτην δὲ ἐπὶ πάσαις, ἵνα ἀπαθεῖς γενόμενοι, μὴ ἐπιλαθώμεθα τῆς οἰκείας ἀσθενείας* Max.*carit.*2.67(M. 90.1005B); their power limited to this world, Chrys.*incomprehens.* 4.2(1.474B) cit. s. *κοσμοκράτωρ.*

E. possession, freq. described in same bridal imagery as mystic union between Christ and soul; **1.** close relationship between certain men and demons (familiar spirits), cf. *ostenditur ab adversariis spiritibus quosdam a prima aetate possessos, id est nonnullos cum ipso daemone esse natos, alios vero a puero divinasse historiarum fides declarat, alii a prima aetate daemonem, quem Pythonem nominant, id est ventriloquum, passi sunt,* Or.*princ.*3.3.5(pp.261.19–262. 1; M.11.318B,C); *A.Thom.*A 42 tit.(p.159.8); *ib.*43(p.161.9); *οἱ μὲν κοινωνοῦσι Χριστῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οἱ δὲ τῷ σατανᾷ καὶ τοῖς δ.* Mac.Aeg.*hom.*15.32(M.34.597B); *ib.*26.13(684A); *ib.*27.19(708A); *οἱ δ. ... οἰκήτορες ἀνθρώπων ἐγίνοντο* Bas.Sel.*or.*23.1(M.85.272B); its cause *τὸ δὲ τοὺς δ. γλίχεσθαι εἰς τὰ τῶν ἀνθρώπων εἰσδύειν σώματα, αἰτία αὕτη. πνεύματα ὄντες καὶ τὴν ἐπιθυμίαν ἔχοντες εἰς βρωτὰ καὶ ποτὰ καὶ συνουσίαν, μεταλαμβάνειν δὲ μὴ δυνάμενοι διὰ τὸ πνεύματα εἶναι καὶ δεῖσθαι ὀργάνων τῶν πρὸς τὴν χρῆσιν ἐπιτηδείων, εἰς τὰ ἀνθρώπων εἰσίασιν σώματα, ἵνα, ὥσπερ ὑπουργούντων ὀργάνων τυχόντες, ὧν θέλουσιν ἐπιτυχεῖν δυνατοὶ ὦσιν Hom.Clem.*9.10; **2.** before Christ all men possessed by demons, cf. *omnes daemones ante adventum domini et salvatoris nostri, quieti et securi humanas animas possidentes, in earum mentibus corporibusque regnabant,* Or.*hom.I4.1 in Jos.*(p.376.21; M.12.893B); *per singula peccata, quae committimus, maxime si...studio affectuque peccamus, illi...daemoni, cui peccatum illud, quod admisimus, inoperari curae est, consecramur. et fortasse continget nobis tot daemoniis esse consecratos, quot peccata committimus...per alia peccata,...aliis daemonibus homines consecrantur. ...si senseris malignum spiritum loqui in corde tuo, ut te ducat ad aliquod opus peccati, intellige quia te ducere vult, ut consecret te alicui daemoni; ducere te vult, ut suscipias mysteria diabolica,* id.*hom.20.3 in Num.*(p.193.13ff.; M.12.732C–733A); *si infelix anima divini verbi dereliquerit sancta connubia et in adulterinos se complexus diaboli aliorumque daemonum illecebris decepta tradiderit, generabit sine dubio etiam inde filios, ib.20.2*(p.188.22; 729A); Jews possessed by demons both before and after Christ, Chrys.*Jud.*1.6(1.596B,C); **3.** description of possession *ὁ...ἀκάθαρτος δ., ὅταν ἔρχηται ἐπὶ ψυχὴν ἀνθρώπου...ὡς λύκος αἱμοβόρος ἕτοιμος εἰς βορὰν...ἔρχεται· ἀγριωτάτη ἡ παρουσία, βαρυτάτη ἡ αἴσθησις, σκοτώδης ἡ διάνοια γίνεται...σώματι γὰρ ἀλλοτρίῳ, ὡς ἰδίῳ κεχρῆσθαι βιάζεται, καὶ ὀργάνῳ ἀλλοτρίῳ. τὸν ἑστῶτα καταβάλλει. οἰκεῖος γάρ ἐστι τοῦ πεσόντος ἐξ οὐρανοῦ. παρατρέπει τὴν γλῶσσαν. στρεβλοῖ τὰ χείλη. ἁρπὸς ἀντὶ ῥημάτων. σκοτοῦται ὁ ἄνθρωπος. ἠνοίκται ὁ ὀφθαλμός, καὶ δι' αὐτοῦ οὐ βλέπει ἡ ψυχή· καὶ σπαίρει τρομικῶς ὁ ἄθλιος ἄνθρωπος πρὸ θανάτου. ἐχθροὶ τῶν ἀνθρώπων ἀληθῶς οἱ δ.* Cyr.H.*catech.*16.15; Chrys.*Stag.*1.1(1. 156D,E); which demonstrates wickedness of demons and goodness of God *ὅταν ἴδῃς ἄνθρωπον ὑπὸ δ. κινούμενον, προσκύνησον τὸν δεσπότην, μάθε τῶν δ. τὴν πονηρίαν· ἀμφότερα γάρ ἐστιν ἰδεῖν ἐπὶ τῶν δαιμονώντων τούτων, καὶ τὴν τοῦ θεοῦ φιλανθρωπίαν, καὶ τὴν τῶν δ. κακίαν· τὴν μὲν τῶν δ. κακίαν, ὅταν ταράττωσι καὶ θορυβῶσι τὴν ψυχὴν τοῦ παραπαίοντος· τὴν δὲ τοῦ θεοῦ φιλανθρωπίαν, ὅταν οὕτως ἄγριον δαίμονα...κατέχῃ* id.*diab.*1.6(2.256B); Thdt.*h.e.*3.20.1(3.936); a difference to be made between diabolic possession and natural depression *ὡς καὶ πολλάκις σε ἀναπείθειν τὸν δ. εἰς πέλαγος, ἢ κατὰ κρημνῶν ἀφανίσαι σαυτόν...οὐ γὰρ ἐκείνου μόνον ἐστὶν αὐτὴ ἡ συμβουλή, ἀλλὰ καὶ τῆς ἀθυμίας τῆς σῆς, καὶ ταύτης μᾶλλον ἢ ἐκείνου, τάχα δὲ καὶ μόνης ταύτης* Chrys.*Stag.*2.1(179C); *οὐχ ὁ δ. ἐστὶν ὁ τὴν ἀθυμίαν κινῶν, ἀλλ' ἐκείνη ἡ ποιοῦσα τὸν δ. ἰσχυρόν ib.*(180A); **4.** exorcism, practised from earliest times *δαιμονιολήπτους...ἰῶνται, καταργοῦντες καὶ ἐκδιώκοντες τοὺς κατέχοντας τοὺς ἀνθρώπους δ.* Just.*2apol.*6.6(M.6.456A); *εἰ ἠπίστατό γε* [sc. Celsus] *τὸν περὶ δαιμόνων λόγον...οὐκ ἂν ἐνεκάλεσεν ἡμῖν, φάσκουσιν ὅτι οὐ χρὴ θεραπεύειν δ. ὅστις σέβει τὸν ἐπὶ πᾶσι θεόν. καὶ τοσοῦτόν γε ἀποδέομεν τοῦ θεραπεύειν δ., ὥστε καὶ ἀπελαύνειν αὐτοὺς εὐχαῖς...ἀπὸ τῶν ἀνθρωπίνων ψυχῶν καὶ ἀπὸ τῶν τόπων, ἐν οἷς ἱδρύκασιν* Or.*Cels.*7.67(p.216.19ff.; M.11.1516B); *ib.*8.73(p.291.7; 1628B); Dion.Al.ap.Eus.*h.e.*7.10.4(M. 20.660A); *A.Phil.*12(p.6.22) and freq. in popular literature; performed not by human power, but through Christ, *Const.App.*8.1.3; **5.** eccl. legislation on possession, v. *προσδέχομαι.*

F. defeat of demons through Christ and Church; **1.** through Inc. and Passion *ὁ δὲ πέμψας τὸν 'Ιησοῦν θεὸς ἐκλύσας πᾶσαν τὴν τῶν δ. ἐπιβουλήν* Or.*Cels.*3.29(p.227.2; M.11.957B); *ὁ νομιζόμενος ἄνθρωπος πρὸς τὸ ἀποθανεῖν ἐπὶ καθαιρέσει μεγάλου δ. καὶ δαιμόνων ἄρχοντος, ὑποτάξαντος ὅλας...ψυχάς ib.*1.31(p.83.4; 720A); *ib.*1.60(p.111.4; 769C); cf. *una hostia omnis daemonum cultura depulsa,* id.*hom.17.1 in Num.*(p.155.5; M.12.703C); *ib.17.6*(p.165.13; 710D); *ἐπεδήμησεν ὁ υἱὸς τοῦ θεοῦ Χριστός...ἵνα δὴ τὰ κράτη τῶν τυρανούντων ἀνατρέψας δ. ἐξέληται τῆς πικρᾶς τὰς ψυχὰς δουλείας* Meth.*Porph.*1(p.503.3; M.18.397C); *τούτου γὰρ ἕνεκα καὶ σάρκα ἐφόρεσεν ὁ κύριος 'Ιησοῦς... ὅπως δι' ἧς σαρκὸς οἱ δ. ἀναδεῖξαι θεοὺς ἠλαζονεύσαντο...διὰ ταύτης ἀνατραπέντες κατοπτευθῶσιν οὐκ ὄντες θεοί ib.*(p.503.15; 397D); *ib.* (p.504.3ff.; 400A,B); *ἀπὸ χρόνων τῆς ἐπιφανείας τοῦ...Χριστοῦ... δαιμόνων θάνατοι μνημονεύονται* Eus.*d.e.*5 proem.(p.203.34; M.22. 337C); Porphyry himself testifying to it *περὶ δὲ τοῦ μηκέτι δύνασθαί τι κατισχύειν τοὺς φαύλους δ. μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν εἰς ἀνθρώπους πάροδον, καὶ αὐτὸς ὁ καθ' ἡμᾶς τῶν δ. προήγορος ἐν τῇ καθ' ἡμῶν συσκευῇ...μαρτυρεῖ* id.*p.e.*5.1(179D; M.21.312C); *ib.*(178D; M.309C); *εἰ ὁ ἐχθρὸς τοῦ γένους ἡμῶν διάβολος ἐκπεσὼν ἀπὸ τοῦ οὐρανοῦ, περὶ τὸν ἀέρα τὸν ὦδε κάτω πλανᾶται, κἀκεῖ τῶν σὺν αὐτῷ δ. ὡς ὁμοίων ἐν τῇ ἀπειθείᾳ ἐξουσιάζων, φαντασίας μὲν δι' αὐτῶν ἐνεργεῖ τοῖς ἀπατωμένοις, ἐπιχειρεῖ δὲ τοῖς ἀνερχομένοις ἐμποδίζειν...ἦλθε δὲ ὁ κύριος, ἵνα τὸν μὲν διάβολον καταβάλῃ, τὸν δὲ ἀέρα καθαρίσῃ...ποίῳ δ' ἂν ἄλλῳ θανάτῳ ἐγεγόνει ταῦτα ἢ τῷ ἐν ἀέρι γενομένῳ, φημὶ δὴ τῷ σταυρῷ; μόνος γὰρ ἐν τῷ ἀέρι τις ἀποθνήσκει, ὁ σταυρῷ τελειούμενος...οὕτως γὰρ ὑψωθείς, τὸν μὲν ἀέρα ἐκαθάριζεν ἀπό τε τῆς διαβολικῆς καὶ πάσης τῶν δ. ἐπιβουλῆς* Ath.*inc.*25.5,6(M.25.140B,C omitted in 'short recension'); Cyr.H.*catech.*19.3 cit. s. *ἀμνός*; Gr. Nyss.*or.catech.*18(p.75.1; M.45.53C); Chrys.*exp.in Ps.*41(5.133B); Bas.Sel.*or.*23.1(M.85.272B); **2.** through Holy Name *ὁ ἡμέτερος 'Ιησοῦς, οὗ τὸ ὄνομα μυρίους ἤδη ἐναργῶς ἑώραται δ. ἐξελάσαι ψυχῶν καὶ σωμάτων* Or.*Cels.*1.25(p.76.14; M.11.708A); *ib.*3.36(p.233.10; 968A); Eus.*d.e.*3.6(p.138.31; M.22.233C); Chrys.*exp.in Ps.*110(5. 275D); **3.** through sacraments and sacramental signs; **a.** baptism *δ. ... ἐν τῷ σωτηρίῳ ὕδατι ἀφανίζεται* Cyr.H.*catech.*19.3; *ib.*20.3; *τῷ κατὰ Χριστὸν γινομένῳ βαπτίσματι ἀκροτηριάζονται...οἱ πρὸ τῆς πίστεως ἡμᾶς δουλωσάμενοι, καὶ τὰς ψυχὰς ἀποκτείναντες δ.* Nil.*epp.* 2.16(M.79.208A); **b.** eucharist, Chrys.*hom.46.3 in Jo.*(8.273A) cit. s. *αἷμα*; **c.** sign of cross *τοῦ σταυροῦ γενομένου...δαιμόνων φαντασία τῷ σημείῳ τούτῳ ἀπελαύνεται* Ath.*gent.*1(M.25.5A); Thdt.*h.e.*3.3.4 (3.913); **4.** through saints, esp. martyrs *αἱ ψυχαὶ τῶν διὰ Χριστιανισμὸν ἀποθνῃσκόντων δι' εὐσέβειαν...καθήρουν τὴν δύναμιν τῶν δ.* Or.*Cels.*8.44(p.258.28; M.11.1581C); *ib.*8.55(p.272.17; 1601A); *ἡ τέφρα τῶν ἁγίων μαρτύρων πονηροὺς ἀπελαύνει δ.* Chrys.*stat.*8.2(2.93B); id. *pan.Juln.*2(2.674D); id.*pan.Bab.*2.13(2.558A,B) al.; ‡Chrys.*indict.* 1.1(8².94C); Thdt.*affect.*3(p.99.2; 4.791); **5.** through vigorous spiritual life, Mac.Aeg.*hom.*9.11(M.34.537D) cit. s. *ἀγωνίζομαι*; Chrys. *hom.14.5 in Gen.*(4.114A); *ib.37.1*(373C); and the virtues *οὐδεμίαν γὰρ τῶν ἀρετῶν σχεδὸν οὕτω δεδοίκασιν οἱ δ., ὡς πραΰτητα* †Nil.*mal. cog.*14(M.79.1216C); *ἀσθενοῦσι μὲν οἱ δ., ὅταν διὰ τῶν ἐντολῶν μείωνται τὰ πάθη τὰ ἐν ἡμῖν· ἀπόλλυνται δέ, ὅταν εἰς τέλος διὰ τῆς ἀπαθείας τῆς ψυχῆς ἐξαφανίζωνται* Max.*carit.*2.22(M.90.992A).

G. exeg.; **1.** 1Reg.28:3ff.; view that demon feigned Samuel's appearance *πῶς γὰρ ἠδύνατο δ. ψυχήν, οὐ λέγω δικαίου μόνον, ἀλλὰ καὶ τοῦ τυχόντος, τὴν ἀπελθοῦσαν, ἣν οὐκ ἤδει ποῖ διάγει, καλέσαι;... ἀλλὰ Σαοὺλ οὐκ εἶδεν, ἀλλ' ἀκούσας παρὰ τῆς γυναικός, ὅπερ ἔβλεπεν, σχῆμα τῶν ἀνιόντων ἑνὸς καὶ ἐπιγνοὺς ὡς Σαμουήλ, τοιοῦτῳ ἐχρᾶτο, προσεκύνησεν. οὐδὲν δὲ τῷ δ. μορφῶσαι, ὅπερ ἤδει, σχῆμα τοῦ Σαμουήλ* ‡Hipp.*engast.*(p.123.3ff.; M.10.605C); cf. *οὐχ ὅτι οὖν ἀνήγαγε τὸν Σαμουήλ, ἀλλὰ τῇ ἐγγαστριμύθῳ καὶ τῷ ἀποστάτῃ Σιοὺλ δ. ταρταραῖοι ἐξομοιωθέντες τῷ Σαμουὴλ ἐνεφάνισαν ἑαυτούς M.l'ion.*14.11; cf. reasons advanced by Origen agst. demon's having spoken in Samuel's person *δαιμόνιον δὲ οὐ δύναται εἰδέναι τὴν βασιλείαν Δαβὶδ τὴν ὑπὸ τοῦ κυρίου χειροτονηθεῖσαν* Or.*engast.*5(p.287.19; M.12. 1020A); cf. reply of defender of traditional view *οὐκ ἔστι Σαμουήλ,*

ψεύδεται τὸ δαιμόνιον, ἐπεὶ οὐ δύναται ψεύδεσθαι ἡ γραφή. τὰ δὲ ῥήματα τῆς γραφῆς [ἐστιν] οὐκ ἔστιν ἐκ προσώπου τοῦ δαιμονίου [αὐτοῦ], ἀλλ' ἐκ προσώπου αὐτῆς *ib.*6(p.288.8ff.; 1020B,C); cf. ἐγὼ δὲ οὐ δύναμαι διδόναι δαιμονίῳ τηλικαύτην δύναμιν, ὅτι προφητεύει περὶ Σαοὺλ [Σαμουὴλ] καὶ τοῦ λαοῦ τοῦ θεοῦ, καὶ προφητεύει περὶ βασιλείας Δαβὶδ ὅτι μέλλει βασιλεύειν *ib.*8(p.292.10; 1025A); ἡ ψυχὴ τοῦ Σαμουὴλ ἀνελθοῦσα ἐκ τοῦ ᾅδου διά τινα οἰκονομίαν, καὶ λαλήσασα τῷ Σαούλ, καὶ προειποῦσα αὐτῷ τὸν...θάνατον...ὅπερ δ. οὔτε ἐγίνωσκεν, οὔτε προειπεῖν ἠδύνατο, κἂν τινες οὕτω νομίζωσιν Anast.S.*serm.imag.* 3(M.89.1176A); this view refuted δαιμόνιον δὲ λέγων [sc. Origen] οὐ δύναται εἰδέναι τὴν βασιλείαν Δαβὶδ κτλ. ... εἰ μὲν οὖν ἄδηλος ἦν ἡ βασιλεία, ἐξῆν ἂν ἴσως ἄγνοιαν ὑποκρίνεσθαί τινα σκηπτόμενον· εἰ δὲ μεμαρτύρητο μὲν ὑπὸ θεοῦ, κέχριστο δ' ἐπὶ τούτοις ὑπὸ τοῦ Σαμουήλ, ἔν τε τοῖς πολέμοις ἀριστεύων ἀεί...εἰ δὲ ταῦτα...καθεστήκει σαφῆ, τί ξένον...εἰ τὴν οὖσαν καὶ κεχειροτονημένην ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου βασιλείαν ἐπεγίνωσκεν ὁ δ.; Eust.*engast.*23(p.52.3; M.18.660C); cf. answer to second objection from inspiration of scripture τροπολογῶν [sc. Origen] οὐ φρίττει 'μύθους' ὀνομάζειν ὅσα δεδημιουργηκέναι μὲν ἱστορεῖται θεός...ἀλλ' ἐκ τῶν ἐναντίων, ἅπερ ὁ μῦθος ἐν γαστρὶ πλαττόμενος ἀφανῶς ὑπηχεῖ, ταῦτα δογματικῷ βεβαιοῖ προγράμματι, δεικνύων ἀληθῆ *ib.*21(p.48.13ff.; 656A,B); to third οὐκοῦν ἀπορίᾳ προγνώσεως οὐδὲν ἀληθὲς ἐξεῖπεν ὁ δ. (οὐ γὰρ ἂν ἐναντία τῶν γεγονότων ἀπήγγειλεν), ἀλλὰ τὰ τῷ Σαμουὴλ εἰρημένα πρότερον, ὡς ἔφην, ὑποκλέψας, ὀλίγα ἄττα προσετίθη τούτοις, ἐκ τῶν εἰκότων ὁμοιότροπα συμπλέξας *ib.*13(p.37.16; 641A); traditional view of apparition being a demonic fraud defended, Gr.Nyss.*engast.* (p.66.1; M.45.112A); ‡Just.*qu.et resp.*52(M.6.1296C); third view, based on 1Par.10:13f., that God, in order to punish Saul for impiety in consulting woman of Endor, announced his doom through mouth of Samuel δ. δέ τινα λαοπλάνον ἔφησαν δεῖξαι τὸ σχῆμα τοῦ Σαμουήλ...ἀνοίας...ἐστι...αὐτὴν τοῖς τοῦ ψεύδους διδασκάλοις ἀνέθεσαν δαίμοσιν...δῆλον...ὡς αὐτὸς ὁ τῶν ὅλων θεός, σχηματίσας...τὸ εἶδος τοῦ Σαμουήλ, ἐξήνεγκε τὴν ἀπόφασιν, οὐ τῆς ἐγγαστριμύθου δρᾶσαι τοῦτο δυνηθείσης Thdt.*qu.63 in 1Reg.*(1.398f.); opinion that ἐγγαστρίμυθος prophesied nothing that she could not have known by natural means rejected, *ib.*(400C); cf.*cat.Tit.*1:12 (p.91.14); **2.** allegorical: Ex.11:5, cf. *quosdam primogenitos etiam in Aegyptiis, id est in contrariis potestatibus, quasi electos in malitia et primos inter daemones; qui nisi percussi fuerint..., sanctificationem percipere Israhelitarum primogeniti omnino non possunt. quis ergo est, qui primogenitos Aegyptiorum, id est 'principatus et potestates' daemonum percussit? nonne dominus meus Jesus Christus?* Or.*hom.3.4 in Num.*(p.19.5ff.; M.12.597D–598A); Ps.20:8, cf. *dixit de his qui in daemonibus confidebant: 'hi in curribus et hi in equis'... illi invocant 'currus et equos' id est daemones,* id.*hom.15.3 in Jos.* (p.384.15ff.; M.12.899A,B); Ps.16:7 ὠθεστηκότας τῇ δεξιᾷ τοῦ θεοῦ· τοὺς δαίμονάς φησι,...φυλαχθείημεν καὶ ἡμεῖς ἀπὸ δαιμόνων τῶν ἐναντιουμένων τῇ δεξιᾷ Cyr.ad loc.(M.69.816B,C).

H. heret.; **1.** in teaching ascribed to Simon Magus, v. ὀνειροπομπός; **2.** in dualist heresies; demons uncreated τὸν δὲ διάβολον καὶ τοὺς ὑπ' ἐκεῖνῳ τελοῦντας δ., κατὰ τοὺς Μαρκίωνος, καὶ Κέρδωνος, καὶ τοὺς Μάνεντος μύθους, οὐκ ἀγενήτους εἶναι φαμέν Thdt.*haer.* 5.8(4.406); themselves creators of world, Chrys.*hom.18.3 in 1Cor.* (10.155D); assisting especially the wicked, Hipp.*haer.*7.28(p.209. 12; M.16.3323A); and givers of Law, Chrys.*hom.8.2 in Jo.*(8.50C); 'familiar demons' possessed by Marcus and Carpocratians, Iren.*haer.*1.13.3(M.7.581B); Epiph.*haer.*27.3(p.303.16; M.41.365D); **3.** Euchite (Messalian) λέγουσιν ὅτι ἑκάστῳ ἀνθρώπῳ τικτομένῳ παραυτίκα δ. οὐσιωδῶς συνάπτεται, ἐκ τῆς καταδίκης τοῦ Ἀδὰμ τούτου κεκληρωμένου· καὶ ὅτι οὗτος ὁ δ. εἰς τὰς ἀτόπους πράξεις κινεῖ τὸν ἄνθρωπον, οὐσιωδῶς αὐτῷ συνημμένον Tim.CP *haer.*(M. 86.48B); λέγουσιν ὅτι τὸ ἅγιον βάπτισμα οὐδὲν συμβάλλεται εἰς τὴν τοῦ δ. τούτου δίωξιν...ὅτι μόνη ἡ ἐκτενὴς προσευχὴ διώκειν δύναται τοῦτον τὸν δ. διὰ χρέμψεως καὶ ἀποπτύσεως τοῦ προσερχομένου, φυγαδευομένου τούτου τοῦ δ. ὡς καπνοῦ ὁρωμένου *ib.*; λέγουσιν ὅτι σπέρμα καὶ λόγος ἐνέπεσεν εἰς τὴν Μαρίαν· καὶ ὅτι τὸ σῶμα ὃ ἀνέλαβεν ὁ αὐτῆς ὁ κύριος, δαιμόνων ἦν πεπληρωμένον, καὶ ἐξέβαλεν τὰ δαιμόνια, καὶ οὗτος αὐτὸ ἐνεδύσατο *ib.*(49A); cf.Thdt.*h.e.*4.11.7(3. 966).

I. in folk-lore, v. *T.Sal.* passim; κἀγὼ Σολομῶν...ἔδωκα αὐτοῖς [sc. Israelites] ὥστε εἰδέναι τὰς δυνάμεις τῶν δ. καὶ τὰς μορφὰς αὐτῶν καὶ τὰ ὀνόματα αὐτῶν τῶν ἀγγέλων ἐν οἷς καταργοῦνται οἱ δ. *T.Sal.*15.14 (M.122.1340A); female demons, *ib.*4.1(1320D); used for Solomon's building activities, *ib.*10.10(1332C); though by nature instigators of many evils, *ib.*8.1ff.(1328A); but view that demons were subject to Solomon vigorously opposed, Leont.B.*mesopent.*(M.86.1980B).

J. term of abuse, Socr.*h.e.*3.23.42(M.67.445B); Evagr.*h.e.*3.41 (p.139.27; M.86.2684C).

K. of antichrist, Or.*hom.9.3 in Jer.*(p.410.32; M.13.736A).

***δαιμονιωδῶς,** v. *δαιμονιωδῶς.

[*]δαίρω, = δέρω, *beat,* Herm.*sim.*6.2.6.

δάκν-ω, 1. *bite, sting,* met. ~ων...καὶ κατεσθίων τὸν πλησίον Or. *Jo.*20.37(29; p.378.28; M.14.661C); ὅταν γὰρ ὁ ὑβρίσας ἴδῃ μὴ καθικνουμένην αὐτοῦ τὴν πληγὴν τῆς τῶν λοιδορηθέντων ψυχῆς, αὐτὸς ~εται μειζόνως Chrys.*stat.*2.8(2.33D); Sever.*serp.*5(M.56.508); **2.** *stab,* Jo.Mosch.*prat.*60(M.87.2913B).

***δακρυηρός,** *tearful,* Germ.CP *or.*2(M.98.272A).

***δακρυολογία, ἡ,** *tearful speech,* Ephr.3.186A.

δάκρυον, τό, *tear*; [dat. plur. δάκρυσι].

A. causes and explanations διὰ τῆς λύπης μύουσιν αἱ λεπταὶ...τῶν πόρων διαπνοαί, καὶ διασφίγξασαι τὴν ἔνδοθεν τῶν σπλάγχνων διάθεσιν, ἐπὶ τὴν κεφαλὴν καὶ τὰς μήνιγγας τὸν νοτερὸν ἀτμὸν ἀναθλίβουσιν, ὃς πολὺς ἐναποληφθεὶς ταῖς τοῦ ἐγκεφάλου κοιλότησι, διὰ τῶν κατὰ τὴν βάσιν πόρων ἐπὶ τοὺς ὀφθαλμοὺς ἐξωθεῖται, τῆς τῶν ὀφρύων συμπτώσεως ἐξελκομένης διὰ σταγόνων τὴν ὑγρασίαν (ἡ δὲ σταγὼν δ. λέγεται) Gr.Nyss.*hom.opif.*12.5(M.44.160C); γίνεται τῶν τῆς ψυχῆς τραυμάτων ὥσπερ αἷμα τὸ δ. id.*Placill.*(M.46.880C); Jo.Clim.*scal.*7(M.88.808B); τὸ...ἐξ ἀγαθῶν ἄρξασθαι τοῦ πένθους δακρύων, καὶ εἰς πονηρὰ καταλῆξαι, οὐ θαῦμα. τὸ δὲ ἐξ ἐναντίων ἢ φυσικῶν εἰς πνευματικὰ μετεγκεντρίσαι ἀξιέπαινον *ib.*(808C); οὐκ ἦν ἐν τῷ Ἀδὰμ πρὸ τῆς παραβάσεως δάκρυον· ὥσπερ οὐδὲ μετὰ τὴν ἀνάστασιν *ib.*(809C).

B. right use τὸ δ. οὐκ ἔστι νομοθεσία πρὸς τὸ θρηνεῖν, ἀλλὰ μέτρον... καὶ κανὼν ἀκριβής, καθ' ὃν προσῆκε σεμνῶς...τοῖς τῆς φύσεως ὅροις ἐμμένουσι διαφέρειν τὰ λυπηρά. οὔτε οὖν γυναιξίν, οὔτε ἀνδράσιν ἐπιτέτραπται τὸ φιλοπενθὲς καὶ πολύδακρυ, ἀλλ' ὅσον ἐπιστυγνάσαι τοῖς λυπηροῖς, καὶ μικρόν τι δ. ἀποστάξαι, καὶ τοῦτο ἡσυχῇ, μὴ ἀναβρυχώμενον μηδὲ ὀλολύζοντα, μηδὲ καταρρηγνύντα χιτῶνα Bas.*hom.*4.6 (2.30B; M.31.229C); ὅταν ἀδελφὸν παρακαλῶμεν ἁμαρτάνοντα, κλαίειν δεῖ...ὅταν παραινῶμέν τινι, ὁ δὲ μὴ προσέχῃ, ἀλλὰ ἀπολλύηται, κλαίειν δεῖ. ταῦτα φιλοσοφίας τὰ δ.· ὅταν μέντοι πένης τις γένηται, ὅταν ἐν νόσῳ ἢ σωματικῇ, ὅταν ἀποθάνῃ, οὐκέτι· ταῦτα γὰρ οὐ δ. ἄξια... διαβάλλομεν...τὰ δ., ἀκαίρως αὐτὰ μεταχειρίζοντες Chrys.*hom.12.4 in Col.*(11.417C); bad results if suppressed; paralysis or apoplexy, Bas.*hom.*4.5(2.29E; M.31.229B); Isid.Pel.*epp.*2.176(M.78.628C); to be shed in accordance with reason, Jo.Clim.*scal.*7(M.88.805A).

C. tears of repentance; **1.** in gen., ref. S. Mary Magdalene ἐπισπένδουσα τῷ κυρίῳ μετανοίας δ. Clem.*paed.*2.8(p.194.8; M.8. 465B); τὸ γὰρ ὄντως ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας προχεόμενον δ., ἐν γνώσει ἀληθείας μετὰ καὶ πυρώσεως σπλάγχνων, βρῶσίς ἐστι ψυχῆς χορηγουμένη ἐκ τοῦ ἐπουρανίου ἄρτου, οὗ προηγουμένως μετέσχε Μαρία καθεσθεῖσα πρὸς τοῖς ποσὶ τοῦ κυρίου Mac.Aeg.*hom.* 25.8(M.34.672D); Bas.*hom.*5.7(2.41C; M.31.250C); ἐν οὐδενὶ μᾶλλον εὑρίσκων οὔτε παρὰ τῷ ἐπισκόπῳ οὔτε μὴν παρὰ τῷ ὑπ' αὐτὸν τεταγμένῳ λαῷ, αἰσχυνθεὶς μετὰ αἰδοῦς καὶ πολλῶν δ. ἐξελεύσεται εἰρηνικῶς κατανευυγμένος...καὶ τὸ ποίμνιον ὅλον, θεασάμενον ἐκείνου τὰ δ. *Const.App.*2.10.4; Evagr.Pont.*or.*78(M.79.1184C); **2.** efficacy μεγάλη γὰρ ἀρετή ἐστι τὸ δ., μέγα κατόρθωμα, μεγάλαι ἁμαρτίαι...διὰ δ. ἀπαλείφονται Ath.*virg.*17(p.51.24; M.28.272B); S. Peter as proof, *ib.* (p.52.5; M.l.c.); πορνεία...καὶ ὅσα τοιαῦτα...πρὸς τὸ μηδὲ εἶναι χωρεῖ, λυθέντα τοῖς δ. Bas.*hom.*21.7(2.168D; M.31.552D); Gr.Naz.*carm.*2.1. 46.27(M.37.1379A); exeg. Ps.6:7 ἀκουέτωσαν οἱ τὰς ἀργυρᾶς κλίνας ἔχοντες, οἷα τοῦ βασιλέως ἦν ἡ κλίνη· οὐ λιθοκόλλητος...ἀλλὰ δάκρυσι λελουμένη...ἴσασιν οἱ πεῖραν λαβόντες ὃ λέγω, ὅσην εὐφροσύνην ἔχουσιν αὗται τῶν δ. αἱ πηγαί. ταῦτα τὰ δ. τὸ ἄσβεστον πῦρ σβέσαι δύνανται, τὸν ποταμὸν ἐκεῖνον τὸν πρὸ τοῦ βήματος ἑλκόμενον...οἱ νήφοντες...ὥσπερ ὑετῷ τοῖς δ. κεχρημένοι τούτοις, καὶ τὰ σπέρματα τῆς ἀρετῆς αὔξοντες. πάσῃ κακίᾳ...ἄβατός ἐστιν εὐνὴ τοιαῦτα δ. σταλάζων, οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψυχήν Chrys.*exp.in Ps.*6(5.46A–C); δ. καταφερομένων γαλήνη γίνεται, καὶ εὐδία, καὶ τὸ ἐκ τῶν ἁμαρτημάτων ἀφανίζεται σκότος. καὶ ὥσπερ ἐξ ὕδατος καὶ πνεύματος, οὕτως ἀπὸ δ. καὶ ἐξομολογήσεως καθαιρόμεθα πάλιν...ἐκεῖνα ζητῶ τὰ δ. τὰ μὴ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς κατάνυξιν γινόμενα id.*hom.6.5 in Mt.*(7.96A); id. *hom.12.4 in Col.*(11.417D) cit. s. ἀποσμήχω; id.*hom.in 1Cor.*7:39(3. 210B); id.*Laz.*1.8(1.718B); μέγας σπόγγος τὰ δ. τῶν ἁμαρτιῶν· μεγάλη ἡ δύναμις τῶν δ. εἶπω σοι, πόσον ἰσχύει τὰ δ.;...οἱ μάρτυρες ἐκχέουσιν αἷμα, οἱ ἁμαρτωλοὶ ἐκχέουσι δ. καὶ ἵνα μάθῃς ὅσην δύναμιν ἔχει τὰ δ., ἡ πόρνη μὴ αἷμα ἐξέχεεν; οὐ πηγὴν δακρύων ἐξέχεε, καὶ ἐξήλειψε τὰ ἁμαρτήματα;...ὁ Πέτρος, οὐκ ἠρνήσατο τὸν Χριστόν...; οὐ πηγὰς δ. ἐξέχεε...καὶ ἀπεσμήξατο αὐτοῦ τὸ ἁμάρτημα; ‡Chrys.*hom.3.5 in Ps.* 50(5.589B,C); Ant.Mon.*hom.*107(M.89.1761B–D); ἀναιρετικὸν...τὸ δ. τὸ ἀγνὸν παντὸς φαινομένου, καὶ νοουμένου ῥύπου Jo.Clim.*scal.*7(M.

88.808B); *ib.*(808D); **3.** tears identified with repentance, Clem. *paed.*2.8(p.194.20; M.8.465C); *εἰ μὲν οὐ μεταγνόντας, δικαίως* [sc. Novatian treated sinners]*...εἰ δὲ τοὺς ἐκτακέντας τοῖς δ., οὐ μιμήσομαι* Gr.Naz.*or.*39.19(M.36.357B); **4.** danger of pride in tears Evagr. Pont.*or.*7(1169A); *μὴ ἐπαρθῶμεν ἐν τῇ προσευχῇ ἡμῶν ἐκχέοντες δ. οὐ γὰρ ἐξ ἡμῶν τὰ δ., ἀλλ' ἐκ τῆς ἐπιχορηγούσης χάριτος* Ant.Mon. *hom.*104(M.89.1748C); *ὁ ἐπὶ τοῖς ἑαυτοῦ δ. ψυχικῶς φυσιούμενος, καὶ τοὺς μὴ δακρύοντας κατακρίνων, ὁμοιός ἐστι τῷ ὄπλον κατὰ τοῦ ἑαυτοῦ ἐχθροῦ...αἰτησαμένῳ, ἑαυτὸν δὲ ἐν τούτῳ διαχειρησαμένῳ* Jo.Clim.*scal.*7(M.88.809B); to be judged by pain they express, *ib.* (805C); **5.** discussion of inability to shed physical tears *τί ποιήσω, ὅτι ἐπιθυμῶ τοῦ...πενθῆσαι ἐπὶ ταῖς ἁμαρτίαις μου...καὶ οὐκ ἔρχεται εἰς ὀφθαλμόν μου δ.;...πρὸς ὅπερ φημί, ὅτι ὠφέλιμόν ἐστι τὸ ὅλως ἐπιθυμεῖν δακρύων...ἔστι δὲ καὶ κατασκευὴ ἔν τισιν ἀνθρώποις φυσική, εὐχερῶς δ. μὴ παρέχουσα. τί οὖν χρὴ δακρύων ἐπιθυμοῦντα; λέξω σοι. ἐὰν μὴ δύνῃ διὰ τῶν ὀφθαλμῶν τῶν φαινομένων δακρῦσαι, ποίησον τὴν διάνοιάν σου, ὥσπερ καθ' ὕπνον κλαίουσαν πολλάκις τεθέασαι, οὕτως καὶ γρηγοροῦσαν, ἐνώπιον τοῦ θεοῦ...τῇ ἐνθυμήσει,...ἐκχέον δ. ... συνεχῶς γὰρ...καὶ πυκνὰ τὴν καρδίαν κεντοῦντες τῇ μνήμῃ τῶν τοῦ θεοῦ θαυμάτων, παρεσκεύασαν ἔξωθεν ἀπὸ ἔσω βλύσαι ἀπὸ λιθίνων ὀφθαλμῶν τὸ τῶν δ. νᾶμα* Nil.*epp.*3.257(M.79.512A–513A).

D. tears and baptism *τοῖς δ. βαπτιζόμενος ἐκ δευτέρου* Clem.*q.d.s.* 42(p.190.11; M.9.649C); *οἶδα καὶ πέμπτον* [sc. *βάπτισμα*] *ἔτι, τὸ τῶν δ.· ἀλλ' ἐπιπονώτερον, ὡς ὁ λούων καθ' ἑκάστην νύκτα τὴν κλίνην αὐτοῦ...τοῖς δ.* Gr.Naz.*or.*39.17(M.36.356A); *δεύτερον β. διὰ τῶν δ.* Chrys.*poenit.*3.4(2.301A); *μείζων τοῦ βαπτίσματος μετὰ τὸ βάπτισμα τῶν δ. πηγὴ καθέστηκεν, εἰ καὶ τολμηρόν ἐστί πως τὸ λεγόμενον· διότι ἐκεῖνο μὲν τῶν προγεγονότων ἐν ἡμῖν κακῶν ἐστι καθαρτήριον· τοῦτο δὲ τῶν μεταγεγονότων...καθαρτήριον* Jo.Clim.*scal.*7(M.88. 804A); *ὥσπερ γὰρ διὰ τοῦ ἐν τῷ βαπτίσματι ὕδατος ἀναγεννώμεθα, οὕτω διὰ δ. καὶ κατανύξεως ἀναβαπτιζόμενοι καθαιρόμεθα. πλήν, οὔτε τὸ βάπτισμα, οὔτε ἡ τῶν δ. κατάνυξις, ἄνευ τοῦ ἁγίου δίδοται πνεύματος. καὶ μὴ θαυμάσῃς· τὴν χάριν γὰρ ἣν ἐν τῷ βαπτίσματι νήπιοι βαπτιζόμενοι λαμβάνομεν, ταύτην ἀπολλύντες διὰ ῥᾳθυμίας... διὰ μετανοίας, καὶ τῆς τῶν δ. πηγῆς ἀπολαμβάνομεν* Anast.S.*Ps.*6(M. 89.1129C).

E. tears and prayer *τίς γὰρ οὐκ ἐπίσταται ὑμῶν, ὅτι μάλιστα μὲν ἡ μετὰ οἴκτου καὶ δ. εὐχὴ μειλίσσεται τὸν θεόν;* Just.*dial.*90.5(M.6. 692A); Ath.*virg.*16(p.51.12; M.28.272A); Bas.*ep.*45.1(3.134A; M.32. 368A); *κέχρησο τοῖς δ. πρὸς παντὸς αἰτήματος κατόρθωσιν· λίαν γὰρ χαίρει σου ὁ δεσπότης ἐν δ. προσευχὴν δεχόμενος* Evagr.Pont.*or.*6 (M.79.1169A); *τὸ φυτὸν τῆς εὐχῆς αἱ πηγαὶ τῶν δ. ποτίζουσαι* Chrys. *Anna* 3.1(4.721E); *ἐν κατανύξει μένει διηνεκεῖ, πηγὰς συνεχεῖς ἀφιεὶς δ.,...οὐδὲν γὰρ οὕτως συγκολλᾷ καὶ ἑνοῖ τῷ θεῷ, ὡς τὰ τοιαῦτα δ.* id. *hom.*6.5 *in Mt.*(7.95A); Nil.*sent.*58(M.79.1245B) cit. s. *λουτήρ*; Bas. Sel.*v.Thecl.*2.28(M.85.613C); *χρὴ οὖν, πρὸ παντὸς αἰτήματος, κατόρθωσιν κεχρῆσθαι τοῖς δ. πάνυ γὰρ χαίρει ὁ δεσπότης ἡμῶν δεχόμενος προσευχὴν ἐν δ. μετὰ ταπεινῆς καρδίας...ὅθεν ὄντως ἔστιν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας ἐνσπειρόμενα διὰ τὴν ἐλπίδα τῆς τοῦ θερισμοῦ χαρᾶς* Ant.Mon.*hom.*107(M.89.1761B–D); *ib.*106(1757A).

F. gift of tears *οὐχ οἱ πολλοὶ ἔχουσι τὸ χάρισμα τῶν δ., ἀλλ' ὅσοι τὸν νοῦν ἔχουσιν ἄνω, ὅσοι τῶν γηΐνων ἐπιλανθάνονται, ὅσοι τῆς σαρκὸς πρόνοιαν οὐ ποιοῦσιν, οἵτινες οὐκ ἐπίστανται ὅλως, εἰ ἔνι κόσμος, οἵτινες ἐνέκρωσαν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· τούτοις μόνοις δίδοται πένθος δακρύων* Ath.*virg.*17(p.52.12; M.28.272C); Mac.Aeg.*hom.*15. 26(M.34.593B); *περὶ λήψεως δ. προσεύχου, ἵνα διὰ τοῦ πένθους μαλάξῃς τὴν ὑπάρχουσαν ἐν τῇ ψυχῇ σου ἀγριότητα* Evagr.Pont.*or.*5(M. 79.1168D).

G. exeg.; **1.** tears of Christ (Jo.11:35) *τὸ δ. αὐτοῦ, χαρὰ ἡμετέρα* Ath.*inc.et c.Ar.*5(M.26.992A); *κύριος...τὸ δ. προσήκατο, τὸ φυσικὸν τῇ σαρκὶ ἐπιγίνεσθαι σύμπτωμα συγχωρῶν. ὅπερ συμβαίνει, ὅταν τὰ κοῖλα τοῦ ἐγκεφάλου τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων πληρωθέντα, οἷον δι' ὀχετῶν τινων τῶν κατὰ τοὺς ὀφθαλμοὺς πόρων τοῦ ὑγροῦ τὸ βάρος ἀποσκευάζηται...εἶτα, οἶμαι, ὥσπερ τὸ νέφος εἰς ψεκάδα, οὕτως τὸ πάχος τῶν ἀτμῶν εἰς δ. διαλύεται* Bas.*hom.*4.5(2.29Df.; M.31. 228Df.); *ib.*(29A; M.228B) cit. s. *ἐμπαθής*; *μέτρα γὰρ ὥριζεν τῇ ἀνθρωπίνῃ φύσει μέχρι πόσου ἐπιστάζειν δεῖ τοῖς κειμένοις τὸ δ., καὶ μὴ πέρα τοῦ προσήκοντος ἐπὶ νεκρῶν πρὸς θρήνους ἐξάγεσθαι* Thdr. Mops.*Jo.*11:35(p.365.19; M.66.764D); Cyr.*Jo.*7(4.686A) cit. s. *δακρύω*; **2.** rel. of Mt.5:5 to Phil.4:4 *πῶς σύμφωνα ταῦτα, φασί, τῷ 'πάντοτε χαίρετε'; οὐδὲ γὰρ ἐκ τῶν αὐτῶν ἀρχῶν δ. τε καὶ χαρὰ τὴν γένεσιν ἔχουσι...πρὸς δὴ ταῦτα ἐροῦμεν, ὅτι...τὰ δ. τῶν ἁγίων διὰ τὴν πρὸς θεὸν ἀγάπην ἐγίγνοντο. ἀεὶ οὖν ἐνορῶντες τῷ ἀγαπητῷ, καὶ τὴν ἐκεῖθεν ἑαυτοῖς εὐφροσύνην συναύξοντες, τὰ περὶ τοὺς ὁμοδούλους ἑαυτῶν ᾠκονόμουν· πενθοῦντες τοὺς ἁμαρτάνοντας, ἐπανορθούμενοι αὐτοὺς διὰ τῶν δ. ... ὑπὲρ τῶν εἰς τὸν ἀδελφὸν δ., τῆς χαρᾶς τοῦ κυρίου καταξιούμενοι...κλαίειν οὖν μετὰ κλαιόντων συγχωρεῖ ὁ ἀπόστολος, ἐπειδὴ τὸ δ. τοῦτο οἱονεὶ σπέρμα...γίνεται τῆς αἰωνίου χαρᾶς* Bas.*hom.*4.4(2.28B; M.31.225B); *τὴν ἐκ τῶν δ. τούτων λέγων ἡδονήν. ὥσπερ γὰρ ἡ διὰ κόσμον χαρὰ λύπην ἔχει συγκεκληρωμένην, οὕτω τὰ κατὰ θεὸν δ. χαρὰν βλαστάνει διηνεκῆ καὶ ἀμάραντον* Chrys.*hom.*6.5 *in Mt.*(7.95B); **3.** exeg. Lc.7:37 *δ. δέ ἐσμεν οἱ ἁμαρτωλοὶ μετανενοηκότες* Clem. *paed.*2.8(p.194.28; M.8.468A).

H. tears of fallen angels, alleged Christian belief *οἵς* [sc. *ἀγγέλους*] *δὴ γενέσθαι κακοὺς καὶ κολάζεσθαι δεσμοῖς ὑποβληθέντας ἐν γῇ, ὅθεν καὶ τὰς θερμὰς πηγὰς εἶναι τὰ ἐκείνων δ.* Cels.ap.Or.*Cels.*5.52(p.56.9; M.11.1201C); refuted *'τὰς θερμὰς πηγὰς εἶναι τὰ ἐκείνων δ.', πρᾶγμα οὔτε λεγόμενον οὔτ' ἀκουόμενον ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ...οὐδὲ γὰρ ἀνόητος οὕτως τις ἦν, ἵνα σωματοποιήσῃ δ. παραπλήσια τοῖς τῶν ἀνθρώπων ἐν τοῖς καταβεβηκόσιν ἐξ οὐρανοῦ ἀγγέλοις...λεκτέον ὅτι οὐκ ἄν τις εἶπε τὰς θερμὰς πηγάς, ὧν αἱ πλεῖσται γλυκεῖαί εἰσι, δ. εἶναι τῶν ἀγγέλων, ἐπεὶ ἡ φύσις τῶν δ. ἐστὶν ἁλμυρά· εἰ μὴ ἄρα οἱ κατὰ τὸν Κέλσον ἄγγελοι γλυκέα δακρύουσιν* Or.*ib.*5.55(p.59.10ff.; 1269A).

***δακρυρρώς**, *tearfully*, Thdr.Stud.*epp.*1.3(M.99.917D).

δακρυσταγής, *tearful*, Meth.*symp.*11(p.136.9; M.18.212D).

***δακρυτικός**, *lamentable*, Ath.*apol.Const.*23(M.25.624B).

δακρύ-ω, *weep*; **1.** in gen., of pagan deities *~οντες θεοί* Clem. *prot.*4(p.43.16; M.8.152B); ref. Celsus' allegation of Christian belief that hot springs are caused by tears of fallen angels, v. *δάκρυον*; of weeping as denoting spiritual affliction *ἔστι καὶ ἔσω τὸ ~ειν V.Pach.Φ* 33(p.20.21); *δι' ὧν εἰς αἴσθησιν ὁ νοῦς ἔρχεται, καὶ βρίθει μὲν ~ουσα ἡ ψυχή ib.Λ* 20(p.145.26); **2.** of Christ as man *τίς δὲ χρεία ~ειν ὃ ἔμελλεν ἀνιστᾶν μετ' ὀλίγον; ἀλλ' ἐδάκρυσεν ὁ 'Ιησοῦς, ἵνα τὸ συμπαθὲς καὶ τὸ φιλάνθρωπον...ἡμῖν ὑποδείξῃ· ἐδάκρυσεν ὁ 'Ιησοῦς ἵνα τὸ κλαίειν μετὰ κλαιόντων ἔργῳ μᾶλλον ἢ λόγῳ διδάξῃ. ... ἐδάκρυσεν, οὐκ ἐπένθησεν, τὸ μὲν ἀδάκρυτον...ὡς...ἀπάνθρωπον παραιτούμενος, τὸ δὲ φιλοπενθὲς ὡς ἀγενὲς καὶ ἄνανδρον διωθούμενος· τάξιν δὲ ἐπιτιθεὶς τῇ συμπαθείᾳ ἐδάκρυσεν* †Hipp.*Laz.*(p.244.14; M.62.777); *οὕτως εἰδότες αὐτὸν ἄνθρωπον γενόμενον οὐκ ἀρνούμεθα τὰ περὶ αὐτοῦ ἀνθρωπίνως λεγόμενα οἷά ἐστι...τὸ δακρῦσαι* Ath.*ep.Serap.*2.8(M.26. 621B); ‡Ath.*serm.fid.*24(p.20; M.26.1277A); *ὅταν οὖν λέγηται...~ειν ...δέχεται παρ' ἡμῶν καὶ τῷ πατρὶ ἀναφέρει, πρεσβεύων ὑπὲρ ἡμῶν ἵνα ἐν αὐτῷ ἐξαφανισθῇ* ‡Ath.*Ar.*4.6(p.50.11; M.26.476B); *τάχα καὶ ~ει, ἵνα τὸ δάκρυον ἐπαινετὸν ἀπεργάσηται* Gr.Naz.*or.*37.2(M.36.284C); *~ει δὲ ὁ κύριος, ἑωρακὼς τὸν κατ' ἰδίαν εἰκόνα γεγονότα ἀνθρωπον κατεφθαρμένον, ἵνα τὸ ἡμῶν περιστείλῃ δάκρυον...~ει δὲ μόνον καὶ εὐθὺς ἐπέχει τὸ δάκρυον, ἵνα μὴ δόξῃ τις ὠμὸς...εἶναι, καὶ ἡμᾶς ἐπὶ τοῖς αὐτοῖς παιδεύων μὴ ἐπὶ πολὺ ἐκλύεσθαι ἐπὶ τοῖς τεθνηκόσι...διὰ τοῦτο οὖν συνεχώρησε τῇ ἰδίᾳ σαρκὶ κλαῦσαι ὀλίγον, καίπερ ὢν τῇ φύσει ἄδακρυς καὶ ἀπάσης ἀνεπίδεκτος λύπης ὅσον εἰς ἰδίαν φύσιν...ἐνόμιζον δὲ οἱ 'Ιουδαῖοι ὅτι διὰ τὸν θάνατον ἐδάκρυσε Λαζάρου, αὐτὸς δὲ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν κατελεῶν ἐδάκρυσεν...ὅτι πᾶσα ἡ ἀνθρωπότης γέγονεν ὑπὸ θάνατον δικαίως* Cyr.*Jo.*7(4.686A); v. *δάκρυον*.

δακρυώδης, **1.** *tearful*; of drunken men, Bas.*hom.*14.3(2.124E; M.31.449B); *δ. φωνάς* Isid.Pel.*epp.*1.191(M.78.305A); **2.** *sorrowful*, hence *repentant ἐν τῷ καιρῷ τῆς θεωρίας...δ. αὐτῷ* [sc. *τῷ νῷ*]*...ἐννοίας περιποιήσομεν* Diad.*perf.*68(p.84.6); *ib.*73(p.90.17); *ὅταν ἡ ψυχὴ ...δ. καὶ κάθυγρος...γένηται, ὁ...κύριος...ἐλήλυθε* Jo.Clim.*scal.*7(M.88. 805D).

δακτύλιος, **ὁ**, *ring*; **1.** signet ring as symbol of gifts of H. Ghost *τί γὰρ ἂν εἴη σφραγὶς ἢ δ. ἀλλ' ἢ τοῦ πνεύματος τὰ δῶρα, καὶ χάρις, καὶ εἰς υἱοθεσίαν ἀνάκλησις;* Job.Mon.*inc.*5(M.86.3320A); exeg. Lc.15:22 *δότε...δ. τὸ σημεῖον τῆς πίστεως τὸ κατὰ τοῦ διαβόλου* Tit.Bost.*fr.Lc.* 15:22[3](p.223); *ὅ τε περὶ τὴν χεῖρα δ., διὰ τῆς ἐν τῇ σφενδόνῃ γλυφῆς τὴν τῆς εἰκόνος ἐπανάληψιν ὑποσημαίνει* Gr.Nyss.*or.dom.*2(p.40.1; M.44. 1144D); **2.** *ring* or *staple* to secure a bolt, Cosm.Ind.*top.*5(M.88.204B).

***δακτυλοδεικνέω**, = (perh. f.l. for) *δακτυλοδεικτέω*, Ast.Am. *hom.*1(M.40.165D); Thdr.Stud.*antirrh.*3.1.31(M.99.404C).

B. of what is made in divine image and in what it consists; **1.** soul or rational part of man (prevalent conception of Alexandrian school), cf.*M.Apollon.*8; *εἰ. ... τοῦ θεοῦ ὁ λόγος αὐτοῦ...εἰ. δὲ τοῦ λόγου ὁ ἄνθρωπος ὁ ἀληθινός, ὁ νοῦς ὁ ἐν ἀνθρώπῳ, ὁ κατ' εἰκόνα τοῦ θεοῦ καὶ καθ' ὁμοίωσιν διὰ τοῦτο γεγενῆσθαι λεγόμενος* Clem.*prot.*10(p.71.24ff.; M.8.212C–213A); *εἰ. ... θεοῦ λόγος θεῖος...εἰ. δ' εἰκόνος ἀνθρώπινος νοῦς* id.*str.*5.14(p.388.14ff.; M.9.140A); *ib.*7.14(p.61.25; 520B); Eus.*Marcell.*2.3(p.49.7; M.24.805C); interpretation defended against pagan philosophers by stressing difference between *εἰκών* (Christ) and man created *κατ' εἰ.*: *ὁ Κέλσος, μὴ ἐνιδὼν τῇ διαφορᾷ τοῦ κατ' εἰ. θεοῦ καὶ τῆς εἰ. αὐτοῦ, ὅτι εἰ. μὲν τοῦ θεοῦ ὁ πρωτότοκος πάσης κτίσεώς ἐστιν ὁ αὐτολόγος...κατ' εἰ. δὲ τοῦ θεοῦ ὁ ἄνθρωπος πεποίηται,...ἀλλ' οὐδ' ἐπιστήσας* [sc. Celsus], *ἐν τίνι τῶν τοῦ ἀνθρώπου τὸ κατ' εἰ. τοῦ θεοῦ χαρακτηρίζεται,...φησὶ τὸ οὐδ' ἄνθρωπον ἐποίησεν εἰ. αὐτοῦ· οὐ γὰρ τοιόσδε ὁ θεὸς οὔτ' ἄλλῳ εἴδει οὐδενὶ ὅμοιος. οἷον δ' ἐστὶ τοῦ συνθέτου ἀνθρώπου τῷ χείρονι μέρει, λέγω δὲ τῷ σώματι, νομίζειν ἐνυπάρχειν τὸ κατ' εἰ. τοῦ θεοῦ, ὡς δ' ὁ Κέλσος ἐξείληφεν, αὐτὸ εἶναι τὸ κατ' εἰ. αὐτοῦ; εἰ γὰρ τὸ κατ' εἰ. τοῦ θεοῦ ἐν τῷ σώματί ἐστι μόνῳ, ἐστέρηται τὸ κρεῖττον, ἡ ψυχή, τοῦ κατ' εἰ. καὶ ἔστιν ἐν τῷ φθαρτῷ σώματι, ὅπερ οὐδεὶς ἡμῶν λέγει. εἰ δ' ἐστὶν ἐν τῷ συναμφοτέρῳ τὸ κατ' εἰ. τοῦ θεοῦ, ἀνάγκη σύνθετον εἶναι τὸν θεὸν...λείπεται δὴ τὸ κατ' εἰ. τοῦ θεοῦ ἐν τῷ καθ' ἡμᾶς λεγομένῳ ἔσω ἀνθρώπῳ καὶ ἀνακαινουμένῳ καὶ πεφυκότι γίνεσθαι κατ' εἰ. τοῦ κτίσαντος νοεῖσθαι* Or.*Cels.*6.63(p.133.7–134.5; M.11.1393B–1396A); cf.id.*hom.1.13 in Gen.*(p.15.9; M.12.155D); *ib.13.3*(p.118.17; 234A); *τῷ γηΐνῳ γὰρ τὴν ψυχὴν ἥνωσε* [sc. *ὁ θεός*] *τὴν κατ' εἰ. θεοῦ γεγενημένην* Meth.*res.*2.24(p.380.5; M.18.329C); *πῶς δὲ τό, κατ' εἰ. θεοῦ, νοητέον; οὐδέν τι σωματικὸν καὶ γήϊνον ἐννοήσασθαι χρή* ‡Bas.*struct.hom.*1.4(1.325F; M.30.13D); *νοερὰν ψυχὴν καὶ εἰ. θεοῦ οἶδεν ὁ λόγος* Gr.Naz.*or.*45.7(M.36.632A); vindicated esp. against Anthropomorphitae *ἔστι...ὁμολογουμένως κατ' εἰ. θεοῦ ἀ ἄνθρωπος, ἡ δὲ ὁμοιότης οὐ σωματική· ὁ γὰρ θεός ἐστιν ἀσώματος...τὸ δὲ κατ' εἰ. θεοῦ πεποιῆσθαι τὸν ἄνθρωπον, ἑτέρας ἐμφάσεις...ἔχει. μόνος γὰρ αὐτὸς παρὰ πάντα τὰ ἐπὶ γῆς ζῷα λογικός ἐστι...ἐπιτηδειότητα πρὸς πᾶσαν ἀρετὴν ἔχων, λαχὼν δὲ καὶ τὸ ἄρχειν ἁπάντων τῶν ἐπὶ τῆς γῆς καθ' ὁμοιότητα καὶ εἰ. θεοῦ. οὐκοῦν κατὰ τὸ εἶναι ζῷον λογικὸν...ἐν εἰ. θεοῦ πεποιῆσθαι λέγεται. εἰ δὲ νομίζουσι κατὰ τὸ τοῦ σώματος σχῆμα λέγεσθαι τὴν εἰ. οὐδὲν λυπεῖ καὶ τοῖς ἀλόγοις τῶν ζῴων σύμμορφον εἶναι τὸν θεόν* Cyr.*ep.Calos.*(6^{2}.364A–365A); Max.*ep.*6(M.91.429B); **2.** image impressed on whole human compound *πρὸς ἰδιότητα τῆς τελείας φύσεως δι' ἀμφοῖν ἀφιγμένῳ, ψυχῆς δὴ λέγω καὶ σώματος, καθάπερ καὶ σφραγῖδα τῆς ἑαυτοῦ φύσεως ἐνέπηξεν ὁ δημιουργὸς τὸ πνεῦμα ἅγιον, τουτέστι, τὴν πνοὴν τῆς ζωῆς, δι' ἧς πρὸς τὸ ἀρχέτυπον διεπλάττετο κάλλος, ἀπετελεῖτο δὲ κατ' εἰ. τοῦ κτίσαντος, πρὸς πᾶσαν ἰδέαν ἀρετῆς δυνάμει τοῦ ἐνοικισθέντος αὐτῷ διακρατούμενος πνεύματος* Cyr. *Jo.*9.1(4.822D,E); **3.** freedom from necessity as special characteristic; (view of Gr. Nyss., who places creation of man 'in image' before distinction of sexes), Gr.Nyss.*hom.opif.*16.3–7(M.44.180B–181A); *ἐπεὶ δὲ πολὺς τῶν καθ' ἕκαστον ἀγαθῶν ὁ κατάλογος...περιληπτικῇ φωνῇ ἅπαντα συλλαβὼν ὁ λόγος ἐσήμανεν, ἐν τῷ εἰπεῖν, κατ' εἰ. θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον...ἓν δὲ τῶν πάντων καὶ τὸ ἐλεύθερον ἀνάγκης εἶναι, καὶ μὴ ὑπεζεῦχθαί τινι φυσικῇ δυναστείᾳ· ἀλλ' αὐτεξούσιον πρὸς τὸ δοκοῦν ἔχειν τὴν γνώμην ib.*16.10(184B); *εἰ. ἦν καὶ ὁμοίωμα... τῆς πάντων τῶν ὄντων βασιλευούσης δυνάμεως. καὶ διὰ τοῦτο καὶ ἐν τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως πρὸς τὸν ἐξουσιάζοντα πάντων εἶχε τὴν ὁμοιότητα, οὐδεμιᾷ τινι τῶν ἔξωθεν ἀνάγκῃ δεδουλωμένος* id.*virg.*12(p.298.10; M.46.369C); *αὐτοπροαίρετος ὤν, καὶ τὰς τῶν ἰδίων θελημάτων πεπιστευμένος ἡνίας· μοῖρα γὰρ τῆς εἰ. καὶ αὐτή, κατεξουσιάζει γὰρ τῶν οἰκείων θελημάτων θεός* Cyr.*Jo.*9.1(4.822E); **4.** dominion over creation (emphasized esp. by Antiochene school) *ὅπου...ἡ τοῦ ἄρχειν δύναμις, ἐκεῖ ἡ τοῦ θεοῦ εἰ.* ‡Bas.*struct.hom.*1.8(1.328D; M.30.20C); *τινὲς κατ' εἰ. θεοῦ τὸν ἄνθρωπον ἐνόμισαν κατὰ τὸ τῆς ψυχῆς ἀόρατον. καὶ οὐ συνῆκαν, ὅτι καὶ ἄγγελος ἀόρατος, καὶ δαίμων ἀόρατος...πῶς οὖν θεοῦ εἰ. ὁ ἄνθρωπος; κατὰ τὸ ἀρχικόν* Diod.*Gen.* 1:26(M.33.1564C,D); *ἐμάθετε τί ἐστι τό, κατ' εἰ., ὅτι οὐκ οὐσίας ἐστὶν ἀξία, ἀλλ' ἀρχῆς ὁμοιότης, καὶ ὅτι οὐ κατὰ τὴν τῆς μορφῆς εἰ. εἶπεν, ἀλλὰ κατὰ τὸν τῆς ἀρχῆς λόγον, διὸ καὶ ἐπήγαγε· καὶ ἀρχέτωσαν τῶν ἰχθύων κτλ.* Chrys.*hom.*9.2 *in Gen.*(4.67A,B); *ποιήσωμεν ἄνθρωπον κατ' εἰ. ἡμετέραν καὶ ὁμοίωσιν, τοῦτ' ἔστιν, ἵνα ἄρχων ᾖ καὶ τῶν ὁρωμένων ἁπάντων καὶ τῶν ἐν αὐτῷ τικτομένων παθῶν· ἵνα ἄρχῃ, καὶ μὴ ἄρχηται ib.23.5*(212D); refutation of other views in favour of this, Thdt.*qu.20 in Gen.*(1.24–27); on this view is based idea that woman was not made in image *τί δή ποτε οὖν ὁ Παῦλος τὸν μὲν ἄνδρα εἰ. τοῦ θεοῦ λέγει, οὐκ ἔτι δὲ καὶ τὴν γυναῖκα, εἴπερ κατὰ τὸν τῆς ψυχῆς λόγον εἰ. θεοῦ ὁ ἄνθρωπος; λέγει γάρ, ἀνὴρ...εἰ. καὶ δόξα θεοῦ ὑπάρχων, οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. εἰ τοίνυν εἰ. θεοῦ ὁ μὴ ὀφείλων καλύπτεσθαι τὴν κεφαλήν, δῆλον ὅτι καλυπτομένη οὐκ εἰ. θεοῦ, τῆς αὐτῆς ψυχῆς ὑπάρχουσα. πῶς οὖν θεοῦ εἰ. ὁ ἄνθρωπος; κατὰ τὸ ἀρχικόν* Diod.*Gen.* 1:26(1564C,D); **5.** (connected with 4) man, as microcosm, sums up all creation in himself *ὥσπερ...βασιλεὺς πόλιν τινὰ μεγίστην κατασκευάσας...μετὰ τὴν ἁπάντων ἐκπλήρωσιν, κελεύσειεν εἰ. αὐτοῦ γενομένην μεγίστην τινά, ἐν μέσῳ πάσης ἑστάναι τῆς πόλεως, εἰς ἔλεγχον τοῦ τῆς πόλεως αἰτίου...οὕτω καὶ ὁ τῆς κτίσεως δημιουργὸς πεποίηκε μὲν πάντα τὸν κόσμον,...τελευταῖον δὲ τὸν ἄνθρωπον ἐν τάξει παρήγαγεν εἰ. οἰκείας, ὡς ἂν ἅπασα ἡ κτίσις τῇ τοῦ ἀνθρώπου χρείᾳ φαίνηται συνδουμένη* Thdr.Mops.ap.Thdt.*qu.20 in Gen.*(1.29,30); *καὶ τὸ μέν, κατ' εἰ., ταύτην ἔχει τὴν ἔννοιαν, ὅτι ὁ ἄνθρωπος καὶ μόνος, ὡς πάντα ἔχων ἐν ἑαυτῷ ὁρατά τε καὶ ἀόρατα, νοητά τε καὶ αἰσθητά...δεικνύει ἕνα τινὰ δημιουργὸν πάντων τῶν ὄντων εἶναι τὸν θεόν· καὶ κατὰ τοῦτο εἰ. ἐστι τοῦ θεοῦ, διὰ τὸ γνωρίζειν αὐτὸν ἕνα τοῦ παντὸς εἶναι δημιουργόν...διαρρήδην τὸν ἄνθρωπον εἰς δόξαν θεοῦ γεγενῆσθαι φήσας, καὶ κατὰ τοῦτο εἰ. καλέσας, ὡς μόνος ὁ ἄνθρωπος δυνάμενος γνωρίσαι ἕνα εἶναι τοῦ παντὸς τὸν θεὸν δημιουργόν* Cosm.Ind.*top.*5(M.88.309B,C); **6.** other views; **a.** immortality and indwelling of H. Ghost *λόγος γὰρ ὁ ἐπουράνιος πνεῦμα γεγονὼς ἀπὸ τοῦ πνεύματος καὶ λόγος ἐκ λογικῆς δυνάμεως, κατὰ τὴν τοῦ γεννήσαντος αὐτὸν πατρὸς μίμησιν εἰκόνα τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐποίησεν, ἵν', ὥσπερ ἡ ἀφθαρσία παρὰ τῷ θεῷ, τὸν αὐτὸν τρόπον θεοῦ μοίρας ἄνθρωπος μεταλαβὼν ἔχῃ καὶ τὸ ἀθάνατον* Tat.*orat.*7(p.7.8; M.6.820B); *μόνος δὲ ὁ ἄνθρωπος εἰ. καὶ ὁμοίωσις τοῦ θεοῦ...ἄσαρκος μὲν οὖν ὁ τέλειος θεός, ἄνθρωπος δὲ*

σάρξ· δεσμὸς δὲ τῆς σαρκὸς ψυχή, σχετικὴ δὲ τῆς ψυχῆς ἡ σάρξ. τὸ δὲ τοιοῦτον τῆς συστάσεως εἶδος εἰ μὲν ὡς ναὸς εἴη, κατοικεῖν ἐν αὐτῷ θεὸς βούλεται διὰ τοῦ προσβεύοντος πνεύματος *ib.*15(p.16.13; 837A,B); ἡ ἔνδοθεν ἡμῶν ψυχὴ τὴν αὐτοῦ εἰ. πρὸς ἀθανασίαν ἡμφίεσται *Hom. Clem.*16.10; cf. ἀθάνατος; **b.** Word and Wisdom ἵνα δὲ μὴ μόνον ὑπάρχῃ τὰ γενόμενα, ἀλλὰ καὶ καλῶς ὑπάρχῃ, ηὐδόκησεν ὁ θεὸς συγκαταβῆναι τὴν ἑαυτοῦ σοφίαν τοῖς κτίσμασιν· ὥστε τύπον τινὰ καὶ φαντασίαν εἶ. αὐτῆς ἐν πᾶσι...ἐνθεῖναι, ἵνα καὶ σοφὰ τὰ γενόμενα, καὶ ἄξια τοῦ θεοῦ ἔργα δείκνυται. ὡς γὰρ λόγου ὄντος τοῦ υἱοῦ τοῦ θεοῦ εἶ. ἐστιν ὁ ἡμέτερος λόγος, οὕτως...αὐτοῦ σοφίας εἰ. πάλιν ἐστὶν ἡ ἐν ἡμῖν γενομένη σοφία Ath.*Ar.*2.78(M.26.312B,C); **c.** connected with procreation of children κατὰ τοῦτο εἶ. ὁ ἄνθρωπος γίνεται τοῦ θεοῦ, καθὸ εἰς γένεσιν ἀνθρώπου ἄνθρωπος συνεργεῖ Clem.*paed.*2.10(p.208.10; M.8.497B); Meth.*symp.*2.1(p.16.2; M.18.48D); **d.** multiplicity of images οὐ μίαν τινὰ εἶ. καὶ ὁμοίωσιν κέκτηται, ἀλλὰ καὶ δευτέραν, καὶ τρίτην, καὶ τετάρτην, καὶ πέμπτην. ἐξεικονίζων ὥσπερ ἐν ἐσόπτρῳ τινὶ καὶ σκιαγραφίᾳ φυσικῇ, οὐ τυπικῇ, τῆς τρισυποστάτου θεότητος τὸ μυστήριον· οὐ μόνον, ἀλλὰ καὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς αὐτῆς τριάδος θεοῦ λόγου σαφῶς προδιαγράφων· καὶ τάχα κατ' εἶ. μὲν ἔστι γυμνὴ ἡ ψυχή, τῆς γυμνῆς θεότητος· καθ' ὁμοίωσιν δὲ τῆς τοῦ λόγου σαρκώσεως τὸ σύνθετον ἡμῶν τῆς ψυχῆς καὶ τοῦ σώματος ‡Anast.S.*serm.imag.*1(M.89.1144D–1145A); ἔχει σου καὶ ἕτερον κατ' εἶ. θεοῦ ἡ ψυχή. λέγω δὴ τὸ ἑτεροούσιον αὐτὴν εἶναι πάσης κτιστῆς φύσεως *ib.*(1148A)∞(M.44.1332C); **7.** summary ὥστε...φιλονεικότερον ἐν τούτῳ διακείμενοι ἐκτὸς...βαίνουσι τῆς κατὰ τὴν ἐκκλησιαστικὴν ὑπόθεσιν παραδόσεως, τῆς πιστευούσης κατ' εἶ. μὲν εἶναι πάντα ἄνθρωπον, μὴ ὁρίζειν δὲ...ἐν ποίῳ τέτακται τὸ κατ' εἶ. ... οἱ μὲν γὰρ λέγουσιν ἐν τῇ ψυχῇ πληροῦσθαι τὸ κατ' εἶ.,...ἄλλοι δὲ λέγουσιν οὔτε ἐν ψυχῇ οὔτε ἐν σώματι, ἀλλὰ ἀρετὴν εἶναι τὸ κατ' εἶ. ἕτεροι δὲ φάσκουσι μὴ εἶναι τὴν ἀρετήν, ἀλλὰ τὸ βάπτισμα καὶ τὸ χάρισμα τὸ ἐν τῷ βαπτίσματι...ἄλλοι δὲ πάλιν τοῦτο οὐ βούλονται, ἀλλὰ θέλουσι λέγειν τότε μὲν εἶναι τὸ κατ' εἶ. ἐν τῷ Ἀδάμ, ἕως ὅτε ἐν παρακοῇ γέγονε καὶ... ἀπώλεσε τὸ κατ' εἶ. καὶ πολλή τίς ἐστι τῶν ἀνθρώπων μυθοποιία, οἷς οὐ χρή...τοῖς οὔτω ἢ οὕτω λέγουσιν, ἀλλ' εἶναι μὲν πιστεύειν ἐν τῷ ἀνθρώπῳ τὸ κατ' εἶ. ... ποῦ δέ ἐστιν ἢ ποῦ πεπλήρωται τὸ κατ' εἶ., αὐτῷ μόνῳ ἔγνωσται τῷ θεῷ τῷ κατὰ χάριν τῷ ἀνθρώπῳ δωρησαμένῳ τὸ κατ' εἶ. Epiph.*haer.*70.3(p.235.3–22; M.42.341D–344A); κατὰ πόσους τρόπους λέγεται τό, κατ' εἶ.; κατὰ τὸ λογικόν, καὶ νοερόν, καὶ αὐτεξούσιον, κατὰ τὸ γεννᾷν τὸν νοῦν λόγον, καὶ προβάλλειν πνεῦμα· κατὰ τὸ ἀρχικὸν Jo.D.*volunt.*30(M.95.168B).

C. image and original sin, v. Ἀδάμ; **1.** image lost through Fall and restored by Christ; **a.** its loss ὁ μὲν κατ' εἶ. τοῦ θεοῦ γεγονὼς χωρισθέντος ἀπ' αὐτοῦ τοῦ πνεύματος...θνητὸς γίνεται Tat. *orat.*7(p.7.29; M.6.821A); Mac.Aeg.*hom.*12.1(M.34.557A); ὁ ἄνθρωπος κατ' εἶ. θεοῦ ἐγένετο καὶ ὁμοίωσιν· ἡ δὲ ἁμαρτία τὸ κάλλος τῆς εἶ. ἠχρείωσεν, εἰς τὰς ἐμπαθεῖς ἐπιθυμίας τὴν ψυχὴν καθέλκουσα Bas. *ascet.*1.1(2.318D; M.31.869D); Gr.Nyss.*virg.*12(p.299.29; M.46.372B); **b.** its restoration, necessary οὐκ ἔδει δὲ τὰ ἅπαξ κοινωνήσαντα τῆς τοῦ θεοῦ εἶ. ἀπολέσθαι Ath.*inc.*13.6(M.25.120B); through Christ ὡς γὰρ τῆς γραφείσης ἐν ξύλῳ μορφῆς παραφανισθείσης ἐκ τῶν ἔξωθεν ῥύπων, πάλιν χρεία τοῦτον παραγενέσθαι, οὗ καὶ ἔστιν ἡ μορφή, ἵνα ἀνακαινισθῆναι ἡ εἶ. δυνηθῇ ἐν τῇ αὐτῇ ὕλῃ—διὰ γὰρ τὴν ἐκείνου γραφὴν καὶ αὐτὴ ἡ ὕλη ἐν ᾗ καὶ γέγραπται, οὐκ ἐκβάλλεται, ἀλλ' ἐν αὐτῇ ἀνατυποῦται—κατὰ τοῦτο καὶ ὁ...υἱός, εἰ. ὢν τοῦ πατρός, παρεγένετο ἐπὶ τοὺς ἡμετέρους τόπους, ἵνα τὸν κατ' αὐτὸν πεποιημένον ἄνθρωπον ἀνακαινίσῃ *ib.*14.1,2(120C); ‡Ath.*Apoll.*1.5(M.26.1101A); Gr.Naz.*or.* 7.23(M.35.785C) cit. s. ἀνασώζω; Gr.Nyss.*or.dom.*1(p.10.33; M.44. 1125B); id.*virg.*12(p.301.18; M.46.373C); Cyr.*dial.Trin.*7(5¹.638E); *Lit.Jac.*(p.200.22); through H. Ghost ἀναπλάττεσθαι...εἰς εἶ. τὴν πρώτην τὴν ἀνθρώπου φύσιν...διὰ μετουσίας τοῦ πνεύματος Cyr.*Jo.* 11.10(4.988B); action of Trin. in restoring image τοῦ σωτῆρος... ἡμᾶς ἀνακομίζοντος εἰς τὸ τῆς εἶ. ἀρχέτυπον, τουτέστι, τὸν χαρακτῆρα τοῦ πατρός. χαρακτὴρ...ὁ ἀληθινός...αὐτός ἐστιν ὁ υἱός· ὁμοίωσις... φυσικὴ τοῦ υἱοῦ, τὸ πνεῦμά ἐστι, πρὸς ὃ καὶ ἡμεῖς μορφούμενοι δι' ἁγιασμοῦ, πρὸς αὐτὴν εἰδοποιούμεθα τὴν θεοῦ μορφήν id.*dial.Trin.* 7(5¹.639B); through baptism ἀνιόντες [sc. from font]...τὴν γεγραμμένην εἶ. καὶ ὁμοίωσιν τοῦ θεοῦ ἀπολαμβάνομεν, ἣν ἐδεξάμεθα διὰ τοῦ θεϊκοῦ ἐμφυσήματος, καὶ ἀπωλέσαμεν διὰ τοῦ ἁμαρτήματος Didym.*Trin.*2.12(M.39.680A); Didym.(‡Bas.)*Eun.*5(1.303A; M.29. 725D); διπλῆν ἡμῖν ἔδωκε καὶ τὴν κάθαρσιν, δι' ὕδατός τε καὶ πνεύματος· τοῦ μὲν πνεύματος, τὸ κατ' εἶ. καὶ ὁμοίωσιν ἐν ἡμῖν ἀνακαινίζοντος, τοῦ δὲ ὕδατος, διὰ τῆς τοῦ πνεύματος χάριτος καθαίροντος τὸ σῶμα τῆς ἁμαρτίας Jo.D.*f.o.*4.9(M.94.1121A); ἐνοικεῖ τοῦ... πνεύματος ἡ χάρις τῇ τοῦ βαπτισθέντος ψυχῇ...τὸ κατ' εἶ. καὶ καθ' ὁμοίωσιν αὐτῇ ἀνακαινίζουσα †Jo.D.*B.J.*8(M.96.920B); by repentance ἐν τῇ δεξιᾷ τοῦ θεοῦ γίνεται πᾶς ὁ τὸ κατ' εἶ. διὰ μετανοίας ἀναλαμβάνων Or.*fr.14 in Jer.*(p.205.1; M.13.569C); **2.** image never lost οὔτε γὰρ ἀπώλεσεν ὁ ἄνθρωπος τὸ κατ' εἶ., ἀλλ' εἰ ἄρα ἐχυδαίωσε τὸ κατ' εἶ., μολύνας ἑαυτὸν ἐν ἀδιαφόροις πράγμασι καὶ ἀνηκέστοις ἁμαρτίαις. ἰδοὺ γὰρ μετὰ τὸν Ἀδὰμ τῷ Νῶε λέγει...πᾶς ὁ ἐκχέων αἷμα ἀνθρώπου...ἐκχυθήσεται τὸ αἷμα αὐτοῦ, ὅτι ἐν εἶ. θεοῦ ἐποίησα τὸν ἄνθρωπον....καὶ ὁρᾷς ὅτι ἐν τῷ ἀνθρώπῳ λέγεται τὸ κατ' εἶ. μετὰ δεκάτην γενεὰν τοῦ τὸν Ἀδὰμ πλασθῆναι; ἅμα δὲ καὶ Δαυὶδ μετὰ πολὺν χρόνον λέγει...ἐν εἶ. διαπορεύεται ἄνθρωπος...καὶ ὅρα ὅτι ἐξέπεσεν ὁ λόγος τῶν λεγόντων τὸν Ἀδὰμ τὸ κατ' εἶ. ἀπολωλεκέναι Epiph.*haer.*70.3(pp.235.24–236.9; M.42.344B–D); Anast.S.*serm.imag.* 3(M.89.1169C); but only hidden διὰ δὲ τῆς ζητουμένης δραχμῆς τὴν εἶ. ... τοῦ βασιλέως αἰνίσσεται, τὴν οὐχὶ παντελῶς ἀπολλυμένην, ἀλλὰ ὑποκεκρυμμένην τῇ κάπρῳ. κάπρον δὲ χρὴ νοεῖν...τὴν τῆς σαρκὸς ῥυπαρίαν. ἧς...ἀνακαθαρθείσης διὰ τῆς ἐπιμελείας τοῦ βίου, ἔκδηλον τὸ ζητούμενον γίνεσθαι Gr.Nyss.*virg.*12(p.301.8; M.46.373A); cf. δραχμή; **3.** solution of difficulty by distn. between εἶ. and ὁμοίωσις, latter being lost, former retained; **a.** distn. between εἶ. as constituent of humanity, and ὁμοίωσις as implying spiritual perfection, cf. *cum autem Spiritus hic commistus animae unitur plasmati; propter effusionem Spiritus, spiritualis et perfectus homo factus est: et hic est qui secundum imaginem et similitudinem factus est dei. si autem defuerit animae spiritus, animalis est vere, qui est talis, et carnalis derelictus imperfectus erit; imaginem quidem habens in plasmate, similitudinem vero non assumens per Spiritum,* Iren.*haer.*5.6.1(M.7. 1137C–1138A); but cf.Clem.*exc.Thdot.*54.2(p.125.1; M.9.685A); τινὲς τῶν ἡμετέρων τὸ μὲν κατ' εἶ. εὐθέως κατὰ τὴν γένεσιν εἰληφέναι τὸν ἄνθρωπον, τὸ καθ' ὁμοίωσιν δὲ ὕστερον κατὰ τὴν τελείωσιν μέλλειν ἀπολαμβάνειν ἐκδέχονται id.*str.*2.22(p.185.26; M.8.1080C); *ib.*4.6 (p.261.15ff.; 1241B); ‡Ath.*qu.script.*55(M.28.733B,C); ὥσπερ εἰ. εἶπε τὴν τῆς ἀρχῆς δηλῶν εἶ., οὕτω καὶ ὁμοίωσιν, ὥστε κατὰ δύναμιν ἀνθρωπίνην ὁμοίους ἡμᾶς γίνεσθαι θεῷ, κατὰ τὸ ἡμέτερον λέγω καὶ πρᾶον ἐξομοιοῦσθαι αὐτῷ Chrys.*hom.9.3 in Gen.*(4.67C); τὸ μὲν γὰρ κατ' εἶ., τὸ νοερὸν δηλοῖ καὶ αὐτεξούσιον· τὸ δὲ καθ' ὁμοίωσιν, τὴν τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν ὁμοίωσιν Jo.D.*f.o.*2.12(M.94.920B); **b.** hence εἶ. in contrast to ὁμοίωσις is linked up with man's creation ἡ βουλὴ [sc. θεοῦ] δύο εἶχε, κατ' εἶ., καὶ καθ' ὁμοίωσιν· ἡ δημιουργία τὸ ἓν ἔχει μόνον, τὸ κατ' εἶ. ‡Bas.*struct.hom.*1.19(1.332D; M.30.29A); ‡Gr.Nyss. *hom.1 in Gen.1*:26(M.44.273A); **c.** and consequently cannot be lost τὸ...κατ' εἶ. φύσει δέδοται ἡμῖν· καὶ ἀμετάβλητον ἐξ ἀρχῆς καὶ εἰς τὸ τέλος συμπάρεστι· τὸ δὲ καθ' ὁμοίωσιν, ἐκ προαιρέσεως, καὶ οἴκοθεν κατορθοῦμεν ὕστερον ‡Bas.*struct.hom.*1.20(1.333A,B; M.30.29C,D); cf. ἄνθρωπον, εἰ. περιφέροντα θεοῦ, εἰ καὶ τὴν ὁμοιότητα ἀπώλεσεν *Hom. Clem.*10.7 (but acc. this work εἶ. resides in body πρόσιτε τῷ θεῷ... οἵ τινες ἔχετε αὐτοῦ ἐν μὲν τῷ σώματι τὴν εἶ., ὁμοίως τε ἔχετε ἐν τῷ νῷ τῆς γνώμης τὴν ὁμοιότητα *ib.*10.6); cf.*Clem.recogn.*5.15(M.1. 1336D); **4.** double image in man, cf.1Cor.15:49; **a.** which image is realized depends on conduct εἰ...ἐπιλαθόμενοι τῆς ἐν ἡμῖν κρείττονος οὐσίας ὑποτάξομεν ἑαυτοὺς τῷ ἀπὸ τοῦ χοῦ πλάσματι, καὶ τὸ κρεῖττον τὴν εἶ. τοῦ χοϊκοῦ λήψεται· εἰ δὲ συνέντες τὸ ποιηθὲν κατ' εἶ. καὶ τὸ ληφθὲν ἀπὸ τοῦ χοῦ τῆς γῆς, ὅλοι προσνεύοιμεν ἐπὶ τοῦτον, οὗ κατ' εἶ. γεγόναμεν Or.*Jo.*20.22(20; p.355.13; M.14.621B); *ib.*2.5(4; p.59.30f.; 117C); τὴν εἶ. τοῦ χοϊκοῦ φέροντος ἀνθρώπου, λέγω δὴ τοῦ φιλοσωμάτου καὶ τοῦ κατὰ σάρκα ζῶντος Eus.*Is.*40:6(M.24.368B); Didym.*Ps.*38:7f.(M.39.1349C); εἰκόνα χοϊκοῦ λέγει τὴν ἀναστροφὴν τὴν χοϊκήν, εἶ. ἐπουρανίου τὴν ἐπουράνιον πολιτείαν, ἀντὶ τοῦ ἐμιμησάμεθα τὴν παρακοὴν τοῦ Ἀδάμ, μιμησώμεθα καὶ τοῦ υἱοῦ τοῦ θεοῦ τὴν ὑπακοὴν ὑπακούσαντες Sever.*1Cor.*15:47ff.(p.276.28ff.); Chrys.*hom. 42.1 in 1Cor.*(10.395B); Cyr.*inc.unigen.*(5¹.692A); **b.** interpreted of state of man before and after resurrection of body, Thdr.Mops. *1Cor.*15:48f.(p.195.23); **c.** man by sinning becomes 'image of devil', Or.*Jo.*20.22(20; p.355.3; M.14.621A); **d.** universality of double image ἡ ψυχὴ οὐ τοῦ πρώτου μόνου γέγονε κατ' εἶ., ἀλλὰ παντὸς ἀνθρώπου...καὶ ἔστι πρεσβύτερον ὥσπερ ἐν τῷ Ἀδὰμ ἐκεῖνο ὃ οἱ πολλοὶ νοοῦσι τὸ κατ' εἶ. τοῦ προσειλημμένου αὐτῷ, ὅτε ἐφόρεσε διὰ τὴν ἁμαρτίαν τὴν εἶ. τοῦ χοϊκοῦ, οὕτως ἐν πᾶσι πρεσβύτερον τὸ κατ' εἶ. θεοῦ τῆς εἶ. τῆς χείρονος. ἐφορέσαμεν ἁμαρτωλοὶ ὄντες τὴν εἶ. τοῦ χοϊκοῦ, φορέσωμεν μετανοοῦντες τὴν εἶ. τοῦ ἐπουρανίου. πλὴν ἡ κτίσις γέγονεν ἐν εἶ. τοῦ ἐπουρανίου id.*hom.2.1 in Jer.*(p.17.8–16; M.13.277B,C); Cyr.*Jo.*11.11(4.995B,C).

D. image in spiritual life (in more strictly spiritual contexts εἶ. in soul is considered the meeting place between God and man, and hence freq. equated with those qualities that made man apt to be united to God); **1.** presence in soul presupposes practice of virtue τῷ γὰρ ὄντι εἶ. τοῦ θεοῦ ἄνθρωπος εὐεργετῶν, ἐν ᾧ καὶ αὐτὸς εὐεργετεῖται Clem.*str.*2.19(p.169.2; M.8.1045B); σωτήριος γάρ τις ὁ τῷ σωτῆρι ἐξομοιούμενος, εἰς ὅσον ἀνθρωπίνη φύσει χωρῆσαι τὴν εἶ. θέμις,

ἀπαραβάτως τὰ κατὰ τὰς ἐντολὰς κατορθῶν *ib.*6.9(p.470.10; M.9.297B); cf. *ipsi animae tuae deus imaginem suam et similitudinem commendavit. istud ergo depositum tam integrum tibi restituendum est quam a te constat esse susceptum. si enim sis misericors... imago dei in te est et integrum depositum servas. ... similiter et cetera omnia, si pius, si justus es, si sanctus,...et omnia quae in deo praesto sunt per naturam si tibi per imitationem subsistant, depositum apud te divinae imaginis salvum est. si vero e contrario agas et pro misericorde crudelis, pro pio impius...abjecta imagine dei diaboli in te imaginem suscepisti et bonum depositum commendatum tibi divinitus abnegasti,* Or.*hom.*4.3 *in Lev.*(p.318.4ff.; M.12.436B–C); ‡Nil.*perist.*4(M.79.893A); ἔχουσι τοίνυν, φησίν [sc. Christ], οἱ τὸν σὸν...δεξάμενοι λόγον τὴν ἐμὴν ἐν ἑαυτοῖς διαλάμπουσαν εἰ., συμμορφοί τε τῷ σῷ γνησίῳ γεγόνασιν υἱῷ Cyr.*Jo.*11.9(4.983C); id.*dial.Trin.*1(5[1].393E); **2.** for only purified soul becomes image of God εἰ τοιούτων ἡ ψυχὴ κινημάτων [i.e. passions] ἐλευθέρα γένοιτο,...ἑαυτὴν ἀκριβῶς εἰδοῦσα, οἵα τῇ φύσει ἐστί, καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰ. διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα Gr.Nyss.*anim.et res.*(M.46.89C); γενώμεθα καθαροὶ τῇ καρδίᾳ, ἵνα γινώμεθα μακάριοι, τῆς θείας εἰ. ἐν ἡμῖν μορφωθείσης id.*beat.*6(M.44.1277A); Max.*ambig.*(M.91.1113B); **3.** hence image equated with various aspects of spiritual life; **a.** perfection, Clem.*str.*7.16(p.71.20; M.9.540B); πλησιάζουσι δὲ αὐτῷ [sc. the Spouse] οἱ τετελειωμένοι, καὶ τὴν πρὸς αὐτὸν αὐχοῦσι συγγένειαν οἱ τὴν εἰ. φυλάττοντες ἀδιάφθορον Thdt.*Cant.*5:1(2.108); cf. οὔπω γεγόναμεν ἄδολος πορφύρα βασιλική, οὔτε ἀνόθευτος εἰ. θεϊκή Mac.Aeg.*hom.*25.5(M.34.669D); **b.** ἀγάπη, Esaias *or.*25.12(M.40.1181A Lat.); **c.** ἀπάθεια and kindred virtues πάλιν κατὰ τὴν τοῦ θεοῦ εἰ. ἑαυτοὺς καλλωπίσωμεν, διὰ τῆς ἀπαθείας ὁμοιωθέντες τῷ κτίσαντι. ὁ γὰρ τὸ ἀπαθὲς τῆς θείας φύσεως, καθὼς ἐστι δυνατόν, ἐφ' ἑαυτοῦ μιμησάμενος, οὗτος ἐπανέλαβεν ἐπὶ τῆς ἰδίας ψυχῆς τοῦ θεοῦ τὴν εἰ. Bas.*ascet.*1.1(2.318E; M.31.872A); *ib.*(319A; M.l.c.); Gr.Nyss.*hom.opif.*5.1(M.44.137B); ἀνάρχου βασιλείας ἐστὶν εἰ., ἡ τοῦ νοῦ περὶ τὴν ἀληθῆ γνῶσιν ἀτρεψία, καὶ ἡ τῆς αἰσθήσεως περὶ τὴν ἀρετὴν ἀφθαρσία Max.*cap.*3.55(M.90.1284C); **d.** contemplation, indwelling of God, and spiritual self-knowledge, Clem.*str.*7.3(p.12.22ff.; M.9.421A) cit. s. θεωρία; Or.*hom.*1.13 *in Gen.*(p.17.26ff.; M.12.157B,C); τῶν...ἁγίων ἡ θεοειδὴς τοῦ πνεύματος εἰ. ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται Mac.Aeg.*libert.ment.*25(M.34.957C); Gr.Nyss.*beat.*6(M.44.1272B); εἰ βούλει γνῶναι θεόν, προλαβὼν γνῶθι σαυτὸν ἐκ τῆς σαυτοῦ...κατασκευῆς...διάκρινον τὴν ταύτης κατασκευήν, καὶ ὄψῃ σαυτὸν κατ' εἰ. καὶ ὁμοίωσιν θεοῦ τυγχάνοντα. ἀνώνυμός σου γὰρ καὶ ἄγνωστος, καὶ νοερά, καὶ ἀθάνατος τῆς ψυχῆς ἡ οὐσία κατ' εἰ. καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου καὶ ἀγνωρίστου καὶ ἀθανάτου θεοῦ καθέστηκεν ‡Anast.S.*serm.imag.*1(M.89.1145D); for the reason why man was created in the image was that he should know God, for which the image was sufficient, Ath.*inc.*12.1(M.25.116D); cf.*ib.*11.3(116A,B); **e.** kingdom of heaven τὴν βασιλείαν τῶν οὐρανῶν εἶναί τινες λέγουσι...τὸ εἶδος αὐτὸ τῆς θεϊκῆς ὡραιότητος τῶν φορεσάντων τὴν εἰ. τοῦ ἐπουρανίου Max.*cap.theol.*2.93(M.90.1169A).

E. dignity and beauty conferred by image on soul, cf. *Solomon... ad animam...loquens dicit 'nisi cognoveris temet ipsam, et pulchra inter mulieres', et agnoveris pulchritudinis tuae causas inde descendere, quod 'ad imaginem dei facta es', per quod inest tibi plurimum naturalis decoris, et agnoveris, quam pulchra eras ex initio,... jubeo te 'exire' et in ultimis 'gregum vestigiis' collocari,* Or.*comm.in Cant.*2(p.141.26ff.; M.13.123C); κατ' εἰ. γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς [sc. ἡ ψυχή],...ἀνυπέρβλητον ἔχει τὸ κάλλος Meth.*symp.*6.1(p.64.18ff.; M.18.113B); οὐκ οὐρανὸς γέγονεν εἰ. τοῦ θεοῦ...οὐκ ἄλλο τι τῶν κατὰ τὴν κτίσιν φαινομένων οὐδέν. μόνη σὺ [sc. ψυχή] γέγονας τῆς ὑπερεχούσης πάντα νοῦν φύσεως ἀπεικόνισμα...οὐδὲν οὕτω τῶν ὄντων μέγα, ὡς τῷ σῷ μεγέθει παραμετρεῖσθαι Gr.Nyss.*hom.2 in Cant.*(M.44.805D); οὐκοῦν καὶ τὸ τῆς ἀνθρωπίνης φύσεως κάτοπτρον, οὐ πρότερον ἐγένετο καλόν, ἀλλ' ὅτε τῷ καλῷ ἐπλησίασε, καὶ τῇ εἰ. τοῦ θείου κάλλους ἐνεμορφώθη *ib.*5(868D); ἐπειδὴ κατ' εἰ. θεοῦ ἐκτίσθη, ἠρκέσθη τὸ θεῖον γράμμα τῷ τοσούτῳ ἀξιώματι,...εἰ γὰρ αὐτῆς τῆς ἀγαθότητος εἶχε κεκτημένος τὴν εἰ. ... πῶς ἔτι χρείαν εἶχε μαρτυρίας ⟨τοῦ⟩ ἀκοῦσαι ὅτι ἰδοὺ καλόν, ὁπότε τὴν εἰ. αὐτοῦ τοῦ καλοῦ εἶχε κεκτημένος; Epiph.*haer.*66.18(p.42.14ff.; M.42.56C,D); Max.*cap.*1.11(M.90.1088A); on account of which dignity every man must be honoured, Meth.*res.*2.24(p.380.6ff.).

F. discussion whether other creatures, besides man, were created in image; **1.** angels εἰ. ἐστι τοῦ θεοῦ ὁ ἄγγελος...ἔσοπτρον ἀκραιφνές Dion.Ar.*d.n.*4.22(M.3.724B); cf.id.*c.h.*8.1(M.3.240A); οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι κατ' εἰ. Jo.D.*volunt.*30(M.95.168B); **2.** man alone made in image οὐδὲ αὐτοί [sc. ἄγγελοι] εἰσιν εἰ. Ath.*inc.*13.7(M.25.120B); τινὲς μὲν τῶν δυσωνύμων αἱρετικῶν πρὸς τοὺς ἀγγέλους αὐτὸν εἰρηκέναι, καὶ τοὺς πονηροὺς δαίμονας ἔφασαν· οὐ συνιέντες οἱ ἐμβρόντητοι τὸ κατ' εἰ. ἡμετέραν Thdt.*qu.*19 *in Gen.*(1.22) ∞ ‡Ath.*qu.script.*56(M.28.733D); ἐπὶ...τῆς τῶν ἀγγέλων καὶ τῶν χερουβὶμ καὶ σεραφὶμ δημιουργίας εἴρηται ὅτι...θεὸς εἶπε, καὶ ἐγενήθησαν...· ἐπὶ δὲ τοῦ ἀνθρώπου τοῦ κατ' εἰ. καὶ ὁμοίωσιν θεοῦ ὄντος, οὐχ οὕτως Anast.S.*serm.imag.*3(M.89.1165B); 'image' refers to whole human race as it was first conceived in divine mind, without later sex distinction, Gr.Nyss.*hom.opif.*16.18(M.44.185D); **3.** εἰ. θεοῦ sometimes used as synonym of man, *Apoc.Mos.*10(p.5); *ib.*12(p.6); Cosm.Ind.*top.*2(M.88.120A); **4.** Devil's enmity against man due to man's creation in image, Bas.*hom.*9.9(2.81E; M.31.349C); ‡Bas.*Lac.*9(2.595B; M.31.1456D); ἔργον δὲ τῶν ἀντικειμένων δαιμόνων τὰ πρὸς βλάβην τῆς εἰ. Cosm.Ind.*top.*2(M.88.120A).

G. image in Christian hierarchy, priests τοὺς οὕτω [sc. as true followers of Christ] ζῶντας, ὡς ὁμοιοειδεῖς ἐνσημαίνοντος τῷ σταυροειδεῖ τῆς οἰκείας ἀναμαρτησίας εἰ. Dion.Ar.*e.h.*5.3.4(M.3.512D); bishop, Max.*ep.*30(M.91.624B).

IV. theol.;

A. Gnost.; of double letters of alphabet as images of elements which are images of aeons, Iren.*haer.*1.14.5(M.7.605A); of order of Christ's actions, and evangelists' use of time notes, as image of order of aeons, *ib.*1.14.6(605B); of demiurge as εἰ. τοῦ Μονογενοῦς Clem.*exc.Thdot.*7(p.108.16; M.9.657C); and as εἰ. τοῦ ἀληθινοῦ θεοῦ καὶ προφήτην id.*str.*4.13(p.287.28; M.8.1297B); ζωγράφον δὲ τὴν σοφίαν, ἧς τὸ πλάσμα ἡ εἰ. ... ἐπεὶ ὅσα ἐκ συζυγίας προσέρχεται, πληρώματά ἐστιν, ὅσα δὲ ἀπὸ ἑνός, εἰκόνες *ib.*(p.287.30; 1297B).

B. of Wisdom as God's image ἡ σοφία ἐστὶν ὁ λόγος ᾧ εἶπε, 'ποιήσωμεν ἄνθρωπον' κτλ.· ὡς οὔσης εἰ. τοῦ ἀρχετύπου *Dial.Ath.et Zacch.*8(p.5).

C. of Logos or Son as image of Father (Col.1:13), v. ἀπαράλλακτος; εἰ. μὲν γὰρ τοῦ θεοῦ ὁ λόγος αὐτοῦ...εἰ. δὲ τοῦ λόγου...ὁ νοῦς ὁ ἐν ἀνθρώπῳ Clem.*prot.*10(p.71.24; M.8.212C); ἔστιν οὖν τις, ὁ υἱὸς τοῦ θεοῦ, εἰ. τοῦ θεοῦ, καὶ τούτου εἰ. ἡ λεγομένη εἰ. τοῦ υἱοῦ τοῦ θεοῦ· ἣν νομίζομεν εἶναι ἣν ἔλαβε ψυχὴν ὁ υἱὸς τοῦ θεοῦ ἀνθρωπίνην, γενομένην διὰ τὴν ἀρετὴν τῆς εἰ. τοῦ θεοῦ εἰκόνα· ἣν οἰόμεθα εἰ. εἰ. εἶναι τοῦ θεοῦ Or.*comm.in Rom.*1:49(*JTS* 13 p.211); εἰ ἔστιν εἰ. τοῦ θεοῦ τοῦ ἀοράτου, ἀόρατος εἰ. id.*princ.*4.4.1(p.349.15); id.*Jo.*13.36(p.261.25; M.14.461C); τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου θεότητος μόνον ἐν αὐτῷ φέροντα τὴν εἰ. Eus.*d.e.*4.2(p.152.9; M.22.253B); *ib.*4.3(p.153.14; 256B) cit. s. προαίρεσις; εἰη δ' ἂν ταύτῃ καὶ εἰ. θεοῦ...ζῶντος θεοῦ ζῶσά τις καὶ καθ' αὐτὴν ὑφεστῶσα...ἀλλ' οὐχ οἵα τις πάλιν ἡ παρ' ἡμῖν εἰ., ἕτερον μὲν ἔχουσα τὸ κατ' οὐσίαν ὑποκείμενον, ἕτερον δὲ τὸ εἶδος *ib.*5.1(p.213.30; 353D); acc. Marcellus τότε [sc. at Inc.] υἱὸν θεοῦ γεγονέναι...εἰ. τε θεοῦ id.*Marcell.*1.1(p.6.4; M.24.721C); οὐδεὶς ἐδύνατο τὸν θεὸν εἰδέναι, οὐδὲ τὸν λόγον γνωρίζειν αὐτοῦ, εἰ μὴ τὴν εἰ. εἰλήφει...δηλαδὴ τὴν σάρκα...διὰ μόνης γὰρ τῆς εἰ. γνωρίζεσθαι τὸν θεὸν καὶ τὸν τούτου λόγον διετείνατο, τὴν σάρκα λέγων εἶναι τὴν εἰ. id.*e.th.*2.25(p.136.21; M.24.965C); but agst. Marcell. εἷς δὲ καὶ μονογενὴς τοῦ θεοῦ υἱός, εἰ. τῆς πατρικῆς θεότητος καὶ διὰ τοῦτο θεός *ib.*1.2(p.63.29; 832C); Ath.*Ar.*2.78(M.26.312B); ἡ δὲ εἰ., ἑτέρου καὶ οὐχ ἑαυτῆς εἰ. οὖσα, καθὰ καὶ σὺ [sc. Marcellus] θέλεις, τοῦ πρωτοτύπου ἐν ἑαυτῇ τοὺς χαρακτῆρας φέρουσα, τὴν ἑτερότητα παρίστησιν, ἑτερότητα δὲ ὡς ὁμοιότητα· οὐχ ἑαυτῆς γάρ, ἑτέρου δέ τινος εἰ. ἐστιν οὗτος...εἰ. οὖν τοῦ πατρὸς ὁ υἱός, ζῶσα ζῶντος Acac.Caes.*fr.Marcell.* ap.Epiph.*haer.*72.10(p.264.24; M.42.396C); εἴ τις εἰ. ἀκούων τὸν υἱὸν τοῦ θεοῦ...ταὐτὸν λέγοι τὴν εἰ. τῷ θεῷ..., ὡς μὴ ὁμολογῶν ἀληθῶς υἱόν, ἀνάθεμα...καὶ...ἀνόμοιον λέγοι [καὶ] κατ' οὐσίαν τὸν υἱὸν εἰ. ὄντα τοῦ θεοῦ...οὐ εἰ. καὶ κατ' οὐσίαν νοεῖται, ὡς ἀληθῶς μὴ λέγων υἱόν, ἀνάθεμα CAnc.(358)*anath.*6,7(p.281.22; M.42.421C); τὸ θεῖον βούλημα...διὰ τῆς οἰκείας εἰ. τοῦ...λόγου πρόεισιν εἰς ἐνέργειαν Bas.*Eun.*2.21(1.257C; M.29.620A); id.*ep.*236.1(3.361B; M.32.877A); Gr.Nyss.*Eun.*11(2 p.264.20; M.45.872D); οὐχὶ τῷ διαφέρειν τοῦ ἀρχετύπου τὴν εἰ. ... ἀλλ' ἵνα δειχθῇ ὅτι ταὐτὸν τῷ πρωτοτύπῳ ἐστίν, κἂν ἕτερον ᾖ id.*diff.ess.*8(M.32.340B); *Pap.Chr.*4.16.1.6(p.445); εἰ. ὢν τοῦ πατρὸς ὁ υἱός, οὐκ ἂν εἴη κτίσις αὐτοῦ Didym.(‡Bas.)*Eun.*4(1.287E; M.29.692B); εἰ. εἰκονοποιός *ib.*5(302A; M.724C); Cyr.*thes.*1(5[1].12C); ἔστι δὲ καὶ οὕτως εἰ. τοῦ πατρός, καθ' ὃ καὶ ἐστι θεὸς καὶ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν id.*2Cor.*4:4(p.342.10; M.74.933B); Procl. CP *or.*2.3(M.65.696C); *Dial.Ath.et Zacch.*19(p.15).

D. of Son as image of attributes of God ὁ δὲ σωτὴρ εἰ. τῆς ἀγαθότητος αὐτοῦ Or.*Jo.*6.57(37; p.166.6; M.14.300B); εἰ. ... τῶν ἐπινοουμένων τῇ οὐσίᾳ τοῦ θεοῦ μεγαλείων, εἰ. δυνάμεως, εἰ. σοφίας, καθὸ εἴρηται Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία Bas.*ep.*236.1(3.361B; M.32.877A); τὸν λόγον...[sc. τοῦ πατρός] οὐσίας τε καὶ βουλῆς καὶ δόξης καὶ δυνάμεως ἀπαράλλακτον εἰ. Ast.Soph.*fr.*21 ap.Eus.

*Marcell.*1.4(p.25.8; M.24.764C) ∞ *Symb.Ant.*(341)2(p.249.18; M.26.721C); of Father's will *τὸ ἐν αὐτῷ θέλημα εἰ. τοῦ πρώτου θελήματος, καὶ ἡ ἐν αὐτῷ θεότης εἰ. τῆς ἀληθίνης θεότητος* Or.*Jo.*13.36(p.261.25; 461C); (Eunomian) *εἰ. βουλήσεως ὀνομάζουσιν* Bas.*Eun.*1.24(1.235D; M.29.565B); v. *βούλησις*; of his *ἐνέργεια*, *ib.*2.31(268C; M.645A); *υἱὸς γάρ ἐστι, φησίν, εἰ. καὶ ἀφραγὶς τῆς τοῦ παντοκράτορος ἐνεργείας* Gr.Nyss.*Eun.*2(2 p.360.14; M.45.540A).

E. of Christ's humanity *τὴν εἰ. λαμβάνων τῆς ἀνθρωπότητος* Procl.CP *or.*6.11(M.65.741A); (Eutychian) *τυγχάνειν τῆς ἡμετέρου σώματος εἰ., καὶ μὴ ἀληθείαν* Leo Mag.*ep.*30(p.46.10; M.*PL.*54.788B).

F. of H. Ghost; **a.** as image of God, Eus.*e.th.*3.5(p.163.10; M.24.1012C); **b.** as image of Son, Gr.Thaum.*symb.*(p.3.8; M.10.985A); Ath.*ep.Serap.*1.24(M.26.588B); Didym.(‡Bas.)*Eun.*5(1.302A; M.29.724C); Jo.D.*f.o.*1.13(M.94.856B).

εἴλημα, τό, 1. *covering, wrapping,* ref. Christ's burial *τὸ εἴ. τῆς σινδόνος* Epiph.*haer.*42.11(p.153.18; M.41.769D); **2.** *arch, vault*; of heaven, Geo.Pis.*hex.*86(M.92.1436A); in architecture, Jo.Mal.*chron.*18 p.490(M.97.709A); *ib.*p.495(716B); **3.** *volume κεφαλίδα δὲ βιβλίου καλεῖ τὰ εἰ.* Thdt.*Jer.*36:1–3(2.562).

***εἰλητικός,** *arched,* Jo.Eleem.*v.Tych.*(p.139).

εἰλητός, A. *wound, wrapped*; neut. as subst.; **1.** liturg.; linen or silk *corporal* placed on altar, symbolizing grave-clothes of Christ, ‡Sophr.H.*liturg.*5(M.87.3985B); ‡Bas.*h.myst.*47(p.389.23); unfolded by deacons (compared with Joseph of Arimathea and Nicodemus) at beginning of mass of faithful, ‡Sophr.H.*liturg.*20 (4000D); or by priest, cf.*Lit.Chrys.*(p.375.6); *εὐχὴ πιστῶν μετὰ τὸ ἁπλωθῆναι τὸ εἰ. Lit.Bas.*(p.316.10); later practically identified with *ἀντιμίσιον* q.v.; placed by bishop on altar at consecration of church, *Euchol.*(p.660D); **2.** *roll, volume μεμβράνας ῥωμαϊκώτερον τὰ εἰ. ἐκάλεσεν...ἐν εἰλητοῖς γάρ εἶχον τὸ παλαιὸν τὰ τῆς θείας γραφῆς* Thdr.Mops.*2Tim.*4:13(p.228.11); Thdt.ad loc.(3.695).

B. *vaulted,* s.v.l., *εἰ. ναῷ* Andr.Cr.*imag.*(M.97.1304A).

εἰλικρίνεια, ἡ, *purity* of intention, *sincerity τῶν λόγων εἰ.* Clem.*str.*4.22(p.311.11; M.8.1352C); *ib.*6.7(p.462.8; M.9.281B); id.*fr.*65 (p.228.21; M.9.753A) cit. s. *δικαιόω*; coupled with *πίστις*, Const.ap. Eus.*v.C.*4.42(p.134.22; M.20.1192B); *ib.*4.45(p.136.4; 1193C); *μετὰ εἰλικρινείας ἀφῶμεν* Chrys.*hom.in Rom.12:20*(3.171B); ref. 2Cor. 1:12, id.*hom.*3.1 *in 2Cor.*(10.442B).

εἰλικρινής, *pure, unmixed*; **1.** def., ref. Phil.1:10 *εἰ. λογίζομαι εἶναι τὸ ἀμιγές, καὶ ἄκρως κεκαθαρμένον ἀπὸ παντὸς ἐναντίου, συνηγμένον δὲ καὶ τεταγμένον πρὸς μόνην θεοσέβειαν· οὐ μόνον δέ, ἀλλὰ καὶ πρὸς τὰ ἐν ἑκάστῳ καιρῷ καὶ πράγματι πρὸς τὸν ταύτης σκοπὸν ἀκριβῶς ἐπιζητούμενα· ὥστε μηδὲ πρὸς τὰ συγγενῆ τῶν κατορθωμάτων ἀπομετεωρίζεσθαι τὸν εἰς τι ταχθέντα* Bas.*reg.br.*264 (2.505D; M.31.1261B); **2.** of contemplation, Clem.*str.*6.14(p.486.9; M.9.329B); *ib.*7.3(p.10.13; 416C); *τὸ τῆς θεωρίας εἰ.* Nil.*exerc.*75(M. 79.809B); of Christ to whom is applied Sap.7:25, Or.*Jo.*13.25(p.249. 32; M.14.444A), Eus.*d.e.*4.3(p.154.1; M.22.256D) citt. s. *δόξα*; his divinity, ‡Ath.*Ar.*4.35(p.84.15; M.26.521B); God called *ὁ εἰ., A.Jo.* 107(p.205.2); of doctrine, Eus.*h.e.*4.24(M.20.389B); *τῶν δικαίων ἀξιωμάτων τὸ εἰ. ... κάλλος* Cyr.*Mich.*36(3.422D); ref. morsel given to Judas at Last Supper *εἰ δύνασαι τὸν εἰ. ἄρτον ἀβαφῆ φάσκειν εἶναι* Or.*Jo.*32.22(14; p.465.8; 804D); **3.** morally *pure, uncontaminated,* ref. Christian life *τῆς εἰ. ... ζωῆς ἡ ἀρχή* [sc. *ὁ σωτήρ*] Or. *Jo.*1.28(27; p.34.22; M.14.73C); Eus.*h.e.*4.7.13(M.20.320B); id.*d.e.*3.7 (p.147.2; M.22.248A); of prayer *δέησις εἰ. Const.App.*3.7.6; *προσευχὴ ...τοῦ νοῦ...εἰ. κρίσις* Evagr.Pont.*or.*84(M.79.1185B); *εἰλικρινεῖ πρόσελθε τῷ θεῷ διαθέσει* Olymp.*Job* 11:13f.(M.93.144D); *εἰ. διανοίᾳ* Bas. Sel.*or.*4.3(M.85.69A); of God's righteousness, Cyr.*Mich.*67(3.462B); *single-minded, Ep.Dor.*(M.88.1616A); *pure in doctrine,* exeg. Phil. 1:10 *ἵνα ἦτε ὑμεῖς εἰ.· τουτέστιν, ἵνα μηδὲν νόθον δόγμα τῆς ἀγάπης προσχήματι παραδέχησθε* Chrys.*hom.*2.1 *in Phil.*(11.203D); **4.** *sincere*; characterizing believers, *1Clem.*2.5; *τὸ μετανοῆσαι ἐξ εἰ. καρδίας 2Clem.*9.8; *εἰ. κάθαρσις* Clem.*str.*4.23(p.316.1; M.8. 1361A); id.*q.d.s.*40(p.187.7; M.9.645C); Ath.*ep.mon.*(M.26.1188A); of faith, Clem.*q.d.s.*35(p.183.10; M.9.641A); Chrys.*hom.*35.1 *in Jo.*(8. 202C); *εἰ. διανοίᾳ θεραπεύει...*[sc. Abel] *τὸν τῆς ποίμνης δοτῆρα* Bas. Sel.*or.*4.3(M.85.69A).

εἰλικρινότης, ἡ, *sincerity,* as polite form of address *ἡ ὑμετέρα εἰ. Cod.Afr.*56.

εἰλικρινῶς, 1. *purely, in purity ψυχὴν...ἀμίαντον εἰ. τὸν προσομιλοῦντα τῷ θεῷ* Clem.*str.*7.7(p.36.27; M.9.469A); *εἰ. θεάσονται τὴν ἀφθαρσίαν* Meth.*symp.*1.1(p.8.2; M.18.37A); *ἑορτάζομεν κυρίῳ εἰ. ib.* 9.2(p.116.9; M.18.1A); Hyper.*mon.*140(M.79.1488A); **2.** *sincerely, 1Clem.*32.1; *εἰ. τὸ ἀληθὲς λέγειν* Meth.*res.*1.42(p.287.14; M.41.1109D); of believing, *Symb.Ant.*(341)4(p.251.14; M.26.725D); *Symb.Sirm.*1 (p.254.31; M.26.736C); Chrys.*hom.*35.1 *in Jo.*(8.202).

***εἰλιμμένον, τό,** *chalice veil, Euchol.*(p.86).

***εἰλιτάριον, τό,** *scroll εἰ. γὰρ οἱ Ἑβραῖοι ἀντὶ τῶν παρ' ἡμῖν βιβλίων ἐκέχρηντο* Andr.Caes.*Apoc.*18(M.106.273D); CTrull.*act.*14 (H.3.1360B).

εἱμαρμένη, ἡ, *fate*;

A. def., Clem.*exc.Thdot.*69(p.129.15; M.9.692A) cit. s. *δύναμις*; *εἰ. ... εἱρμός, οἶμαι, τῶν θεῷ τυπουμένων* Gr.Naz.*carm.*1.2.34.263(M. 37.964); dist. from *πρόνοια* and *ἀνάγκη*: *τοῦ μὲν θεοῦ ἔργον, οὐσία καὶ πρόνοια· τῆς δὲ ἀνάγκης, τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἡ κίνησις· τῆς δὲ εἰ., τὸ ἐξ ἀνάγκης τὰ δι' αὐτῆς ἐπιτελεῖσθαι* Jo.D.*f.o.*2.25(M.94. 957A).

B. its reality, affirmed *ὅτι δέ ἐστι, φασίν, εἰ. τοῖς ἄλλοις, τὰ ἀποτελέσματα προλεγόμενα δείκνυσιν, ἐναργὴς δὲ ἀπόδειξις καὶ ἡ τῶν μαθημάτων θεωρία* Clem.*exc.Thdot.*75(p.130.23; M.9.693B); denied *ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν οὐδὲν ἁμαρτάνει· οὐ γὰρ ἑαυτὸν ἐποίησε τοιοῦτον, ἀλλ' ἡ εἰ. ... οὐδεὶς οὖν κακός. ἀλλ' εἰσὶ κακοί, καὶ ἡ μὲν κακία...ἐχθρὰ τῷ θεῷ...ἡ δὲ ἀρετὴ προσφιλὴς...θεοῦ διατάξαντος νόμον τιμωρὸν τῶν κακῶν. οὐκ ἄρα εἰ.* Meth.*symp.*8.16 (p.110.11ff.; M.18.173A); *ποία δ' αὐτῶν εἰ. θεὸν δημιουργὸν ἁπάντων πᾶσιν ἀνθρώποις κατήγγειλεν, εἰ. δὲ μὴ εἶναι φάναι ἐξηνάγκασε; καὶ πῶς ἡ εἰ. μὴ εἶναι ἑαυτὴν λέγειν τε καὶ φρονεῖν ἐβιάσατο;* Eus.*p.e.*6.6 (253D; M.21.432A); *ἡ παρὰ τοῖς ἄφροσιν Ἕλλησι...εἰ. προσαγορευομένη, οὔτ' ἦν ποτε, οὔτ' ἔστιν, οὔτ' ἔσται πώποτε* Nil.*epp.*1.278(M.79. 184D).

C. pagan belief in it, Tat.*orat.*8(p.8.6; M.6.821A,B); *ib.*9(p.9.24; 825A); *οἱ δαίμονες αὐτοὶ μετὰ τοῦ ἡγουμένου...Διὸς ὑπὸ τὴν εἰ. πεπτώκασι τοῖς αὐτοῖς πάθεσιν...κρατηθέντες ib.*8(p.8.19; 824A); *οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναί φασι χωρὶς εἰ. κινῆσαί τινι* Meth.*symp.*8.16 (p.108.8; M.18.172A); *πάντα...ὑπεζεῦχθαι τῇ τῆς εἰ. ἀνάγκῃ* Gr.Nyss. *fat.*(M.45.148C); *ἔστι...καὶ νεώς, καὶ πόλεως, καὶ ἔθνους παντὸς εἰ., κατὰ τὴν πρώτην θέσιν τὸ ἐφεξῆς ἐπικλώθουσα ib.*(165C); philosophers' views: Plato *εἰ. φησὶν εἶναι οὐ μὴν πάντα καθ' εἰ. γίνεσθαι* Hipp.*haer.* 1.19(p.23.2f.; M.16.3045A); Stoic conception, *ib.*1.21(p.25.16ff.; 3048C,D); Epicurus *πρόνοιαν μὴ εἶναι μηδὲ εἰ., ἀλλὰ πάντα κατὰ αὐτοματισμὸν γίνεσθαι ib.*1.22(p.26.19; 3049B).

D. implications and consequences of this belief; **1.** immorality *οἱ διοριζόμενοι μὴ εἶναι τὸν ἄνθρωπον αὐτεξούσιον, ἀλλ' ἀνάγκαις ἀφύκτοις εἰ. λέγοντες οἰακίζεσθαι...εἰς αὐτὸν ἀσεβοῦσι τὸν θεόν, παρεκτικὸν τῶν ἀνθρωπίνων κακῶν...εἰσηγούμενοι* Meth.*res.* 8.16(p.105.7; M.18.168D); *πάντα δ' εἰ. διὰ τῶν χρησμῶν ἀναρτήσας ὁ δαίμων...θέα εἰς οἷον κακῶν δογμάτων ὄλεθρον τοὺς αὐτῷ πειθομένους καταβέβληκεν. εἰ γὰρ...εἱμαρμένη οὐ μόνα τὰ ἐκτός, ἀλλὰ καὶ τὰς κατὰ λογισμὸν προθυμίας ἀναθετέον...οἰχήσεταί σοι φιλοσοφία...οὐδέ τις ἦν τοῖς σπουδαίοις ἔπαινος ἀρετῆς...εἰ. τὴν αἰτίαν πάντων ἀναδεδεγμένης...εἰ γὰρ ἐξ εἰ. τόδε τι γενήσεσθαι νομίζοι, εἴτε πονοίημεν ἡμεῖς περὶ αὐτό...εἴτε καὶ μή, πῶς οὐκ ἂν τις ἐθελήσειε τὸ ῥᾷον αἱρεῖσθαι... ὡς ἐξ εἰ. ... γενησομένου τοῦ πραχθησομένου;* Eus.*p.e.*6.6(242D–243C; M.21.413A–C); *καὶ τὴν πρὸς τὸ θεῖον εὐσέβειαν ἀνατρέποι ἂν ἥδε ἡ δόξα, εἴγε μηδὲν ἡμῖν ὁ θεός, μηδὲ μὴν αὐτοὶ οἱ τῶνδε χρησμῳδοί, μήτ' εὐχομένοις, μήτ' εὐσεβοῦσι συμβάλλονται εἱμαρμένης ἀνάγκαις πεπεδημένοις ib.*(244D; M.416D); *ποῦ τὸ δίκαιον;...ποῦ τὸ ὅσιον; ἢ τούτων οὐδενὸς μέλειν φὴς τῇ εἰ., οὐδὲ πρὸς ἀρετὴν βλέπειν...;* Gr.Nyss. *fat.*(M.45.160A); Chrys.*hom.*26.6 *in Mt.*(7.321C); *ὥσπερ γὰρ δῆλον ὅτι πονηρὸν τὸ φονεύειν καὶ τὸ μοιχεύειν φαῦλον, οὕτω δῆλον ὅτι τὸ προσέχειν εἱμαρμένῃ πονηρόν...ἐπεὶ ὅτι γε τῶν κεκωλυμένων ἐστίν, ὥσπερ ὁ φόνος, παρὰ τοῖς νόμοις αὐτοῖς τοῖς τῶν Ἑλλήνων, τὸ τῇ γενέσει πείθεσθαι...κατηγορούμενος ἐν δικαστηρίῳ λεγέτω, ὅτι οὐκ ἐγώ, ἀλλ' ἡ γένεσις...ἆρα οὐ διὰ τοῦτο χαλεπωτέραν δώσει δίκην, ὡς καταγέλαστα ἀπολογούμενος;* ‡Chrys.*prov.*3(2.761B); *ὅρα...πόσα κακὰ συνέστηκεν ὁ διάβολος ἀπὸ τῆς εἰ.· ὑπεροψίαν ἀρετῆς· ἐκλύει γὰρ ψυχὴν κἂν σφόδρα πρόθυμος ᾖ πρὸς τοὺς ὑπὲρ αὐτῆς ἱδρῶτας, ὅταν πείσῃ, ὅτι τῶν γενομένων οὐδέν ἐστιν ἐφ' ἡμῖν εὐέμπτωτον πρὸς πονηρίαν ἔργον ib.*(762D); *ib.*5(769B); **2.** ass. astrology *διὰ τῆς...περιφορᾶς τῶν ἄστρων...τῆς αὐτῆς τυχεῖν...εἰ.* Eus.*p.e.*6.6(253D; M.21.432A); *ἠρόμην αὐτόν* [sc. a pagan philosopher] *εἰ θεόν τινα οἴεται τὸν κατὰ πάντων ἔχοντα κράτος, τὸν τῷ ὀνόματι τῆς εἰ. ἀποκαλούμενον...ὁ δὲ πολλήν μου καταγνούς...οὗ μοι δοκεῖς κατανενοηκέναι, φησί, τῶν οὐρανίων οὐδέν. ἡ γὰρ ἂν ἔγνως τῆς εἰ. τὴν δύναμιν, καὶ ὅπως κατελήφθη τῶν καθ' εἱρμὸν ἀπαραβάτως γινομένων ἡ δύναμις. ἐμοῦ...πρὸς τοῦτον ξενοφωνουμένου τὸν λόγον, καί τι σαφέστερον ἀξιοῦντος μαθεῖν, πότερον δύναμίν τινα προαιρετικὴν αὐτοκρατῆ...τὴν εἰ. εἶναι φαντάζεται...ὁ τῶν οὐρανίων, φησίν, ἐπισκεμμένος τὴν κίνησιν, τόν τε ζωδιοφόρον κύκλον...ὁ...τοιαῦτα κατανοήσας, εἴσεται τῆς εἰ. τὸ σημαινόμενον, ὅτι τὸ εἱρμῷ τινι ἀπαραβάτῳ κατὰ τὴν ποιὰν συμπλοκὴν τῶν*

ἀστέρων ἀναγκαίως ἀποτελούμενον τῷ ὀνόματι τῆς εἱ. διηρμήνυται Gr. Nyss.*fat.*(M.45.149B–D); this view discussed, *ib.*(152Aff.); hence **3.** implies absurdity *ζῶον οὐκ ἔστιν, ἐν περιγραφῇ οὐχ ὁρᾶται, θεὸς οὐ νομίζεται...ὃ δὲ μηδέν ἐστι τούτων, τί ἐστιν; ἀλλ' ἔοικε παρ' ὑμῶν τὸ ἀεὶ ἐνεστὼς τοῦ χρόνου, εἱ. λέγεσθαι· πάσῃ γὰρ κινήσει...ὁ χρόνος συμπαρεκτείνεται. διαφέρει δὲ οὐδέν, ἢ ὕδατι προσκαθήμενον τῇ κινήσει τοῦ ῥεύματος ἀποσημειοῦσθαι τὰ ἀκαρῆ διὰ τοῦ ἀεὶ ἐνεστῶτος χρόνου τμήματα,...ἢ κινουμένων ἄστρων. εἰς γὰρ ἐπὶ πάντων τῶν μεταβατικῶς κινουμένων ὅρος κινήσεως...εἰ δὲ οὔτε ἡ τῶν ῥείθρων φορά, οὔτε ἡ τῶν πλοίων κίνησις...τοῦ χρόνου τὰ διαστήματα εἱ. ποιεῖ, πῶς τὰ χρονικὰ σημεῖα τῆς τῶν ἀστέρων κινήσεως εἰς εἱ. γένεσιν πλάσσετε, καὶ φάτε τήνδε τὴν ὥραν, ἢ τῆς ὥρας τὸ πολλοστημόριον ὅπερ τῷδε τῷ σημείῳ τῆς τῶν ἄστρων κινήσεως ἐσημειώθη, εἱ. γίνεσθαι; ib.*(160B,C); *εἰ ταῦτα τὰ φαινόμενα ἡμῖν κατ' ἀνάγκην τινὸς εἱ. ἐστὶ τοιαῦτα, πάντως καὶ τῆς ὑπερκειμένης ἐκείνης ἀνάγκης ἑτέραν αἰτίαν ἀναγκαστικὴν τῆς τοιαύτης καταστάσεως προσεπινοήσει ὁ λόγος, κἀκείνης ἄλλην, καὶ πάλιν ἄλλην τῆς ἄλλης, καὶ οὕτως εἰς ἄπειρον προϊὼν ὁ λόγος, οὐδαμοῦ στήσεται εἱμαρμένην εἱμαρμένης ib.*(161C); *εἱ. δὲ παρεισάγεις, ὡς ἐξ αὐτῆς γίνεσθαι τὰ τῷ ἀνθρώπῳ συμβαίνοντα καὶ ἄλλοις...εἰ γὰρ εἱμαρμένης τὸ σοφίζεσθαι τὸ συνετίζεσθαι τὸ λογικὸν γεννᾶσθαι καὶ ἄλογον...παυσάσθωσαν νόμοι· ἐπικρατεῖ γὰρ ἡ εἱ. μοιχῶν τε καὶ ἄλλων...ἀργείτωσαν αἱ διατριβαί, παυσάσθωσαν σοφισταί τε καὶ ῥητόρες...εἴπερ ἐξ εἱ. τυγχάνει τῶν ἐπιστημῶν καὶ μὴ ἐκ γραμμάτων μαθήσεως ὁ πορισμὸς τῇ ἀνθρωπείᾳ φύσει. εἰ γὰρ εἱ. τὸν πεπαιδευμένον...παρεσκεύασε, μὴ μανθανέτω τις παρὰ τοῦ διδάσκοντος* Epiph.*haer.*5.3(pp.184.27–185.9; M.41.204B,C); ‡Chrys.*prov.*5(2.770A,B); *ἀμέλησον τῶν σαυτοῦ πάντων· πάντως γὰρ ἥξει σοι τὰ τῆς εἱ. ... οὐδὲν ἀπὸ τῆς ῥᾳθυμίας τῆς σῆς ἡ τῆς εἱ. ῥᾳθυμία παραβλαβήσεται ib.*(772A).

E. *εἱ.* and free will; **1.** belief in *εἱ.* destroys scriptural teaching on free will, Chrys.*hom.62.3 in Mt.*(7.623E); ref. Is.1:19f. *τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. εἶδες πῶς ὁ θεὸς φθέγγεται καὶ ποίους τίθησι νόμους; ἄκουσον καὶ τῆς εἱ. ... πῶς ἐναντίους εἰσάγει θεσμούς... εἶπεν ὁ θεός, ἐὰν θέλητε, καὶ ἐὰν μὴ θέλητε, κυρίους ἡμᾶς ποιῶν ἀρετῆς καὶ κακίας...ἐκεῖνος δὲ τί φησιν; ὅτι τὸ εἱμαρμένον οὐ δυνατὸν ἐκφυγεῖν, κἂν θέλωμεν, κἂν μὴ θέλωμεν* ‡Chrys.*prov.*2(2.758B); **2.** even believers in *εἱ.* act on assumption of free will, Eus.*p.e.*6.6 (244B; M.21.416B) al.; ‡Chrys.*prov.*3(2.762B); *εἰ φαύλους καὶ ἀγαθοὺς εἱ. ποιεῖ, τίνος ἕνεκεν παραινεῖς τῷ παιδί, τίνος ἕνεκεν νουθετεῖς;...εἰ πλουσίους καὶ πένητας ποιεῖ, μὴ πέμψῃς εἰς διδασκαλεῖα,...ἀλλ' ἐπίτρεψον τῇ εἱ. τὰ κατ' αὐτόν...ὁρᾷς πῶς ἐν τοῖς ἐλάττοσι διαπιστῶν αὐτῆς τὴν δύναμιν, ἐν τοῖς μείζοσιν αὐτῇ πιστεύεις; εἰ γὰρ ὄντως εἱ. ἐστίν, ἄφες τὸν παῖδα καὶ πονηροῖς ἀνδράσι συγγίνεσθαι ib.*5(770C,D); **3.** free will affirmed against *εἱ.*: *ἡμέτερον ἔργον τὸ βιῶσαι καλῶς ἐστι...οὐδὲ...ὡς οἴονταί τινες, ἀπὸ εἱ.* Or.*princ.*3.1.6(p.201.9; M.11.256B); *ἡμέτερον προκρίνειν γὰρ τὰ κρείττω...οὐ δουλεύοντας εἱ.* Meth. *symp.*8.13(p.98.20; M.18.161A); *οἴκεται μὲν τὰ τῆς εἱ., καὶ οὐδεμίᾳ ἀνάγκῃ τὰ ἡμέτερα ἄγεται, πάντα δὲ ἐλευθερίᾳ προαιρέσεως τετίμηται* Chrys.*hom.div.*8(12.381D); ref. S. Paul's conversion *ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱ. ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προαιρέσεως ἐλευθερίᾳ;* id.*hom.22.4 in ICor.*(10.197C).

F. man not subject to *εἱ.*; **1.** gen. statement *εἰ δὴ οὖν τις τὰ κατὰ φύσιν ἤτοι τοῦ σώματος ἢ καὶ τῆς ψυχῆς, εἱ. ὀνόματι χρώμενος, ὑπ' αἰτίαν ἀνάγκης καταβάλλοι, διαμάρτοι ἂν τῆς οἰκείας προσηγορίας... εἰ γὰρ ἀπαράλακτόν φασιν εἶναι τὴν εἱ., καὶ μὴ δύνασθαί τι παρ' αὐτὴν γίνεσθαι (ἀνάγκην γὰρ εἶναι ἀπαραίτητον), πολλὰ δέ, ὡς ἔφην, παρὰ τὰ κατὰ φύσιν καὶ ψυχῇ καὶ σώματι συμβαίνει, οὐκ ἂν ὀρθῶς τις ὀνομάζοι, ταὐτὸν εἶναι λέγων εἱ. καὶ φύσιν* Eus.*p.e.*6.6(246C,D; M.21.420A,B); **2.** proofs, from martyrs' lives, *ib.*(253B; M.429D); from pagan philosophers, *ib.*6.7(261C; M.445A); and from scripture, *ib.*6.9 (272D; M.461D); from difference of individual fortunes *εἰ οὖν καὶ πάντα καὶ ἀεὶ δύναται ἡ εἱ. αὕτη, πάντα ἐπὶ πάντων δυνήσεται. ἀλλὰ μὴν πολλαὶ καὶ ποικίλαι τοῖς ἀνθρώποις τοῦ βίου διαφοραί, κατά τε τὰς ἀξίας καὶ τὰς περιουσίας...ἆρα τὸ μὴ πάντα δύνασθαι τὴν ἀναπλασθεῖσαν ἐκείνην τῷ λόγῳ...εἰ., ἡ τῶν ἀποτελεσμάτων ἀνισότης...ἐπιδείκνυσιν. εἰ γὰρ τὸ μακρόβιον δυνάμεως ἔργον νομίζομεν, ἀσθενείας ...ἐστὶ τὸ ὠκύμορον. οὐκοῦν, τὴν μὲν ἀσθενεῖν τῶν εἱ. τὴν δὲ δύνασθαι δογματίζειν προσήκει* Gr.Nyss.*fat.*(M.45.157A,B).

G. belief in *εἱ.* and Christianity; **1.** incompatible *ὁ...εἱ. εἰσάγων ἄντικρυς θεὸν καὶ θεοῦ πρόνοιαν ἐξωθεῖ· ὥσπερ ὁ τὸν θεὸν ἐφιστὰς τοῖς πᾶσιν ἀνέλοι ἂν τὸν περὶ εἱμαρμένης λόγον. ἢ γὰρ ταὐτὸν ἂν εἴη ὁ θεὸς καὶ εἱ., ἢ θάτερον διεστὼς ἑτέρου. ταὐτὸν μὲν οὖν οὐκ ἂν γένοιτο* Eus.*p.e.*6.6(252A; M.21.428C); detailed refutation of opinion that God and *εἱ.* are identical, *ib.*(252A,B; M.428C–429A); *εἴρηται δὲ ἡμῖν ἐν ἄλλοις λόγοις πολλὰ πρὸς ἀνατροπὴν τῶν γένεσιν καὶ εἱ. νομιζόντων...ἐσχάτη δὲ αὐτοῖς ἀπορία...τοῖς καὶ ἀνάστασιν ὁμολογοῦσιν καὶ κρίσιν δικαίαν ὁριζομένοις. πῶς γὰρ δύναται κρίσις εἶναι καὶ εἱ.;* Epiph.*haer.*16.3(p.212.13ff.; M.41.252B–253A); Chrys.*hom.45.4 in Jo.*(8.267D); discussion of opposition between *εἱ.* and *πρόνοια*, id. *oppugn.*3.10(1.92E); ‡Chrys.*prov.*2(2.756C); **2.** power of *εἱ.* destroyed by Christ *ὁ κύριος...ὁ κατελθὼν εἰς γῆν, ἵνα μεταθῇ τοὺς εἰς τὸν Χριστὸν πιστεύσαντας ἀπὸ τῆς εἱ. εἰς τὴν ἐκείνου πρόνοιαν* Clem.*exc. Thdot.*74(p.130.22; M.9.693A); *ἡ γέννησις σωτῆρος γενέσεως ἡμᾶς καὶ εἱμαρμένης ἐξέβαλεν ib.*76(p.130.30; 693B); *μέχρι τοῦ βαπτίσματος οὖν ἡ εἱ., φασίν, ἀληθής, μετὰ δὲ τοῦτο οὐκέτι ἀληθεύουσιν οἱ ἀστρολόγοι ib.*78(p.131.15; 693D); *εἱ. ἀνεῖλε* [sc. *Χριστός*] Chrys.*hom. 6.1 in Mt.*(7.84B); **3.** superiority of Christianity *ἡμεῖς δὲ καὶ εἱ. ἐσμὲν ἀνώτεροι καὶ ἀντὶ πλανητῶν δαιμόνων ἕνα τὸν ἁπλανῆ δεσπότην μεμαθήκαμεν καὶ οὐ καθ' εἱμαρμένην ἀγόμενοι τοὺς ταύτης νομοθέτας παρητήμεθα* Tat.*orat.*9(p.10.7; M.6.825B,C); *πῶς οὖν γένεσιν τὴν καθ' εἱμαρμένην ἀποδέξομαι τοιούτους* [sc. pagan gods] *αὐτῆς τοὺς οἰκονόμους θεωρῶν;...τί μοι καθ' εἱ. ἀγρυπνεῖς διὰ φιλαργυρίαν; τί δέ μοι καθ' εἱ. πολλάκις ὀρεγόμενος πολλάκις ἀποθήσκεις; ἀπόθνησκε τῷ κόσμῳ παραιτούμενος τὴν ἐν αὐτῷ μανίαν ib.*11(p.11.25; 829A); Eus. *p.e.*6.6(253D; M.21.432A); **4.** *εἱ.* not presupposed by belief in prophecy *ὅπως δὲ μή τινες ἐκ τῶν προλελεγμένων ὑφ' ἡμῶν δοξάσωσι καθ' εἱμαρμένης ἀνάγκην φάσκειν ἡμᾶς τὰ γινόμενα γίνεσθαι. τὰς τιμωρίας ...καὶ τὰς ἀγαθὰς ἀμοιβὰς κατ' ἀξίαν τῶν πράξεων ἑκάστου ἀποδίδοσθαι ...ἀληθὲς ἀποφαινόμεθα· ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλὰ καθ' εἱμαρμένην πάντα γίνεται, οὔτε τὸ ἐφ' ἡμῖν ἐστιν ὅλως...εἰ δὲ εἱμαρτο ἢ φαῦλον ἢ σπουδαῖον εἶναι, οὐκ ἄν ποτε τῶν ἐναντίων δεκτικὸς ἦν...ἀλλ' οὐδ' οἱ μὲν ἦσαν σπουδαῖοι, οἱ δὲ φαῦλοι, ἐπεὶ τὴν εἱ. αἰτίαν φαύλων καὶ ἐναντία ἑαυτῇ πράττουσαν ἀποφαίνομεθα...ἀλλ' εἱ. φαμὲν ἀπαράβατον ταύτην εἶναι, τοῖς τὰ καλὰ ἐκλεγομένοις τὰ ἄξια ἐπιτίμια, καὶ τοῖς ὁμοίως τὰ ἐναντία τὰ ἄξια ἐπίχειρα* Just.*1apol.*43.1–7(M.6.392C–393B); *ib.*44.11 (396B).

H. as belief of Pharisees, Hipp.*haer.*9.28(p.262.6ff.; M.16.3407A, B); *Const.App.*6.6.3; and Sadducees, Hipp.*haer.*9.29(p.262.13; 3407B).

I. *εἱ.* not a divinity, Clem.*prot.*10(p.73.25; M.8.217A).

εἰμί, *to be* (*τὸ εἶναι being*; *ὁ ὤν, τὸ ὄν he who is, that which is*; *τὰ ὄντα things that are*, i.e. *creatures*, occur freq. in same passages, hence are not treated separately);

A. God as being and source of all being *πίστευσον ὅτι εἷς ἐστιν ὁ θεός, ὁ...ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα* Herm.*mand.*1.1; *τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις αἴτιον, τοῦτο δή ἐστιν ὁ θεός* Just.*dial.*3.5 (M.6.481B); *ὁ λόγος ἡμῶν ἕνα θεὸν ἄγει...αὐτὸν μὲν οὐ γενόμενον (ὅτι τὸ ὂν οὐ γίνεται ἀλλὰ τὸ μὴ ὄν)* Athenag.*leg.*4.2(M.6.900A); *ὁ μὲν θεὸς...συνέχων τὰ πάντα φθάνει εἰς ἕκαστον τῶν ὄντων, μεταδιδοὺς ἑκάστῳ ἀπὸ τοῦ ἰδίου τὸ εἶναι, ὅπερ ἐστίν* Or.*princ.*1.3.5(p.56.1f.; M. 11.150B); *θέλων* [sc. *θεός*] *ὁμοῦ καὶ δυνάμενος...ὕλην ὥσπερ τινὰ καὶ οὐσίαν τῆς τῶν ὅλων γενέσεως...προβεβλημένος, ὡς μηκέτι εὐλόγως φάναι δεῖν ἐξ οὐκ ὄντων εἶναί τι τῶν ὄντων· οὐδὲ γὰρ ἂν εἴη τι τὸ ἐκ μὴ ὄντος. πῶς γὰρ τὸ μὴ ὂν ἑτέρῳ τοῦ εἶναι γένοιτ' ἂν αἴτιον; πᾶν δὲ ὅ τί ποτε καὶ ἔστιν ἐξ ἑνὸς τοῦ μόνου ὄντος καὶ προόντος, τοῦ δὴ καὶ φήσαντος, 'ἐγώ εἰμι ὁ ὤν', τὸ εἶναι λαβὸν ἔχει, ὅτι δὴ μόνος ὢν καὶ ἀεὶ ὢν αὐτὸς πᾶσι, τοῖς ἐξ αὐτοῦ τὸ εἶναι κτησαμένοις, αἴτιος τοῦ εἶναι κατέστη* Eus.*d.e.*4.1(p.151.22ff.; M.22.252D); *θεὸς ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται· μᾶλλον δέ, ἔστιν ἀεί. τὸ γὰρ ἦν, καὶ ἔσται, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα...ὁ δὲ ὢν ἀεί, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει... ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι* Gr.Naz.*or.*45.3(M.36.625C); *τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα, καὶ οὐκ ἔνεστιν εἶναί τι μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον* Gr.Nyss.*or.catech.*25(p.95.6; M.45.65D); id.*anim.et res.* (M.46.136A); *κυριώτερον πάντων τῶν ἐπὶ τοῦ θεοῦ ὀνομάτων εἶναι, τὸ ὄν* [sc. *ὁ ὤν*]. *ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὸν ἔχει τὸ εἶναι, οἷόν τι πέλαγος οὐσίας ἄπειρον* ‡Cyr.*Trin.*11(6[3].17C; M.77.1145B); *ἐπειδὴ ὧν ἐστιν ὁ θεὸς ὑπερουσίως, δωρεῖται δὲ τὸ εἶναι τοῖς οὖσι...πολλαπλασιάζεσθαι λέγεται τὸ ἓν ὂν ἐκεῖνο τῇ ἐξ αὐτοῦ παραγωγῇ τῶν πολλῶν ὄντων...τῷ πάντων εἶναι τῶν ὄντων ὑπερουσίως ἐξῃρημένον* Dion.Ar.*d.n.*2.11 (M.3.649B); *ἐκ τοῦ ὄντος, αἰών, καὶ οὐσία, καὶ ὄν...τὰ ἐν τοῖς οὖσιν ὄντα...καὶ ὑφεστῶτα. καὶ γάρ, ὁ θεὸς οὔ πώς ἐστιν ὤν, ἀλλ' ἁπλῶς καὶ προειληφώς· διὸ καὶ βασιλεὺς λέγεται τῶν αἰώνων, ὡς ἐν αὐτῷ καὶ περὶ αὐτὸν παντὸς τοῦ εἶναι καὶ ὄντος καὶ ὑφεστηκότος, καὶ οὔτε ἦν, οὔτε ἔσται...μᾶλλον δὲ οὔτε ἐστίν· ἀλλ' αὐτός ἐστι τὸ εἶναι τοῖς οὖσι· καὶ οὐ τὰ ὄντα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, ἐκ τοῦ προαιωνίως ὄντος ib.*5.4(817C,D); *ib.*5.5(820–C) et passim; commented upon *τὸ ὄν, ἐπὶ τοῦ θεοῦ λεγόμενον, ὅλου συλλήβδην τοῦ εἶναι ὑπέρεστι· τοῦτο γάρ φησιν ὑπερούσιον, ἀντὶ τοῦ ὑπὲρ τὸ ἐν γενέσει ὄν· τὸ γὰρ ὂν οὐσία· ἀπὸ γὰρ τοῦ εἶναι τὸ ὄνομα παρῆκται τῆς οὐσίας. ὁ οὖν θεός, ὡς καὶ τοῦ εἶναι ὑπερκείμενος (τὸ γὰρ εἶναι ἐξ αἰτίας τινὸς δηλοῖ εἰς τὸ εἶναι ἀχθῆναι) ὧν ὑπερουσίως νοείται· διὸ καὶ αἰὼν λέγεται εἶναι τῶν παρηγμένων ὑπ' αὐτοῦ αἰώνων· ὅπερ γὰρ μήτε ἦν, μήτε ἔσται, ἀλλ'*

ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι, τὸ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μήτ' αὖ μεταβεβηκέναι ἀπὸ τοῦ [ἦν εἰς τό] ἔστι, τοῦτό ἐστιν αἰών· οὐ γὰρ μόνον τὰ ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ τὸ μηδὲν τοῦ ποτε μὴ ὄντος Max.*schol.d.n.*5.4(M.4.313B,C); cf. Dion.Ar.*e.h.*1.3 (M.3.373C); id.*d.n.*1.5(M.3.593D); ὁ ὢν εἰς πάντα τὰ ὄντα ἐκτείνεται, καὶ ὑπὲρ τὰ ὄντα ἐστίν *ib.*5.1(816B).

B. his existence proved τοῦ μὲν γὰρ εἶναι θεόν,...καὶ ὅψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος Gr.Naz.*or.*28.6(M.36.32C); ὅτι μὲν οὖν ἐστι θεός...οὐκ ἀμφιβάλλεται...ἡ γνῶσις τοῦ εἶναι θεὸν φυσικῶς ἡμῖν ἐγκατέσπαρται Jo.D.*f.o.*1.3(M.94.793B,C); ἡ τῆς κτίσεως συνοχή, καὶ συντήρησις, καὶ κυβέρνησις, διδάσκει ἡμᾶς ὅτι ἐστὶ θεός *ib.*(796C); ὅτι μὲν οὖν ἐστι θεός, δῆλον. τί δέ ἐστι κατ' οὐσίαν... ἄγνωστον *ib.*1.4(797B).

C. God as beyond being (negative theology) ὑπερούσιος οὐσία... κατὰ μηδὲν τῶν ὄντων οὖσα· καὶ αἴτιον μὲν τοῦ εἶναι πᾶσιν, αὐτὸ δὲ μὴ ὄν Dion.Ar.*d.n.*1.1(M.3.588B); εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶν... τἀγαθόν, καὶ τὸ ἀνείδεον εἰδοποιεῖ...οὐσίας ὑπερβολὴ...καὶ εἰ θεμιτὸν φάναι, τἀγαθοῦ τοῦ ὑπὲρ πάντα τὰ ὄντα, καὶ αὐτὸ τὸ μὴ ὂν ἐφίεται, καὶ φιλονεικεῖ πῶς ἐν τἀγαθῷ καὶ αὐτὸ εἶναι *ib.*2.11(697A); αὐτὸς αἴτιος τοῦ εἶναι τὰ πάντα, καὶ πρὸ τοῦ εἶναι, ὡς ἐντεῦθεν δηλοῦται· τὸ γὰρ αὐτὸ εἶναι οὐκ αὐτό ἐστιν ὁ θεός, διὰ τὸ εἶναι τὸν θεόν, ἀλλὰ διὰ τὸν θεόν. καὶ τὸ εἶναί ἐστι, καὶ λέγεται· διὸ ἐν τῷ θεῷ ἐστι τὸ εἶναι, ὡς ἰδέα· οὐ μήν ὁ θεός, ἐν τῷ εἶναί ἐστι. πρὸ γὰρ τοῦ εἶναι ἦν· ὅμως διὰ τὸ πάντων αἴτιος εἶναι...καὶ ἔξω πάντων ἐστίν, ὡς αἴτιος τούτων Max.*schol.d.n.* 5.8(M.4.325B).

D. uncreated and created being contrasted; **1.** God as ὁ ὤν or τὸ ὄν; **a.** opp. τὸ μὴ ὄν (= creatures): πανταχόθεν καθαρεύει τὸ ὄντως ὂν τῆς πρὸς τὸ μὴ ὂν κοινωνίας Gr.Nyss.*Eun.*9(2 p.221.19; M.45.820D); οὐδὲ γάρ ἐστιν ὁ θεὸς ὃν ἤτοι κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τοῖς οὖσιν, ἵνα δηλωθῇ τελείως διά τινος τῶν ὄντων, ἀλλ' ὁ ὤν, τουτέστιν ὁ κυρίως ...ἔχων τὴν ὕπαρξιν, παρ' οὗ καὶ πάντα τὰ ὄντα διὰ ἀγαθότητα μόνην ἐξ οὐκ ὄντων προήχθησαν...καὶ καθ' ὁμωνυμίαν ὄντα προσηγορεύθησαν ‡Gr.Nyss.*hom.*6.43 *in Jo.*(p.216.22ff.); cf. ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν. τὸ δὲ μὴ κυρίως ὄν, πῶς θεός; Gr.Naz.*or.*42.17(M.36.477C); **b.** opp. τὰ ὄντα: ἔστι γὰρ τοῦτο τῆς πάντων αἰτίας...τὸ πρὸς κοινωνίαν ἑαυτῆς τὰ ὄντα καλεῖν, ὡς ἑκάστη τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας. πάντα μὲν οὖν τὰ ὄντα μετέχει προνοίας...οὐ γὰρ ἂν ἦν, εἰ μὴ τῆς τῶν ὄντων οὐσίας καὶ ἀρχῆς μετειλήφει. τὰ μὲν οὖν ἄζωα πάντα, τῷ εἶναι αὐτῆς μετέχει· τὸ γὰρ εἶναι πάντων ἐστὶν ἡ ὑπὲρ τὸ εἶναι θεότης Dion.Ar.*c.h.* 4.1(M.3.177C,D); νοῦς ὤν, ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν. εἰ οὖν νοῦν ἑαυτὸν τὰ ὄντα νοεῖ, αὐτός ἐστι τὰ ὄντα· ἢ γὰρ ἑτέρωθι ὄντα αὐτὰ νοήσει, ἢ ἐν ἑαυτῷ, ὡς αὐτοῦ ὄντα· ἀλλαχοῦ μὲν ὄντα οὖν οὐ δυνατὸν νοῆσαι· ποῦ γὰρ ὄντα ἐν αἰσθητοῖς; τὰ γὰρ αἰσθητὰ οὐκ εἰσὶν ὄντα, ἅτε τρεπτὰ ὄντα, καὶ γινόμενα, καὶ ἀπολλύμενα. ἑαυτὸν οὖν ἄρα καὶ ἐν ἑαυτῷ νοεῖ. ἐπειδὴ δὲ καὶ ποιητὴς τῶν ὄντων ἐστὶν ὁ θεός, ἐν τῷ μήπω ὄντι νοήσει αὐτά· καὶ ἃ νοεῖ, οὐ τύπους λαμβάνων ἀφ' ἑτέρων, αὐτὸς ὢν τῶν ὄντων παράδειγμα· ὥστε οὔτε αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ ὡς ἐν τόπῳ· ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχων, καὶ ἑνὼν αὐτοῖς, πάντων μὲν ὁμοῦ ὄντων, καὶ ἐν ἀμερεῖ ὄντων ἐν αὐτῷ· διακεκριμένων δέ, ἐν τῷ ἀμερεῖ ἀμερῶς. αἱ τοίνυν νοήσεις αὐτοῦ εἰσι τὰ ὄντα· τὰ δὲ ὄντα εἰσὶ τὰ εἴδη Max.*schol.d.n.*5.6(M.4.320B,C); πάντα τὰ ὄντα, ἢ κτιστά ἐστιν, ἢ ἄκτιστα. εἰ γὰρ κτιστά, πάντως καὶ τρεπτά· ὧν γὰρ τὸ εἶναι ἀπὸ τροπῆς ἤρξατο, ταῦτα τῇ τροπῇ ὑποκείσεται πάντως...εἰ δὲ ἄκτιστα...πάντως καὶ ἄτρεπτα. ὧν γὰρ τὸ εἶναι ἐναντίον, τούτων καὶ ὁ τοῦ πῶς εἶναι λόγος ἐναντίος Jo.D.*f.o.*1.3(M.94.796A,B); οὐδὲν γὰρ τῶν ὄντων ἐστὶν [sc. ὁ θεός]· οὐχ ὡς μὴ ὤν, ἀλλ' ὡς ὑπὲρ πάντα τὰ ὄντα, καὶ ὑπὲρ αὐτὸ τὸ εἶναι ὤν *ib.*1.4(800B); **2.** Gen.1:1 contrasted with Jo. 1:1 τί γὰρ...κοινὸν ἔχει πρὸς τό, 'ἐποίησε', τό, 'ἦν'; τί δὲ ὁ θεὸς πρὸς τὸν ἄνθρωπον;...ἐνταῦθα γὰρ τό, 'ἦν', οὐ δείκνυσι τὸ ἀίδιον μόνον, ἀλλὰ καὶ τό, 'ἐν ἀρχῇ ἦν', καὶ τό, 'ὁ λόγος ἦν'. ὥσπερ οὖν τό, ὤν, ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον· ὅταν δὲ περὶ θεοῦ, τὸ ἀίδιον δείκνυσιν· οὕτω καὶ τὸ 'ἦν', περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα σημαίνει χρόνον ἡμῖν, καὶ αὐτὸν τοῦτον πεπερατωμένον· ὅταν δὲ περὶ θεοῦ, τὸ ἀίδιον ἐμφαίνει Chrys. *hom.*3.2 *in Jo.*(8.18E–19A); *ib.*3.3(19D–20A); ὅπου...δημιουργία, ἔταξε Μωυσῆς τὸ ἐποίησεν, ὅπου δὲ δημιουργὸς ἔταξεν ὁ εὐαγγελιστὴς τὸ ἦν. πολὺ δὲ τὸ μέσον τοῦ ἐποίησε καὶ τοῦ ἦν· τὸ μὲν γὰρ ἐγένετο μὴ ὄν, ὁ δὲ ἦν ἀεὶ ὤν. ἐν ἀρχῇ ἐποίησε καὶ ἐν ἀρχῇ ἦν· θεοῦ γὰρ τὸ εἶναι, κτίσματος δὲ τὸ γίνεσθαι, ὥσπερ καὶ ὁ εὐαγγελιστὴς μερίζει...ὃ ἦν ἐν ἀρχῇ ζωὴ ἦν. ἑξάκις λέγει τὸ ἦν, ἵνα ἑρμηνεύσῃ τὸ ὤν. περὶ δὲ τοῦ οἰκέτου, ὅτε ἐκήρυξε τὸν ὄντα, λέγει· ἐγένετο ἄνθρωπος. θεὸς ἦν, ἄνθρωπος δ' ἐγένετο †Jo.D.*creat.*1(p.59); **3.** exeg. 1Cor.1:28 and Rom.4:17 τίνα δὲ τὰ μὴ ὄντα ἢ οἱ ἐστερημένοι τοῦ ὄντος καὶ μὴ μετέχοντες αὐτοῦ, οὕτω καλούμενοι πρὸς ἀντιδιαστολὴν τῶν μετεχόντων τοῦ εἰπόντος, 'ἐγώ εἰμι ὁ ὤν'; καλεῖ δὲ τὰ μὴ ὄντα ἵνα ὑπακούσασιν αὐτοῖς χαρίσηται τὸ εἶναι. ἀλλ' ἴσως τις πρὸς ταῦτα ἐρεῖ, πῶς ὁ ἀπόστολος ἑτέρωθί φησι μεθ' ἕτερα, 'ἐξελέξατο ὁ θεὸς τὰ μὴ ὄντα ἵνα τὰ ὄντα καταργήσῃ'; ἀλλ' εὔδηλον ὡς ἕτερόν ἐστι τοῦτο σημαινόμενον τοῦ ὄντος καὶ μὴ ὄντος ὅσον ἀπὸ πάσης τῆς ἐκεῖσε συμφράσεως· ὄντες μὲν γὰρ ἐνθάδε οἱ κατὰ σάρκα σοφοὶ...μὴ ὄντες δὲ οἱ ἄλλως παρὰ τούτοις διακείμενοι ὡς πρὸς τὴν ἐκείνων ὑπόληψιν Or.*Rom.*4:17(*JTS* 13 p.361); Eph.1:1 ἐπὶ μόνων Ἐφεσίων εὑρομεν κείμενον τό, 'τοῖς ἁγίοις τοῖς οὖσι'· καὶ ζητοῦμεν...τί δύναται σημαίνειν. ἆρα οὖν εἰ μὴ ὥσπερ ἐν τῇ Ἐξόδῳ ὄνομά φησιν ἑαυτοῦ ὁ χρηματίζων Μωσεῖ τὸ ⟨ὁ⟩ ὤν, οὕτως οἱ μετέχοντες τοῦ ὄντος γίνονται ὄντες, καλούμενοι οἱονεὶ ἐκ τοῦ μὴ εἶναι εἰς τό εἶναι, 'ἐξελέξατο' γὰρ 'ὁ θεὸς τὰ μὴ ὄντα...ἵνα τὰ ὄντα καταργήσῃ.' καὶ ζητήσει τις, πῶς τὰ ὄντα καταργεῖ...ἐὰν γάρ τις μετεσχηκὼς τοῦ εἶναι ἐπιλαθόμενος τῆς μετοχῆς, ἑαυτῷ καταχαρίσηται τὴν τοῦ εἶναι αἰτίαν, καὶ μὴ τὴν πᾶσαν εὐχαριστίαν ἀναφέρῃ ἐπὶ τὸν ἐκ τοῦ μὴ εἶναι τὸ εἶναι αὐτῷ ὅμοιον κατ' εἰκόνα χαρισάμενον, τότε καταργεῖται τὸ ὄν id.*Eph.*1:1(p.235).

E. the being of the Son; **1.** ⟨Marcellus⟩, ref. Ex.3:14 'ἐγώ εἰμι ὁ ὤν', λέγει μὲν τῷ Μωσεῖ ὁ πατήρ, λέγει δὲ δηλονότι διὰ τοῦ λόγου Marcell. *fr.*56 ap.Eus.*Marcell.*2.2(p.40.35; M.24.792D); πῶς γὰρ ἐγχωρεῖ τὸν λέγοντα 'ἐγώ εἰμι ὁ ὤν' μὴ συνομολογεῖν ὅτι κατὰ ἀντιδιαστολὴν τοῦ μὴ ὄντος ὁ ὢν ἑαυτὸν εἶναί φησιν; εἰ δὲ τὸν υἱὸν ὑποστάσει διῃρημένον τοῦτο φάσκοι λέγειν τό, 'ἐγώ εἰμι ὁ ὤν', ταὐτὸν αὖθις περὶ τοῦ πατρὸς λέγειν νομισθήσεται· ἑκάτερον δὲ τούτων ἀσεβές id. *fr.*58 ap.Eus.*e.th.*2.19(p.123.16ff.; M.24.944B); εἶτ' οὖν ὁ πατὴρ λέγοι εἴθ' ὁ υἱὸς τό, 'ἐγώ εἰμι ὁ ὤν', ἀληθεύοι ἂν ἑκατέρως ὁ λόγος. ὅ τε γὰρ πατὴρ 'ὁ ὤν' εἴη ἄν, μόνος αὐτὸς ὢν ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν θεός'...ὅ τε υἱὸς καὶ αὐτὸς χρηματίζων 'ὁ ὤν' ἀληθεύοι ἄν, μόνος ὢν υἱὸς μονογενὴς τοῦ ὄντος· ἀλλὰ καὶ εἰκὼν τοῦ ἀοράτου θεοῦ ὑπάρχων κατὰ τοῦτο εἴη ἂν αὐτοῦ εἰκών, καθ' ὃ μόνος ἦν αὐτὸς ὁ ὤν· διὸ καὶ αὐτὸς χρηματίζοι ἂν 'ὁ ὤν' Eus.*e.th.*2.20(p.129.28ff.; 953C); **2.** in early stages of Arian controversy; **a.** Arian position οὐκ ἦν πρὸ τοῦ γεννηθῆναι...οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει...διὸ καὶ πρὸ τοῦ υἱοῦ ἐστιν [sc. Father]...καθὸ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει...κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ὡς θεὸς αὐτοῦ καὶ πρὸ αὐτοῦ ὤν Ar.*ep. Alex.*(p.13.9; M.26.709B,C); λεγόντων ὅτι ἦν πότε ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ, καὶ γέγονεν ὕστερον ὁ πρότερον μὴ ὑπάρχων...'πάντα γάρ', φασίν, 'ὁ θεὸς ἐξ οὐκ ὄντων ἐποίησε', συναναλαμβάνοντες τῇ τῶν ἁπάντων...κτίσει καὶ τὸν υἱὸν τοῦ θεοῦ. οἷς ἀκολούθως καί φασιν αὐτὸν τρεπτῆς εἶναι φύσεως...καὶ τῇ ἐξ οὐκ ὄντων ὑποθέσει καὶ τὰς θείας τοῦ εἶναι αὐτὸν ἀεὶ συναιροῦντες γραφάς Alex.Al.*ep. Alex.*2(p.21. 8ff.; M.18.552A,B); **b.** refuted ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὔτε ἐξ οὐκ ὄντων γεγένηται, οὔτε ἦν πότε ὅτε οὐκ ἦν, αὐτάρκης ἐπαίδευσεν Ἰωάννης ὁ εὐαγγελιστής...[Jo.1:8]...ἀλλὰ γὰρ καὶ ὅτι τοῖς ἐξ οὐκ ὄντων γενομένοις ὁ λόγος τοῦ θεοῦ οὐ συναριθμεῖται, πάντα δι' αὐτοῦ γεγονέναι φησὶν ὁ αὐτὸς Ἰωάννης...εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, πῶς ὁ τοῖς γενομένοις τὸ εἶναι χαρισάμενος αὐτός ποτε οὐκ ἦν...αὐτὸς μὲν ἦν ἐν ἀρχῇ, πάντα δὲ δι' αὐτοῦ ἐγένετο [καὶ ἐξ οὐκ ὄντων ἐποίησεν]. ἐναντίον γὰρ δοκεῖ τοῖς ἐξ οὐκ ὄντων γενομένοις τὸ ὂν καὶ ἀφεστηκὸς σφόδρα *ib.*4 (p.22.4ff.; 553A,B); ἀσεβεστάτης οὖν φανείσης τῆς ἐξ οὐκ ὄντων ὑποθέσεως, ἀνάγκη τὸν πατέρα ἀεὶ εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ, δι' ὃν χρηματίζει πατήρ...εἰ δὲ καὶ ἡ εἰκὼν τοῦ θεοῦ οὐκ ἦν ἀεί, δῆλον ὅτι οὐδὲ οὗ ἐστιν εἰκὼν ἔστιν ἀεί. ἀλλὰ καὶ τῷ μὴ εἶναι τὸν τῆς ὑποστάσεως τοῦ θεοῦ χαρακτῆρα συναναιρεῖται κἀκεῖνος ὁ πάντως ὑπ' αὐτοῦ χαρακτηριζόμενος *ib.*7(pp.23.28–24.5; 557B,C); **c.** orthodox confession of faith πιστεύομεν...εἰς μόνον ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα...καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν...γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ ὄντος πατρὸς *ib.*12(p.27.1ff.; 565A,B); **3.** Athanasian argument ὁ δὲ θεὸς ὢν ἐστι, καὶ οὐ σύνθετος· διὸ καὶ ὁ τούτου λόγος ὢν ἐστι, καὶ οὐ σύνθετος...τῶν μὲν γὰρ γενητῶν ἡ φύσις, ἅτε δὴ ἐξ οὐκ ὄντων ὑποστᾶσα, ῥευστή τις καὶ ἀσθενὴς...τυγχάνει· ὁ δὲ τῶν ὅλων θεὸς ἀγαθός...ἐστί... ἀγαθῷ γὰρ περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν οὐδὲ τὸ εἶναί τινι φθονεῖ, ἀλλὰ πάντας εἶναι βούλεται...ὁρῶν οὖν τὴν γενητὴν πᾶσαν φύσιν...ῥευστὴν οὖσαν καὶ διαλυομένην· ἵνα μὴ...πάλιν εἰς τὸ μὴ εἶναι ἀναλυθῇ τὸ ὅλον...τῷ ἑαυτοῦ λόγῳ...τὴν σύμπασαν διακυβερνᾷ καὶ καθίστησιν, ἵνα, τῇ τοῦ λόγου ἡγεμονίᾳ...φωτιζομένη ἡ κτίσις, βεβαίως διαμένειν δυνηθῇ, ἅτε δὴ τοῦ ὄντως ὄντος ἐκ πατρὸς λόγου μεταλαμβάνουσα καὶ βοηθουμένη δι' αὐτοῦ εἰς τὸ εἶναι· μὴ ἄρα πάθῃ ὅπερ ἂν ἔπαθεν, εἰ μὴ ὁ λόγος αὐτὴν ἐτήρει, λέγω δὴ τὸ μὴ εἶναι Ath. *gent.*41(M.25.81C–84B); τὰ μὲν κτίσματα ὑπὸ τὴν ἀρχὴν πεποίηται, καὶ διαστηματικὴν ἀρχὴν τοῦ εἶναι ἔχει...ἀπὸ γὰρ ἀρχῆς τινος τοῦ μὴ εἶναί ποτε γέγονε καὶ ἐκτίσθη τὰ γενητά...οὐκοῦν τὰ μὲν κτίσματα ἤρξατο γίνεσθαι· ὁ δὲ τοῦ θεοῦ λόγος...οὐκ ἔχων ἀρχὴν τοῦ εἶναι, εἰκότως οὐκ ἤρξατο τοῦ εἶναι, οὐδὲ ἤρξατο γίνεσθαι, ἀλλ' ἦν ἀεί...καὶ τῶν μὲν γενητῶν τὸ εἶναι ἐν τῷ γίνεσθαι μετρεῖται, καὶ ἀπό τινος ἀρχῆς ἄρχεται ταῦτα διὰ τοῦ λόγου ποιεῖν ὁ θεός, ἵνα καὶ τὸ μὴ εἶναι,

πρὶν γενέσθαι, ταῦτα γινώσκηται· ὁ δὲ λόγος τὸ εἶναι οὐκ ἐν ἄλλῃ ἀρχῇ ἔχει, ἀλλ' ἐν τῷ πατρί id.*Ar.*2.57(M.26.268C–269B); ref. 2Cor.5:18 ὅτι, τοῦ θεοῦ ὄντος, τὰ πάντα παρ' αὐτοῦ διὰ τοῦ λόγου οὐκ ὄντα πρότερον εἰς τὸ εἶναι γέγονε, διὰ τοῦτο εἴρηται τὸ ἐκ τοῦ θεοῦ· ὁ δὲ λόγος, ἐπεὶ μὴ κτίσμα ἐστίν...ἔστι μόνος ἐκ τοῦ πατρός· τῆς δὲ τοιαύτης διανοίας γνώρισμα τὸ εἶναι τὸν υἱὸν ἐκ τῆς οὐσίας τοῦ πατρός id.*decr.*19 (p.16.14; M.25.449B); **4.** Eunomian controversy; **a.** orthodox position ὁ υἱὸς πρὸ αἰῶνος ὤν, καὶ ἀεὶ ὤν, οὐκ ἤρξατο τοῦ εἶναί ποτε Bas. *Eun.*2.12(1.247B; M.29.593B); **b.** Eunomian contradiction λεγόντων, ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρῆχθαι *ib.*(247D; M.593C); ἤτοι γὰρ ὄντα, φησίν [sc. Eunomius], ἐγένησεν ὁ θεὸς τὸν υἱόν, ἢ οὐκ ὄντα. ἀλλ' εἰ μὲν οὐκ ὄντα, μηδείς μοι, φησί, τόλμαν ἐπεγκαλείτω. εἰ δὲ ὄντα, οὐκ ἀτοπίας μόνον...ἀλλὰ καὶ πάσης εὐηθείας ὑπερβολὴν ὁ λόγος ἔχει· τῷ γὰρ ὄντι οὐ δεῖ γεννήσεως *ib.*2.14(248D,E; M.597B); μὴ ὄντα φαμὲν τὸν υἱὸν γεγεννῆσθαι *ib.*2.18(1.253C; M.609A); **c.** Basil's refutation, exeg. Jo.1:1 οὔτε τό, ἦν, διαβάντας τῷ λογισμῷ, εἰς τὸ ὅτε οὐκ ἦν δυνατὸν ὑπερκύψαι. ἀθέτησις γάρ ἐστι τοῦ ἦν, ἡ τοῦ ὅτι οὐκ ἦν ἐπίνοια *ib.*2.14(249C; M.600A); [Apoc.1:8] οἷον γὰρ τὸ ὤν, τοιοῦτον καὶ τὸ ἦν, ἀΐδιον ὁμοίως καὶ ἄχρονον...ἀνεπινόητον μὲν γὰρ τῆς ἀρχῆς τὸ πρεσβύτερον, ἀχώριστον δὲ ταύτης τοῦ θεοῦ λόγου τὸ εἶναι *ib.*(249D,E; M.600B); οὐ παύσῃ μὴ ὄντα προσαγορεύων...τὸν ὄντως ὄντα...τὸν πᾶσι τοῖς οὖσι τοῦ εἶναι παρεκτικόν;...ἐγὼ γάρ εἰμι, φησίν, ὁ ὤν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ μὴ οὐχὶ ἐκ προσώπου τοῦ κυρίου εἰρῆσθαι... τίς οὖν ὁ αὐτὸς καὶ ἄγγελος καὶ θεός; ἆρα οὐχὶ περὶ οὗ μεμαθήκαμεν, ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος; *ib.*2.18(253D; M.609A); εἰς τὸν κατόπιν χρόνον ἐπανελθόντες τῷ λόγῳ...μὴ εἶναί ποτε τὸν υἱὸν βλασφημοῦντες, ὡς τῇ μὲν ἑαυτοῦ φύσει μὴ ὄντα, χάριτι δὲ εἰς τὸ εἶναι ὑπὸ τοῦ θεοῦ παραχθέντα; εἶτα ἦν ὁ Παῦλος περὶ τῶν εἰδώλων ἀφῆκε φωνήν, εἰπών· ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς *ib.*2.19 (254C,D; M.612B); **d.** refutation by Gr. Nyss. πᾶσαν τὴν διὰ τῶν σοφισμάτων κατασκευὴν τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα οὐδὲν ἄλλο ἢ παράβασιν τοῦ Χριστιανισμοῦ...εἶναι διοριζόμεθα. καὶ γὰρ εὐαγγελιστοῦ διὰ τῆς θεολογίας πανταχόθεν ἐξορίσαντος τὸ μὴ ὂν ἐκ τοῦ ὄντος καὶ διὰ τῆς συνεχοῦς τοῦ 'ἦν' ἐπαναλήψεως τὴν τοῦ μὴ εἶναι ὑπόνοιαν ἐπιμελῶς ἐξαλείψαντος, μονογενῆ δὲ...λόγον θεοῦ... κατονομάσαντος, παγίαν ἔχομεν ταύτην ἐν ἑαυτοῖς τὴν κρίσιν..., ὅτι εἰ θεός ἐστιν ὁ...υἱός, ἀεὶ χρὴ πιστεύειν αὐτὸν εἶναι, τὸν θεὸν πεπιστευμένον. ἀλλὰ μὴν εἰ ἀληθῶς ἐστι θεός, καὶ ἀεὶ πάντως ἔστι καὶ οὐδέποτε ἐν τῷ μὴ εἶναι καταλαμβάνεται. θεὸς γάρ...εἰ νῦν ἔστι, καὶ ἀεὶ πάντως ἦν. εἰ δέ ποτε μὴ ἦν, οὐδὲ νῦν ἔστιν ὅλως. ἀλλ' ἐπειδὴ τὸ υἱὸν εἶναι τὸν μονογενῆ θεὸν καὶ εἰσαεὶ διαμένειν...ὁμολογεῖται, τοῦτό φαμεν ὅτι ἐν τῷ πατρὶ ὢν οὐ καθ' ἕν μόνον ἐστὶν ἐν αὐτῷ, ἀλλὰ κατὰ πάντα ὅσα νοεῖται ὁ πατήρ, διὰ πάντων ἐστὶν ἐν αὐτῷ Gr.Nyss.*Eun.*8 (2 p.178.28ff.; M.45.772B,C); Eunomian conception of relation of being of Father to being of Son discussed, *ib.*10(2 p.247.29ff.; 852Bff.); *ib.*9(2 p.220.28ff.; 820Cff.); πεπιστευκέναι τὴν ἐκκλησίαν... υἱὸν...κατὰ φύσιν γεννητῶς ἐκ τοῦ ὄντος ὄντα *ib.*4(2 p.79.15; 653B); ὁ τῇ τοῦ ὄντος ἐπωνυμίᾳ ἑαυτὸν γνωρίσας, ὁ μονογενὴς ἐστι θεός *ib.*11(2 p.263.1; 869D); **5.** in later fathers; **a.** Cyril ἀγνοοῦσιν...ὅτι τὸ ὄντως ὂν καὶ κατ' οὐσίαν τίκτειν δυνάμενον, τὸ θεῖόν ἐστιν. αὐτὸ γὰρ δὴ περὶ ἑαυτοῦ φησιν· 'ἐγώ εἰμι ὁ ὤν', ὡς τῶν ἄλλων ἁπάντων, οὐκ ὄντων μὲν πρὶν γενέσθαι, βουλήσει δὲ θείᾳ πρὸς τὸ εἶναι παρενεχθέντων. οὐκοῦν τὸ ὄντως ὄν, ᾧ καὶ τὸ εἶναι κυριώτατον ὄνομα, αὐτὸ δὴ καὶ μόνον κατ' οὐσίαν γεννήσει Cyr.*thes.*13(5[1].133A,B); ref. Jo.1:1 πῶς δὲ ἡμῖν οὐκ ἀρκέσει τὸ 'ἦν', πρὸς ἀνατροπὴν τῶν πεποιῆσθαι λεγόντων αὐτόν; εἰ γὰρ ἦν, οὐκ ἐγένετο· εἰ ἐγένετο, οὐκ ἦν. ἐπειδὴ δὲ ἦν, οὐκ ἐγένετο· τὸ γὰρ ὂν καὶ ὑπάρχον ἤδη, καὶ τοῦτο ἐν ἀρχῇ, οὐκ ἂν λέγοιτο πεποιῆσθαί ποτε *ib.*32(5[1].312C); id.*Jo.*1.1(4.11A); ἐπιπλέκει δὲ τῷ τῆς ἀρχῆς ὀνόματι χρησίμως τὸ 'ἦν', ἵνα μὴ μόνον εὐκλεής, ἀλλὰ νοῆται καὶ προαιώνιος· τέθειται γὰρ ἐν τούτοις τὸ 'ἦν', εἰς βαθεῖάν τινα...καὶ τὴν ἔξω χρόνων ἄρρητον γένεσιν ἀνατεῖνον τοῦ θεωροῦντος τὴν ἔννοιαν *ib.*(14B); *ib.*1.2 (15C); οὐ μόνον ἦν ὁ λόγος πρὸς θεόν, ἀλλ' ἦν καὶ θεός, ἵνα διὰ μὲν τοῦ εἶναι πρὸς θεόν, ἕτερος ὢν παρὰ τὸν πατέρα γνωρίζηται, καὶ υἱὸς ὑπάρχειν...πιστεύηται· διὰ δὲ τοῦ εἶναι θεός, ὁμοούσιός τε καὶ ἐξ αὐτοῦ νοῆται κατὰ φύσιν...ἦν οὖν καὶ θεός· οὐ γέγονεν ὕστερον, ἀλλὰ πάλιν ἦν, εἰ καὶ ὅτι μάλιστα τῷ εἶναι θεὸν ἀκολουθήσει πάντως καὶ τὸ ἀϊδίως εἶναι, ἐπεὶ τὸ ἐν χρόνῳ γεγονός, ἢ καὶ ὅλως ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθέν, οὐκ ἂν εἴη φύσει θεός. ἔχοντος...τοῦ θεοῦ λόγου διὰ μὲν τοῦ ἦν τὸ ἀΐδιον, διὰ δὲ τοῦ εἶναι θεὸν τὸ πρὸς τὸν πατέρα ὁμοούσιον *ib.*1.3(20A,C); **b.** Jo. D. οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὁ υἱὸς τοῦ θεοῦ...ἀλλ' ἀεὶ ἦν σὺν τῷ πατρί...οὐ γὰρ ἦν ποτε ὁ πατήρ, ὅτε οὐκ ἦν ὁ υἱός...εἰ δὲ ἦν μὴ ἔχων υἱόν, οὐκ ἦν πατήρ· καὶ εἰ μετὰ ταῦτα ἔσχεν υἱόν, μετὰ ταῦτα ἐγένετο πατήρ, μὴ ὢν πρὸ τούτου πατήρ, καὶ ἐτράπη ἐκ τοῦ μὴ εἶναι πατὴρ εἰς τὸ γενέσθαι πατήρ· ὅπερ πάσης βλασφημίας ἐστὶ χαλεπώτερον Jo.D.*f.o.*1.8(M.94.812A); ἐὰν εἴπῃ ὁ αἱρετικὸς ὁ λόγος γενόμενος ἦν καὶ πρὶν γενέσθαι οὐκ ἦν, τί πλέον ἔσχε τῆς γῆς; καὶ γὰρ περὶ τῆς γῆς εἶπε Μωυσῆς· ἡ δὲ γῆ ἦν. εἰ οὖν τό, ἐν ἀρχῇ, εἰς ποίησιν λαμβάνουσι καὶ οὐ κατὰ τὴν ἀΐδιον φύσιν, οὐδὲν πλέον ἔχει τῆς γῆς· καὶ γὰρ ὁ θεὸς λόγος ἦν καὶ ἡ γῆ ἦν. ἀλλ' ἐκεῖ μὲν ἐν ἀρχῇ ἦν μὴ γενόμενος ὁ ἀεὶ ὤν, ἡ δὲ γῆ γενομένη ἦν †Jo.D.*creat.*1(p.59); cf. Chrys.*hom.*2.4 *in Jo.*(8.13B,C); **6.** credal οὐ πάντοτε...εἶναι ἠδύνατο, εἰ ἀρχὴν ἔλαβεν, ὅτι ὁ πάντοτε ὢν ἀρχὴν οὐκ ἔχει λόγος CSard.*ep.cath.* ap.Thdt.*h.e.*2.8.42(3.845); ὁμολογοῦμεν...μονογενῆ τὸν λόγον, ὃς πάντοτε ἦν καὶ ἔστιν ἐν τῷ πατρί...ὃ πάντοτέ ἐστιν, οὐδέποτε τοῦ εἶναι ἤρξατο οὐδὲ ἐκλείπειν δύναται *ib.*2.8.44(846); τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν...καὶ ὅτι ἦν χρόνος ποτὲ ἢ αἰών, ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ...ἐκκλησία *Symb.Ant.*(345)2(p.252.4; M.26.728C) = *Symb. Sirm.*1 *anath.*1; οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν υἱὸν λέγειν ἀσφαλές...ἀλλ' οὐδὲ τὸ ἦν ποτε ὅτε οὐκ ἦν ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας χρονικόν τι διάστημα προενθυμητέον αὐτοῦ, ἀλλὰ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα θεόν *Symb.Ant.*(345)3(p.252.10; M.26.729A).

F. of created being; **1.** creation *ex nihilo* ἐκάλεσεν γὰρ ἡμᾶς οὐκ ὄντας καὶ ἠθέλησεν ἐκ μὴ ὄντος εἶναι ἡμᾶς *2Clem.*1.8; ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προαγαγεῖν Eus.*e.th.*1.12(p.71.5; M.24.845D); as activity of Son, *ib.*2.6(p.103.33; 908B); Ath.*inc.*42.2(M.25.169B); id. *Ar.*3.19(M.26.361C); τῷ γὰρ γενικῷ τῆς προηγορίας ἓν κατὰ πάντων ἐστὶ τῶν ἐκ τοῦ μὴ ὄντος ὑποστάντων τὸ τῆς κτίσεως ὄνομα Gr.Nyss. *Eun.*5(2 p.120.8; M.45.701A); *ib.*9(2 p.223.23; 824A); Epiph.*haer.*69. 59(p.208.3; M.42.296B); affirmed by Christians opp. philosophers, acc. whom δημιουργός...μὴ δυνάμενος ἐκ μὴ ὄντων ὑποστῆναι τὰ ὄντα Proc.G.*Gen.*proem.(M.87.29B); **2.** characterized by having a beginning, Ath.*ep.Afr.*8(M.26.1044A); ‡Ath.*Ar.*4.27(p.75.23; M.26. 509C).

G. not to be predicated of evil ἔξω δὲ αὐτῆς [sc. divine nature] οὐδέν, ὅτι μὴ ἡ κακία μόνη, ἥτις, εἰ καὶ παράδοξον εἰπεῖν, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλη τίς ἐστι καὶ κακίας γένεσις, εἰ μὴ τοῦ ὄντος στέρησις. τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν. ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάντως ἐστίν Gr.Nyss.*anim.et res.*(M. 46.93B); οὐκ ἔστι τὸ κακόν, ἢ κακόν, οὔτε ὄν, οὔτε ἐν τοῖς οὖσι Dion. Ar.*d.n.*4.33(M.3.733A).

H. ref. H. Ghost: his being is not derived from creatures; hence he is divine, Ath.*ep.Serap.*3.2(M.26.628B).

I. of flesh of Christ, ref. Pr.8:22 ἔκτισεν γὰρ ἀληθῶς τὸ μὴ ὂν πεποιηκὼς ὁ δεσπότης ἡμῶν θεός· οὐκ οὖσαν ⟨γὰρ⟩ τὴν σάρκα, ἣν ἀνείληφεν ὁ λόγος ⟨ἀλλὰ μὴ οὖσαν ἔκτισεν⟩ Marcell.*fr.*10 ap.Eus. *Marcell.*2.3(p.46.26ff.; M.24.801D).

J. in rel. to time ἡ τῷ χρόνῳ προήκουσα τῆς μεταγενεστέρας οὐσίας τί μᾶλλον ἔχει τὸ εἶναι, κατ' αὐτὸν λέγω τὸν τοῦ εἶναι λόγον, ὥστε τὴν μὲν ἀνωτάτω καὶ κυρίαν λέγειν, τὴν δὲ μὴ οὕτως ἔχειν; Gr.Nyss.*Eun.* 1(1 p.73.20; M.45.304B).

K. εἶναι θείως *exist divinely, be deified,* Dion.Ar.*e.h.*2.1(M.3. 392B).

L. Basilidean: of primal aeon οἱ μὲν...λέγουσι...μήτε ὅλως ὄντα τι Iren.*haer.*1.11.5(M.7.569A); Βασιλείδης...λέγει εἶναι θεὸν οὐκ ὄντα, πεποιημένον κόσμον ἐξ οὐκ ὄντων οὐκ ὄντα...ἔχειν γὰρ ἐν ἑαυτῷ τὰ πάντα οἷον οὐκ ὄντα ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι προβεβουλευμένα. ἦν οὖν, φασί, ἐν αὐτῷ τῷ σπέρματι υἱότης τριμερής, κατὰ πάντα τῷ οὐκ ὄντι θεῷ ὁμοούσιος ἐξ οὐκ ὄντων Hipp.*haer.*10.14(p.274.17ff.; M.16. 3427C–3430A).

***εἴποθεν,** *if from anywhere,* Nonn.*par.Jo.*7:31(M.43.809B *divisim*).

***εἰρηναγωγέω,** *lead in peace, peacefully,* Clem.*paed.*1.8(p.128.23; M.8.329A).

εἰρηναῖος, 1. *peaceable, peaceful* εἰ. ψυχῇ δέξασθαι τοὺς περὶ Ἄρειον Ath.*apol.sec.*84(p.163.5; M.25.400A); εἰ. γράμματα Soz.*h.e.* 8.3.5(M.67.1520D); spiritually εἰ. ὕμνοις Dion.Ar.*d.n.*11.1(M.3. 948D); ἄρτου καὶ ποτηρίου κοινὴ καὶ εἰ. μετάδοσις [i.e. in eucharist] id.*e.h.*3.3.1(M.3.428B); ref. union with God, *ib.*3.3.8(437A); τῆς τριάδος...ἧς οὐδὲν οὕτως...πρὸς ἑαυτὴν εἰρηναῖον Gr.Naz.*or.*22.14 (M.35.1148B); neut. plur. as subst., Ath.*inc.*50.5(εἰρήνην M.25.185C); **2.** *prescribed by peace treaty,* of reparations τὰ εἰ. χρήματα Men.*exc. Rom.*16(p.210.15; M.113.909C); *ib.*20(p.220.31; 925D).

εἰρηνάρχης, ὁ, *prince* or *author of peace*; of Christ, ‡Meth.*palm.*6 (M.18.393D); ὁ πνευματικὸς Σολομών, ὁ εἰ. Jo.D.*hom.*9.12(M.96.740A); ‡Jo.D.*hom.*6.10(M.96.677A).

***εἰρηναρχία, ἡ,** *principle of peace*; as divine name, Dion.Ar.*d.n.* 11.1(M.3.949A).

εἰρηναρχικός, *belonging to the police* εἰ. τάξις *M.Con.*2.2.

εἰρήναρχος, ὁ, *prince of peace*; of Christ, ‡Epiph.*hom.*6(M.43. 504B).

εἰρηνεύ-ω, 1. *make, establish peace, reconcile*; **a.** in gen. ~σεις δὲ μαχομένους *Did.*4.3=*Barn.*19.12; Eus.*v.C.*3.15(p.84.2; M.20.1072A);

Gr.Naz.*ep.*185(M.37.301B); eccl. legislation *τὰ δικαστήρια ὑμῶν γινέσθω δευτέρᾳ σαββάτων, ὅπως...ἕως σαββάτου ἔχοντες ἄδειαν δυνηθείητε...~σαι εἰς τὴν κυριακὴν τοὺς διαφερομένους πρὸς ἀλλήλους Const.App.*2.47.1; **b.** of reconciliation of heretics, Ath.*tom.*8(M.26.805A); id.*ep.Epict.*12(p.18.5; M.26.1069A); **c.** spiritual, *pacify Χριστέ ...~σόν μου τὸν λογισμόν A.Xanthipp.*18(p.78.20); Mac.Aeg.*hom.* 8.6(M.34.532B); ‡Proc.G.*Pr.*1:1(M.87.1221B); Dor.*doct.*17.2(M.88.1801C); *δόξα...τῇ...τριάδι, τῇ...~ούσῃ τὴν ζωὴν ἡμῶν Lit.Jac.*(p.160.7); **2.** *live, be at peace, have peace*; **a.** of Church *τὸ ποίμνιον τοῦ Χριστοῦ ~έτω μετὰ τῶν καθεσταμένων πρεσβυτέρων 1Clem.*54.2; *ἐκκλησίᾳ...~ούσῃ ἐν σαρκὶ καὶ πνεύματι τῷ πάθει Ἰησοῦ Χριστοῦ* Ign. *Trall.*proem.; through absence of persecution, id.*Polyc.*7.1; Const. ap.Eus.*v.C.*2.49(p.62.13; M.20.1028A); Ath.*apol.sec.*30(p.109.9; M. 25.297C); **b.** of Christians having peace with each other, Herm.*vis.* 3.12.3; *ἐπίσκοποι, ~ετε μετ' ἀλλήλων Const.App.*2.44.2; *ib.*2.54.4; *ib.*2.56.4; and with God *οὐδὲν βλάβος ἡμῶν, κἂν παρὰ πάντων πολεμώμεθα, τῷ δὲ θεῷ ~ωμεν* Chrys.*hom.1.1 in 1Cor.*(10.5C); *ἂν τῷ διαβόλῳ πολεμῶμεν, ~ομεν τῷ θεῷ* id.*hom.24.1 in Eph.*(11.180A); **c.** having peace with all creation as sign of sanctity, Ath.*v.Anton.* 51(M.26.917B); **d.** as state of angels, Or.*Cels.*6.44(p.115.13; M.11. 1368A); **e.** of the heavenly Jerusalem *πόλις ~ομένη* Mac.Aeg.*hom.* 11.15(M.34.556C); *ib.*25.7(672C).

εἰρήνη, ἡ, *peace*;

A. def. and properties; **1.** material, an essential good without which other good things cannot be enjoyed, Gr.Nyss.*beat.*7(M.44. 1281B); **2.** spiritual *τελειοτάτη τῶν εὐλογιῶν...ἡ εἰ., εὐστάθειά τις οὖσα τοῦ ἡγεμονικοῦ* Bas.*hom.in Ps.*28(1.124A; M.29.305A); *ἄνω γάρ ἐστιν ἡ εἰ. ἡ ἀληθής...ζήτησον οὖν εἰ., λύσιν τῶν τοῦ κόσμου τούτου θορύβων...ἵνα κτήσῃ τὴν εἰ. τοῦ θεοῦ* id.*hom.in Ps.*33(153E; M.376B, C); *εἰ. δὲ τὸ καθ' ἕκαστον αἱρετόν, καὶ ἡ κατὰ τῶν παθῶν δεσποτεία* Gr.Naz.*or.*32.15(M.30.1149A); *ἐστιν ἡ εἰ. ... ἀγαπητική τις πρὸς τὸ ὁμόφυλον συνδιάθεσις* Gr.Nyss.*beat.*7(M.44.1284B); exeg. Rom.1:7 *εἰ. δὲ ἡ τῶν ὁράτων πολεμίων ἀπαλλαγὴ ὧν ἡμᾶς ἀπαλλάσσει Χριστός, καὶ τὸ μὴ στασιάζειν τὸ σῶμα πρὸς τοὺς τῆς ψυχῆς λογισμοὺς καὶ ἡ πρὸς ἀλλήλους εὐσεβὴς συμφωνία* Thdr.Mops.*Rom.*1:7(p.113.11); *ib.* 8:5f.(p.135.6ff.; M.66.821A).

B. sources; **1.** divine; **a.** God, *1Clem.*19.2; *ib.*60.4; Clem.*q.d.s.*22 (p.174.17; M.9.628A); cf.*Hom.Clem.*9.19; *εἰ. φίλη...ἣν θεοῦ τε εἶναι ἀκούομεν, καὶ ἧς θεόν, τὸν θεὸν καὶ αὐτόθεον* Gr.Naz.*or.*22.1(M.35. 1132A); Didym.*Trin.*1.26(M.39.384A); *ἡ ὄντως εἰ. παρὰ τοῦ θεοῦ* Chrys.*hom.1.1 in 1Cor.*(10.5C); Sever.*pac.*2(p.19.23); Dion.Ar.*d.n.* 11.1(M.3.949A); *ib.*11.2(952A); **b.** Christ *τὰ παθήματα αὐτοῦ* [sc. *Χριστοῦ*] *ἦν πρὸ ὀφθαλμῶν ὑμῶν. οὕτως εἰ. βαθεῖα...ἐδέδοτο πᾶσιν 1Clem.* 2.2; *Χριστέ...ὁ ποιῶν εἰ. πάντοτε μετὰ τῶν ἀγαπώντων τὴν εἰ. A. Xanthipp.*28(p.78.20f.); *τίς ὁ τοὺς μισοῦντας ἀλλήλους εἰς εἰ. συνάψας, εἰ μὴ ὁ...τοῦ πατρὸς υἱός;* Ath.*inc.*52.1(M.25.188C); *ὁ ζητῶν εἰ., Χριστὸν ἐκζητεῖ, ὅτι αὐτός ἐστιν ἡ εἰ. ... ποιῶν εἰ.* Bas.*hom.in Ps.*33 (1.153E; M.29.376C); Chrys.*exp.in Ps.*45:10(5.186B); Sever.*pac.*1 (p.16.19ff.); *εἰ. ἐστὶν οἷον ὥσπερ χώρας...μεγάλης, διαφόροις δεσποτείαις ὑποβεβλημένης. οἱ ὅροι διατειχίζοντες δεικνύουσιν μέχρι τίνος φθάνει ἡ τούτου δεσποτεία, καὶ πόθεν ἄρχεται ἡ τοῦ ἑτέρου κληρουχία. οὕτως, ἐπειδὴ μεταξὺ δαιμόνων καὶ Χριστοῦ, βραβεύοντος εἰ., κεῖται τὰ τῶν ἀνθρωπίνων ψυχῶν πταίσματα ἢ κατορθώματα, τῶν μὲν Χριστὸν ἀγαπώντων καὶ τὴν αὐτοῦ εἰ. τῶν δὲ δαίμοσι προστρεχόντων ὅριον τίθησιν ὁ τῆς ἀληθείας λόγος εἰ., ἵνα μάθῃς ὅτι, ἕως ὅτε βλέπῃς εἰ., Χριστοῦ ἐστιν δεσποτεία. τὰ ἔξω εἰ. Χριστοῦ ἀλλότρια ib.*5(pp.21.23–22.2); *ib.*9(p.24.21); exeg. Jo.14:27 *ἐξιτήριον δῶρον τοῖς ἑαυτοῦ μαθηταῖς...τὴν ἑαυτοῦ εἰ. ὁ κύριος κατέλιπεν...οὐ δύναμαι πεῖσαι ἐμαυτόν, ὅτι ἄνευ...τοῦ...εἰρηνεύειν πρὸς πάντας δύναμαι ἄξιος κληθῆναι δοῦλος Ἰησοῦ Χριστοῦ* Bas.*ep.*203.1(3.300A; M.32.737B); Gr.Naz. *or.*22.16(M.35.1149B); *ἡ τοῦ κόσμου εἰ. ἔστιν ὅπου καὶ ἐπὶ κακῷ γίνεται. ἡ δὲ τοῦ Χριστοῦ εἰ. οὐ μόνον πρὸς τοὺς ἔξω εἰρηνεύειν πείθει, ἀλλὰ καὶ πρὸς ἑαυτούς, ἵνα μὴ ἡ σὰρξ στασιάζῃ κατὰ τῆς ψυχῆς* Ammon.*Jo.*14:27(M.85.1462D); *διατί, δίδωμι; διατί, ἀφίημι; ἐπειδὴ καὶ κατὰ σάρκα καὶ κατὰ θεότητα θεωρεῖται πᾶς ὁ τοῦ Χριστοῦ δοῦλος· ἀπεδήμει δὲ κατὰ σάρκα, μένων κατὰ θεότητα...ἀφίημι, ὡς ἀναλαμβανόμενος· δίδωμι, ὡς συμπολιτευόμενος. εἰ. δὲ ὑπογέγραπται σύνθεμα τοῦ δρόμου τῶν ἀποστόλων, εἰ μὴ σύνθεμα ἔλαβεν εἰ., οὐκ ἂν ἴσχυσεν διελθεῖν τὸν κόσμον πολέμου γέμοντα* Sever.*pac.*4(pp.20.30–21.2); **c.** linked with gift of H. Ghost, Pall.*v.Chrys.*1(p.6.19ff.; M.47.7); **2.** angels *αἰτησώμεθα τὰ ἐλέη τοῦ κυρίου...τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰ. Const.App.*8.36.3; *τὰ ἐπουράνια τάγματα ἀλλήλοις ἐπιπέμπουσιν τὰ τῆς εἰ. δῶρα* Sever.*pac.*2(p.19.9); **3.** virtue *ἐὰν γὰρ σπουδάσωμεν ἀγαθοποιεῖν, διώξεται ἡμᾶς εἰ. 2Clem.*10.2; *τὸ εἰ. ἀπολαύειν τοὺς ἀνακειμένους θεῷ. ... οὐδὲν γὰρ οὕτως εἰ. ποιεῖν εἴωθεν, ὡς ἡ τοῦ θεοῦ γνῶσις, καὶ ἡ τῆς ἀρετῆς κτῆσις* Chrys.*exp.in Ps.*4:8(5.25B); *οὐκ ἔνι εἰ. εἶναι, μὴ πρότερον ἀρετῆς κατορθωθείσης* id.*hom.*9.3 *in Eph.*(11. 73A).

C. as possession of Christians, *Did.*15.3; *Barn.*21.9; Clem.*paed.* 3.12(p.292.6ff.; M.8.684B); *ἐν μισοῦντι ἡμᾶς τῷ κόσμῳ παραδόξως εἰ. ἄγομεν* Or.*Cels.*8.70(p.287.10; M.11.1621D); *Hom.Clem.*3.31; *εἰρήνης ἡμᾶς υἱοὺς χρηματίζειν* Bas.*hom.in Ps.*28(1.124B; M.29.305B); ref. Lc.10:5f., *Const.App.*2.54.2; *ib.*6.11.1; ref. deacon's words *πορεύεσθε ἐν εἰ. ... αὕτη γάρ ἐστιν ἡ τροφὸς ἡμῶν καὶ μήτηρ...εἰ. δὲ λέγω, οὐ τὴν ἀπὸ προσρήσεως ψιλῆς, οὐδὲ τὴν ἀπὸ τῆς κοινωνίας τῶν τραπεζῶν, ἀλλὰ τὴν κατὰ θεὸν εἰ., τὴν ἐκ τῆς συμφωνίας τῆς πνευματικῆς* Chrys. *Jud.*3.6(1.614C,D).

D. in relation to various virtues *δικαιοσύνη οὖν ἐστιν εἰ. βίου... ἐφ' ἣν ὁ κύριος ἀπέλυε λέγων· ἄπελθε εἰς εἰ.· Σαλὴμ γὰρ ἑρμηνεύεται εἰ., ἧς ὁ σωτὴρ ἡμῶν ἀναγράφεται βασιλεύς...καὶ δὴ ἑρμηνεύεται ὁ Μελχισεδὲκ βασιλεὺς δίκαιος, συνωνυμία δέ ἐστι δικαιοσύνης καὶ εἰ.* Clem.*str.*4.25(pp.319.21–320.2; M.8.1369B–1372A); Gnost., *ib.*(p.320. 3; 1372A) cit. s. *δικαιοσύνη*; *ἐὰν γὰρ εἰ. ᾖ, καὶ ἀγάπη ἔσται· ἂν ἀγάπη, καὶ εἰ. ἔσται* Chrys.*hom.24.4 in Eph.*(11.185E); *εἰ. γεώργιόν ἐστιν ἀληθείας, καὶ ἀμπελὼν δικαιοσύνης, καὶ ποταμὸς εὐσεβείας* Sever.*pac.*6(p.22.29); *ὅταν φανῇ εἰ., μόνη φαίνεται,...ἀλλὰ συμπαραλαμβάνει μεθ' ἑαυτῆς τὴν ἀδελφὴν αὐτῆς, τὴν δικαιοσύνην ib.*17 (p.23.21).

E. in the spiritual life *τῇ ὑπερεχούσῃ πάντα νοῦν εἰ. χρωμένη ἡ ψυχή, πάσης ταραχῆς ἀλλοτριουμένη* Or.*Jo.*6.1(p.106.10; M.14.197A); ref. Solomon and building of Temple, *ib.*(p.107.4ff.; M.197C–200A); *ἐὰν οὖν ἡ εἰ. ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσῃ τὰς καρδίας ἡμῶν, δυνάμεθα τὴν ταραχὴν...τῶν παθῶν διαφυγεῖν* Bas.*hom.in Ps.*29(1. 129E; M.29.320A); freeing from fear of Devil and from passions, Chrys.*exp.in Ps.*4:10(5.25E); *εἰ. συγκροτεῖ ἱερέως ψυχήν· δίδωσιν ὥτα ἀνεῳγμένα τοῖς ἀκροωμένοις· πρὸ γὰρ τῶν λόγων εἰ. λάμπουσα φωτίζει τῶν ἀκουόντων τὴν διάνοιαν* Sever.*pac.*4(p.21.9f.).

F. in relation to Church; **1.** in gen. *ἡ ἐκκλησία, ἡ ὅρασις τῆς εἰ., ἐν αὐτῇ [ἐστιν] ἡ εἰ. ἣν ἤγαγεν ἡμῖν, εἶχε ἐσμὲν τέκνα εἰ. ... ὁρᾶται* Or.*hom.*9.2 *in Jer.*(p.65.22f.; M.13.349D); exeg. Lc.7:50 *εἰ. δὲ γαληνός ἐστιν ἡ τοῦ Χριστοῦ ἐκκλησία Const.App.*2.20.10; **2.** opp. heresy and schism; **a.** in gen., Ath.*h.Ar.*36(p.203.16; M.25.736A); id.*fug.*4(p.70.20; M.25.649A); Arsen.Hyps.*ep.*(p.147.13; M.25.372B); Sever.*pac.*1(p.16.2); Pall.*v.Chrys.*3(p.21.18; M.47.14); **b.** necessity of preserving peace *μὴ ἐπιτρέψητε διασχισθῆναι τὰ μέλη τοῦ Χριστοῦ, ...ἀλλὰ τὴν τοῦ κυρίου εἰ. προτιμήσατε* Ath.*apol.sec.*34(p.112.25; M. 25.305B); *πάντα γὰρ δεῖ σπουδάσαι δεύτερα ἡγήσασθαι τῆς εἰ.* Bas.*ep.* 69.2(3.163C; M.32.433A); Gr.Naz.*or.*22.2(M.35.1133A); **c.** equivalent to *maintenance of communion* with others, Ursac.*ep.Ath.*(p.138. 27; M.25.356A).

G. of various kinds; **1.** divine and human *πείθουσα ὅτι ὁ θεὸς εἰ. ἐστίν, ὅτι εἰρήνευσεν ἡμῖν...μὴ θυμός, φησί, βραβευέτω,...μὴ ἀνθρωπίνη εἰ.· ἡ γὰρ ἀνθρωπίνη εἰ. ἐκ τοῦ ἀμύνασθαι γίνεται, ἐκ τοῦ μηδὲν πάσχειν δεινόν. ἀλλ' οὐ ταύτην βούλομαι, φησίν, ἀλλ' ἐκείνην, ἣν καὶ ἀφῆκεν αὐτός* [sc. *Χριστός*] Chrys.*hom.*8.3 *in Col.*(11.383D); **2.** material and spiritual *εἰ. ... οὐ ταύτην μόνην τὴν αἰσθητήν, ἀλλὰ καὶ τὴν ταύτης ὑψηλοτέραν, καὶ ὄθεν καὶ αὕτη τίκτεται* id.*exp.in Ps.* 124:5(5.351D); material peace useless without spiritual peace, id.*exp.in Ps.*4:10(5.25C); id.*hom.*7.1 *in 1Tim.*(11.584B,C); **3.** right and wrong kinds, esp. ref. heretics and schismatics *ἵνα...αἱ δὲ ἐκκλησίαι εἰ. ἔχωσι πρὸς τὸ τὴν τοῦ κυρίου εἰ. τὴν δοθεῖσαν ἡμῖν παραμεῖναι...ὁμολογῶ γὰρ ὑμῖν τὰ γενόμενα οὐκ εἰ., ἀλλὰ σχίσματος προφάσεις εἰσίν* Ath.*apol.sec.*32(p.111.6ff.; M.25.301C); *λέγω· ὅτι τὸ τῆς εἰ. καλόν, εἰ μὲν ἐν τῷ ὀνόματι τῆς εἰ. περιγράφεται μόνῳ, καταγέλαστόν ἐστι τὸν δεῖνα καὶ τὸν δεῖνα ἐκλεγομένους, τούτοις μόνοις μεταδιδόναι τοῦ εἰρηνεύειν, ἑτέρους δὲ μυρίους ἀποκλείειν τῆς πρὸς τὸ καλὸν κοινωνίας. εἰ δὲ ἡ πρὸς τοὺς βλαβερούς συμφωνία ἐν εἰ. προσχήματι τὰ τῶν πολεμίων τοὺς προσδεχομένους ἐργάζεται, σκόπει τίνος εἰσίν, οἷς ἀνέμιξαν ἑαυτούς* Bas.*ep.*250(3.385B,C; M.32.932B); id.*reg. br.*215(2.487C; M.31.1225A); *μηδεὶς οἰέσθω με λέγειν, ὅτι πᾶσαν εἰ. ἀγαπητέον· οἶδα γὰρ ὥσπερ στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν...ἀλλ' οὐ μὲν ἂν ᾖ πρόδηλα τὰ τῆς ἀσεβείας, καὶ πυρὶ...καὶ πᾶσι πρότερον ὁμόσε χωρητέον, ἢ τῆς ζύμης μεθεκτέον τῆς πονηρᾶς* Gr.Naz.*or.*6.20(M.35.748B); no peace with sinners, *Const.App.*6.18.8; exeg. Mt.10:34 *πῶς οὖν αὐτοῖς ἐπέταξεν εἰς ἑκάστην οἰκίαν εἰσιοῦσιν εἰ. ἐπιλέγειν; πῶς δὲ καὶ οἱ ἄγγελοι, ἔλεγον,... καὶ ἐπὶ γῆς εἰ.; ὅτι τοῦτο μάλιστα εἰ., ὅταν τὸ νενοσηκὸς ἀποτέμνηται... οὕτω καὶ ἐπὶ τοῦ πύργου γέγονεν ἐκείνου· τὴν γὰρ κακὴν εἰ. ἡ καλὴ διαφωνία ἔλυσε, καὶ ἐποίησεν εἰ.* Chrys.*hom.*35.1 *in Mt.*(7.397B,C).

H. peace and sacrifice, exeg. Mt.5:23f. *διὰ γὰρ τὴν εἰ. τὴν πρὸς τὸν ἀδελφὸν σου...ἡ θυσία ἐγένετο. εἰ τοίνυν διὰ τὴν εἰ. τὴν εἰς τὸν πλησίον ἡ θυσία ἐστί, σὺ δὲ οὐ κατορθοῖς τὴν εἰ., εἰ καὶ μετέχεις τῆς

θυσίας, ἀνωφελής σοι ἡ μετάληψις γέγονεν ἄνευ τοῦ κατορθώματος τῆς εἰ. ποίησον τοίνυν ἐκεῖνο πρῶτον, λέγω δὲ τὴν εἰ., δι' ὅπερ καὶ ἡ θυσία προσενήνεκται, καὶ τότε αὐτῆς ἀπολαύσεις καλῶς Chrys.*prod. Jud.*2.6(2.395B,C); ref. Jud.6:24 εἰ. τὸ πρῶτον...τοῦ θυσιαστηρίου ὄνομα· ἐν ἀρχῇ γὰρ θυσιαστήριον εἰρήνης ἐκλήθη, ἐπειδὴ πᾶσα μικροψυχία ἐν τῷ θυσιαστηρίῳ λύεται. ἀπ' ἀρχῆς ἔπηξεν ὁ θεὸς ὄνομα τῷ θυσιαστηρίῳ εἰ. Sever.*pac.*4(p.21.17ff.).

I. characteristic of creation οἱ οὐρανοὶ τῇ διοικήσει αὐτοῦ σαλευόμενοι ἐν εἰ. ὑποτάσσονται αὐτῷ...καιροὶ ἐαρινοὶ καὶ θερινοὶ...ἐν εἰ. μεταπαραδιδόασιν ἀλλήλοις...τά τε ἐλάχιστα τῶν ζῴων τὰς συνελεύσεις αὐτῶν ἐν ὁμονοίᾳ καὶ εἰ. ποιοῦνται. ταῦτα πάντα ὁ μέγας δημιουργὸς...ἐν εἰ. καὶ ὁμονοίᾳ προσέταξεν εἶναι *1Clem.*20.1,9–11; πῶς δέ... ἐφίεται πάντα εἰ.; πολλὰ γὰρ ἑτερότητι καὶ διακρίσει χαίρει...καὶ εἰ μὲν ἑτερότητα καὶ διάκρισιν ὁ ταῦτα λέγων φησὶ τὴν ἑκάστου τῶν ὄντων ἰδιότητα, καὶ ὅτι ταύτην οὐδὲ ἓν τῶν ὄντων ὄν, ὅπερ ἐστίν, ἐθέλει ποτὲ ἀπολλύειν,...καὶ ταύτην εἰρήνης ἔφεσιν ἀποφανούμεθα...καὶ ἔστι καὶ τῆς καθ' ἕκαστον ἀμιγοῦς ἰδιότητος ἡ παντελὴς εἰ. φυλακτική Dion.Ar.*d.n.*11.3(M.3.952B,C).

J. praise of peace οὐδέν ἐστιν ἄμεινον εἰ., ἐν ᾗ πᾶς πόλεμος καταργεῖται ἐπουρανίων καὶ ἐπιγείων Ign.*Eph.*13.2; Bas.*ep.*114(3.206D; M.32.528B); τί γὰρ ἥδιον ἄκουσμα τοῦ τῆς εἰ. ὀνόματος; *ib.*156.1 (3.245B; M.613C); Gr.Naz.*or.*22.1(M.35.1132A); εἰ. ... ἡ τῶν ἐν οὐρανοῖς ἀγγέλων ὁμοδίαιτος...εἰ., ὁ τῶν ἀγγέλων ὕμνος. εἰ., τὸ τῶν ἁγίων ἔργον. ... καὶ τὰ ἐπουράνια ὑμνεῖ τὴν εἰ., καὶ τὰ ἐπίγεια Sever. *pac.*2(p.18.20ff.); *ib.*4(p.20.15ff.); *ib.*7(p.23.16ff.).

K. liturg; **1.** in greeting ἡ εἰ. τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν *Lit.* ap.*Const.App.*8.13.1; in dismissal ἀπολύεσθε ἐν εἰ. *ib.*8.15.10; ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστώς, εὐθέως λέγει, εἰ. πᾶσιν· ὅταν ὁμιλῇ, εἰ. πᾶσιν· ὅταν εὐλογῇ, εἰ. πᾶσιν· ὅταν ἀσπάζεσθαι κελεύῃ, εἰ. πᾶσιν· ὅταν ἡ θυσία τελεσθῇ, εἰ. πᾶσι· καὶ μεταξὺ πάλιν, χάρις ὑμῖν καὶ εἰ. Chrys.*hom.3.3 in Col.*(11.348C); id.*Jud.*3.6(1.614C); ἐν τῇ ἐκκλησίᾳ, ὁ προεστὼς δίδωσιν εἰ. id.*hom.32.6 in Mt.*(7.373A); Pall.*v. Chrys.*14(p.84.26; M.47.48); *Lit.Jac.*(p.166.7); **2.** kiss of peace, after offertory, cf. Just.*Iapol.*65.2(M.6.428A), Cyr.H.*catech.*23.3 citt. s. φίλημα; cf.Hipp.*trad.ap.*(p.6); τὰς εὐχὰς γίνεσθαι τρεῖς...εἶθ' οὕτως τὴν εἰ. δίδοσθαι· καὶ μετὰ τὸ πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τὴν εἰ., τότε τοὺς λαϊκοὺς τὴν εἰ. διδόναι, καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι CLaod.*can.*19; *Const.App.*2.57.19; *Lit.*ap.*Const.App.*8.11.8; πῶς δίδως εἰ., πολέμου γέμοντι στόματι; Chrys.*hom.21.5 in Rom.* (9.679A); Dion.Ar.*e.h.*3.2(M.3.425C); *ib.*3.3.8(437A); in baptismal context ἐπειδὴ γὰρ πρὸ τοῦ φωτίσματος ἐχθρὸς ἦν, μετὰ δὲ τὸ φώτισμα γέγονε φίλος τοῦ...δεσπότου...διὰ τοῦτο καὶ τὸ φίλημα εἰ. καλεῖται Chrys.*hom.3.6 in Ac.princ.*(3.81B); given before ordination ἐπίσκοπος...δοὺς εἰ. χειροτονεῖ αὐτὸν διάκονον· καὶ πάλιν δοὺς εἰ. ποιεῖ αὐτὸν πρεσβύτερον *Dial.Tim.et Aquil.*138 v°; **3.** prayer for peace, *Lit.*ap.*Const.App.*8.10.3; *ib.*8.15.4; Chrys.*hom.37.3 in Ac.*(9.284B); *Lit.Jac.*(p.166.15ff.); **4.** angel of peace, *ib.*(p.174.10).

L. τὰ τῆς εἰ. γράμματα episcopal *letters of recommendation*, Ath. *h.Ar.*25(p.197.4; M.25.724A).

M. ὁ ἐπὶ τῆς εἰ. officer in charge of eccl. discipline in Alexandria, Leont.N.*v.Jo.Eleem.*2(p.8.4); cf.Pall.*h.Laus.*116(M.34.1220B).

N. name of a church, founded by Const., Socr.*h.e.*1.16.2(M.67.117A); *Chron.Pasch.*p.337(M.92.877B).

εἰρηνικός, 1. *peaceful*; **a.** divine attribute, of God τῆς εἰ. ἑνώσεως θεωρήσωμεν φύσιν Dion.Ar.*d.n.*11.2(M.3.949C); *ib.*(952A); of heavenly Jerusalem μεγάλου βασιλέως...εἰ. πόλις *Clem.ep.*13(M.2.49A); of kingdom of Christ, *Hom.Clem.*19.20; hence **b.** of Christians, Bas.*hom.in Ps.*28(1.124A; M.29.305A); **c.** of death ἔξοδον αὐτοῦ εἰ. ... ποίησον Serap.*euch.*30.3; **d.** of state of men after resurrection, Gr.Nyss.*hom.1 in Cant.*(M.44.777A); **e.** interpretation of name Solomon, ‡Hipp.*fr.*33 *in Pr.*(p.170.2; M.10.616B); **2.** *peaceable*, of Christians, Just.*dial.*131.5(M.6.781B); ἡμεῖς δὲ τὸ εἰ. γένος Clem. *paed.*2.2(p.175.26; M.8.428B); εἰ. ... ὄργανον ὁ ἄνθρωπός ἐστιν...ἐνὶ δὲ ἄρα ὀργάνῳ, τῷ λόγῳ μόνῳ τῷ εἰ., ἡμεῖς κεχρήμεθα *ib.*2.4(p.183.3; 441B–444A); Χριστὸς δὲ εἰρηνικὸν...ἐπιπνεύσας μέλος οὐ συνάξει ἄρα τοὺς εἰ. στρατιώτας τοὺς ἑαυτοῦ; id.*prot.*11(p.82.4f.; M.8.236B); of Christian faith, Const.ap.Ath.*apol.sec.*62(p.142.21; M.25.361C); εἰ. ζωή being the greatest good, Gr.Nyss.*beat.*7(M.44.1281A); neut. as subst., *peaceable disposition, love of peace*, Athenag.*leg.*1.2(M.6.892B); Clem.*str.*4.6(p.266.16; M.8.1252B); Thphyl.*exc.gent.*5(p.482.37; M.113.944B); **3.** *of peace, peace-giving* σωτὴρ...πηγὴ...εἰ. Clem. *prot.*10(p.78.22; M.8.228B); χαίρσαι αὐτοῖς ἄγγελον εἰ. συνοδοιπόρον γενέσθαι Serap.*euch.*5.8; ἄγγελοι εἰ. †Bas.*Is.*260(1.577C; M.30.576B); neut. plur. as subst. εἰ. φρονεῖν *Lit.Marc.*(p.114.27); **4.** τὰ [γράμματα] εἰ., ἡ εἰ. [sc. ἐπιστολή] *letter(s) of commendation* εἰ. δέ ἐστιν ἡ ἄνευ σκανδάλου τινὸς τοῦ ἐπικομιζομένου ἐγχειριζομένη ὑπὸ τοῦ προέχοντος πρός τινας ἀποφέρεσθαι *Schol.*in *Can.App.*12(*Mon.*2 p.642); exchanged between bishops as sign of intercommunion, Ath.*h.Ar.* 26(p.197.21; M.25.724C); Arsen.Hyps.*ep.*(p.147.18; M.25.372C); as letters of introduction, CAnt.(341)*can.*7; CChalc.*can.*11; cf. ἡ ἀνατολὴ πρὸς τὴν δύσιν διαφερομένη εἰ. παρ' ἀλλήλων οὐκ ἐδέχοντο Epiph.*haer.*70.9(p.242.16; M.42.356B); **5.** liturg. τὰ εἰ. *litany for peace, Euchol.*(p.57); cf.Chrys.*Jud.*3.6(1.614C); **6.** *gentle*, opp. λαῦρος: ἔτι...ὑετὸς εἰ. Or.*exp.in Pr.*28:3(M.17.241D).

εἰρηνικῶς, *peacefully*; ref. contemplation, Clem.*str.*1.5(p.18.20; M.8.720B); τὸν λαὸν εἰ. ποιμαίνων *Const.App.*2.20.3.

***εἰρηνόδωρος,** *giving peace*; of providence, Dion.Ar.*d.n.*11.3 (M.3.952C); masc. as subst., as divine name, *ib.*4.21(724A); ref. liturg. praise εἰ. σημειώσεις Max.*myst.*23(M.91.700A).

εἰρηνοποι-έω, 1. *make, establish peace, reconcile*, ref. Mt.5:9 ~οῦσι...τοὺς ἐνταῦθα πολεμουμένους τοῖς τῆς ἁμαρτίας στρατηγήμασι, μεταδιδάσκοντες ἐπὶ τὴν πίστιν καὶ τὴν εἰρήνην μετιέναι Clem.*str.*4.6 (p.266.19; M.8.1253B); **a.** in gen., *Const.App.*3.15.4; Epiph.*haer.*42.7 (p.103.3; M.41.705A); Jo.D.*trisag.*26(M.95.57B); **b.** as divine activity, of Father ὡς ἀδελφὰς οἰκοδεσπότης πατὴρ ~ῶν τὰς ἐναντίας φύσεις Geo.Pis.*hex.*259(M.92.1454A); of Christ, ref. Col. 1:20, †Bas.*Is.*226(1.550B; M.30.513A); *ib.*250(570B; M.560A); Chrys. *hom.3.3 in Col.*(11.346Bff.); id.*prod.Jud.*1.6(2.384E); **c.** as Christian activity οὐδὲν γὰρ οὕτως ἴδιόν ἐστι Χριστιανοῦ, ὡς τὸ ~εῖν Bas.*ep.*114 (3.207A; M.32.528B); Gr.Nyss.*beat.*7(M.44.1281A); pacifying the soul, ‡Proc.G.*Pr.*29:8(M.87.1516A); **2.** *do, make, in peace* ~οῦ τὴν εἰς οἶκον ἐπάνοδον Sophr.H.*mir.Cyr.et Jo.*16(M.87.3473A); **3.** *give the kiss of peace, M.Perp.*12(p.81.24).

***εἰρηνοποίησις, ἡ,** *peace-making*, Clem.*str.*4.6(p.266.15; M.8. 1252B); ref. Inc. ἦν εἰ. τῆς γῆς Apoll.*quod.un.Chr.*11(p.302.4; M.28. 129D).

***εἰρηνοποιΐα, ἡ,** *peace-making*, Bas.*ep.*156.1(3.245B; M.32.613C); *ib.*219.2(332E; M.813A); Gr.Nyss.*beat.*7(M.44.1281D).

εἰρηνοποιός, *peacemaking*, of Christ ὁ...εἰ. κύριος †Dion.Al.*fr. Cant.*(p.229.7); as subst. masc. Εἰρηναῖος φερώνυμός τις ὢν τῇ προσηγορίᾳ αὐτῷ τε τρόπῳ εἰ. Eus.*h.e.*5.24.18(M.20.508A); *Const. App.*2.1.7; τίς ἐστιν ὁ ὑπὸ τοῦ κυρίου μακαριζόμενος εἰ.; ὁ τῷ κυρίῳ συνεργῶν Bas.*reg.br.*215(2.487B; M.31.1225A); εἰ. δέ ἐστιν ὁ εἰρήνην διδοὺς ἄλλῳ Gr.Nyss.*beat.*7(M.44.1284A); fig. πρὸς τοὺς 'εἰ.' τῶν δογμάτων πορευτέον Clem.*str.*7.16(p.70.28; M.9.537C).

***εἰρηνοφόρος,** *bringing peace*; ref. preaching of gospel, Agath. *v.Gr.Ill.*144(p.73); *ib.*152(p.77).

***εἰρηνοχύτος,** *shedding peace*, Dion.Ar.*d.n.*11.5(M.3.953A).

εἰρμός, ὁ, A. *series, chain, sequence*; **1.** in gen. εἰ. τῶν γραφῶν Iren.*haer.*1.8.1(M.7.521A); Clem.*str.*4.1(p.248.23; M.8.1216B); εἰ. ... τῶν...εἰρημένων ἐν τοῖς προφήταις Or.*Cels.*7.11(p.163.2; M.11.1436D); εἰ. ... τῶν μακαρισμῶν id.*or.*18.3(p.340.31; M.11.473D); id.*Jo.*2.23 (17; p.79.9; M.14.153A); of generations, Epiph.*haer.*39.8(p.77.30; M.41.673B); of agreement, Gr.Nyss.*or.catech.*6(p.30.5; M.45.25C); **2.** esp. Stoic, of chain of cause and effect τὰ τούτοις ἑφεξῆς καθ' εἰ. ἑπόμενα Athenag.*res.*1(p.48.14; M.6.976A); Or.*or.*6.3(p.313.8; M.11. 436D); ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἰ. πορευομένη Gr.Nyss.*or.catech.*16 (p.67.9; M.45.49B); ref. events of Inc. τὰ δὲ πεπραγμένα εἰ. τινι *ib.*20 (p.80.12; 57C); of logical sequence εἰ. τοῦ νοήματος id.*hom.2 in Cant.*(M.44.796A); cf. εἱμαρμένη.

B. liturg., original strophe on pattern of which other strophes of same ode were fashioned, cf.*Lit.Chrys.*(p.388.7); *Max.offic.*2(M.90. 216B).

εἴρ-ω, 1. *fasten, string together*; **2.** *run over* a topic *quickly* τὸ νῦν προκείμενόν ἐστιν οὐ λαβόντα πρόβλημα παρέρχεσθαι καὶ ~ειν Or. *dial.*3(p.124.12).

εἰρωνεία, ἡ, 1. *dissimulation, pretence*; ref. Jewish fasts and new moons, *Diogn.*4.1; of heretics: Marcellus σὺν εἰ. δὲ καταψευδόμενος Eus.*e.th.*2.12(p.114.6; M.24.925C); Arians, Epiph.*anc.*6(p.12.15; M. 43.25B); *ib.*52(p.61.4; 108A); of pagans, Chrys.*hom.36.2 in Ac.*(9. 278B); foreign to true Christians, Nil.*Magn.*47(M.79.1029B); **2.** *irony, sarcasm*, Eus.*h.e.*2.18.8(M.20.188A); Cyr.*Mich.*9(3.399A); *mockery*; of soldiers mocking Christ, Chrys.*hom.83.5 in Jo.*(8. 496D); *ib.84.3*(501D).

εἰρωνεύ-ομαι, 1. *feign ignorance*; through modesty, Just.*dial.*58.2 (M.6.608A); Chrys.*sac.*3.14(p.71.13; 1.390C); by way of excuse, id. *hom.48.2 in Ac.*(9.360A); **2.** *pretend*, Bas.Sel.*or.*18(M.85.233C); **3.** *make a jest of, insult*, Just.*dial.*101.3(M.6.712C); Bas.*hom.*6.4 (2.47A; M.31.269B); Chrys.*hom.50.4 in Mt.*(7.519A); id.*hom.23.5 in 2Cor.*(10.603A); ? *approach as a game* ὁ πένης [μὴ] ~έσθω πρὸς τὴν νησείαν Bas.*hom.*2.2(2.11D; M.31.188A); **4.** *speak ironically* οὐκ ἦλθον καλέσαι δικαίους...~όμενος...λέγει Chrys.*hom.30.3 in Mt.*(7.

351A); Cyr.*Os.*153(3.186E); Olymp.*Job* 1:20f.(M.93.33C); **5.** c. acc., *deceive*, Socr.*h.e.*3.1.47(M.67.377A); of Herod ~όμενος τοὺς μάγους Chrysipp.*enc.in Jo.Bapt.*14(p.46.7).

εἰρωνευτικός, *pretended* στοργή Max.*ambig.*(M.91.1205B).

***εἰρωνευτικῶς**, *deceivingly*, Max.*ep.*12(M.91.485A).

εἷς, *one*;

A. of unity of God; **1.** in gen., Herm.*mand.*1.1 cit. s. εἰμί; *Diogn.*3.2; Athenag.*leg.*8.1(M.6.904C); discussion, *ib.*4.2ff.(897B); Clem.*paed.*1.8(p.131.18; M.8.336A); Ath.*gent.*3(M.25.9A); in credal statements, *Symb.Caes.*(M.20.1537B); *Symb.Nic.*(325)(p.51; M.20.1540B); *Symb.Hier.*ap.Cyr.H.*catech.*6(M.33.538); **2.** proof of unity of God from unity of universe μιᾶς οὔσης τῆς κτίσεως, καὶ ἑνὸς ὄντος κόσμου, καὶ μιᾶς τῆς τούτου τάξεως, ἕνα δεῖ νοεῖν καὶ τὸν ταύτης ...δημιουργὸν κύριον. διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ δημιουργὸς ἕνα τὸν σύμπαντα κόσμον πεποίηκεν, ἵνα...ἑνὸς ὄντος τοῦ ποιήματος, εἷς καὶ ὁ τούτου ποιητὴς πιστεύηται Ath.*gent.*39(80A,B); but reverse does not follow οὐχ ὅτι εἷς ἐστιν ὁ δημιουργός, διὰ τοῦτο καὶ εἷς ἐστιν ὁ κόσμος· ἠδύνατο γὰρ καὶ ἄλλους κόσμους ποιῆσαι ὁ θεός *ib.*(80B) et passim; **3.** God as τὸ ἕν; **a.** in gen. ἀδιαίρετον γὰρ τὸ ἕν Clem.*str.*5.12 (p.380.22; M.9.121B); Dion.Ar.*e.h.*2.3.5(M.3.401A) al.; **b.** indicating transcendence ἀδιανόητόν ἐστι τὸ ὑπὲρ διάνοιαν ἕν id.*d.n.*1.1(M.3.588B); ἓν ὤν, καὶ παντὶ μέρει καὶ ὅλῳ, καὶ ἑνὶ καὶ πλήθει, τοῦ ἑνὸς μεταδούς, ἓν ἐστιν ὡσαύτως ὑπερουσίως, οὔτε μέρος ὂν τοῦ πλήθους, οὔτε ἐκ μερῶν ὅλον· καὶ οὕτως οὔτε ἕν ἐστιν, οὔτε ἑνὸς μετέχει, οὐδὲ τὸ ἓν ἔχει· πόρρω δὲ τούτων ἕν ἐστιν, ὑπὲρ τὸ ἕν, τοῖς οὖσιν ἕν...πᾶν ἓν καὶ πλῆθος παράγον *ib.*2.11(649C); **c.** reason for this divine name ἓν δέ, ὅτι πάντα ἑνιαίως ἐστὶ κατὰ μιᾶς ἑνότητος ὑπεροχήν, καὶ πάντων ἐστὶ τοῦ ἑνὸς...αἴτιον· οὐδὲν γάρ ἐστι τῶν ὄντων ἀμέτοχον τοῦ ἑνός, ἀλλ' ὥσπερ ἅπας ἀριθμὸς μονάδος μετέχει, καὶ μία δυάς, καὶ δεκὰς λέγεται, καὶ ἥμισυ ἓν...οὕτω πάντα καὶ πάντων μόριον τοῦ ἑνὸς μετέχει. καὶ τῷ εἶναι τὸ ἕν, πάντα ἐστὶ τὰ ὄντα· καὶ οὐκ ἔστι τὸ πάντων αἴτιον ἓν τῶν πολλῶν ἕν, ἀλλὰ πρὸς παντὸς ἑνὸς καὶ πλήθους, καὶ παντὸς ἑνὸς καὶ πλήθους ὁριστικόν *ib.*13.2(977C); κατὰ τὸ ἑνὸς ἑκάστου προεπινοούμενον εἶδος ἡνῶσθαι λέγεται τὰ ἡνωμένα, καὶ πάντων ἐστὶ τὸ ἓν στοιχειωτικόν· καὶ εἰ ἀνέλῃς τὸ ἕν, οὔτε ὁλότης, οὔτε μόριον, οὔτε ἄλλο οὐδὲν τῶν ὄντων ἔσται· πάντα γὰρ ἐν ἑαυτῷ τὸ ἓν...περιείληφε. ταύτῃ γοῦν ἡ θεολογία τὴν ὅλην θεαρχίαν, ὡς πάντων αἰτίαν ὑμνεῖ τῇ τοῦ ἑνὸς ἐπωνυμίᾳ, καὶ εἷς θεὸς ὁ πατήρ, καὶ εἷς Ἰησοῦς Χριστός, καὶ ἓν καὶ τὸ αὐτὸ πνεῦμα *ib.*13.3(980B); **d.** in relation to creatures ἐν ἑνὶ... τὰ ὄντα πάντα *ib.*5.10(825B); οὐδὲ γάρ ἐστι πλῆθος ἀμέτοχόν πη τοῦ ἑνός, ἀλλὰ τὸ μὲν πολλὰ τοῖς μέρεσιν ἓν τῷ ὅλῳ· καὶ τὸ πολλὰ τοῖς συμβεβηκόσιν ἓν τῷ ὑποκειμένῳ· καὶ τὸ πολλὰ τῷ ἀριθμῷ...ἓν τῷ εἴδει· καὶ τὸ πολλὰ τοῖς εἴδεσιν ἓν τῷ γένει· καὶ τὸ πολλὰ ταῖς προόδοις ἓν τῇ ἀρχῇ· καὶ οὐδέν ἐστι τῶν ὄντων, ὃ μὴ μετέχει πη τοῦ ἑνὸς τοῦ ἐν τῷ κατὰ πάντα ἑνικῷ...καὶ ἄνευ μὲν τοῦ ἑνὸς οὐκ ἔσται πλῆθος, ἄνευ δὲ τοῦ πλήθους ἔσται τὸ ἓν *ib.*13.2(980A); οὐκ ἂν εὕροις τι τῶν ὄντων, ὁ μὴ τῷ ἑνὶ καθ' ὃ πᾶσα ἡ θεότης...ὀνομάζεται, καὶ ἔστι τοῦθ' ὅπερ ἐστί, καὶ τελειοῦται, καὶ διασώζεται...αὐτὸ τὸ ἓν ὃν ὁρίζον, ἐπείπερ τὸ ὂν ἕν, τὸ ἐν τοῖς οὖσιν, ἐνάριθμόν ἐστιν *ib.*13.3(980C); **4.** oneness characteristic of the divine and spiritual οὐδὲν γὰρ ἓν τῆς ὕλης καὶ τῶν σωμάτων, ἀλλ' ἕκαστον τῶν νομιζομένων ἓν ἔσχισται...εἰς πλείονα τὴν ἕνωσιν ἀπολωλεκός· ἓν γὰρ τὸ ἀγαθόν, πολλὰ δὲ τὰ αἰσχρά, καὶ ἓν ἡ ἀλήθεια, πολλὰ δὲ τὰ ψευδῆ, καὶ ἓν ἡ ἀληθὴς δικαιοσύνη, πολλαὶ δὲ ἕξεις ταύτην ὑποκρίνονται, καὶ ἓν ἡ τοῦ θεοῦ σοφία, πολλαὶ δὲ αἱ καταργούμεναι τοῦ αἰῶνος τούτου...καὶ εἷς μὲν ὁ τοῦ θεοῦ λόγος, πολλοὶ δὲ οἱ ἀλλότριοι τοῦ θεοῦ Or.*or.*21.2(p.345.17ff.; M.11.481A); τὸ ἀγαθὸν ἐκ τῆς μιᾶς καὶ τῆς ὅλης αἰτίας· τὸ δὲ κακὸν ἐκ πολλῶν καὶ μερικῶν ἐλλείψεων Dion.Ar.*d.n.*4.30(M.3.729C); *ib.*4.31(732B); cf. εἷς ὢν ὁ θεὸς ἑνὶ ἀνθρώπῳ μίαν ἔκτισε γυναῖκα *Hom.Clem.*13.15; **5.** unity of Father and Son; **a.** affirmed ἑνὸς ὄντος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ Athenag.*leg.*10.2(M.6.909A); ἡ τοῦ υἱοῦ θεότης τοῦ πατρός ἐστιν...καὶ οὕτως εἷς θεός...ἓν αὐτῶν ὄντων, καὶ μιᾶς αὐτῆς οὔσης τῆς θεότητος Ath.*Ar.*3.4(M.26.329A); id.*decr.*17(p.14.10f.; M.25.444C); **b.** denied by Arian doctrine ἓν τὸ ἀγένητον...οὐκοῦν ὁ υἱὸς τῶν γενητῶν ἐστι id.*Ar.*1.30(M.26.73B); **c.** Arian position refuted εἰ δὲ οἱ μὲν Ἕλληνες ἑνὶ ἀγενήτῳ καὶ πολλοὶ γενητοῖς λατρεύουσιν, οὗτοι [sc. Arians] δὲ ἑνὶ ἀγενήτῳ καὶ ἑνὶ γενητῷ· οὐδ' οὕτω διαφέρουσιν Ἑλλήνων. ὅ τε γὰρ παρ' αὐτῶν λεγόμενος γενητὸς εἷς ἐκ πολλῶν ἐστι· καὶ οἱ πολλοὶ δὲ πάλιν τῶν Ἑλλήνων τὴν αὐτὴν τῷ ἑνὶ τούτῳ φύσιν ἔχουσι *ib.*3.16(356A,B); τὰ μὲν κτίσματα πολλά, ὁ δὲ λόγος εἷς ἐστι· τίς οὐ συνορᾷ καὶ ἐκ τούτων, ὅτι ὁ υἱὸς διέστηκε τῶν πάντων, καὶ οὐ πρὸς τὰ κτίσματα τὴν ἐξίσωσιν ἔχει, ἀλλὰ πρὸς τὸν πατέρα τὴν ἰδιότητα; ὅθεν οὐδὲ πολλοὶ λόγοι, ἀλλὰ μόνος εἷς τοῦ ἑνὸς πατρὸς λόγος, καὶ μία τοῦ ἑνὸς θεοῦ εἰκών ἐστιν *ib.*2.27(204C); id.*ep.Aeg.Lib.*14(M.25.569B); **d.** exeg. Jo.10:30 ἓν γάρ εἰσιν, οὐχ ὡς ἑνὸς πάλιν εἰς δύο μέρη διαιρεθέντος, καὶ μηδὲν ὄντων πλὴν ἑνός· οὐδὲ ὡς τοῦ ἑνὸς δὶς ὀνομαζομένου ...ἓν εἰσιν...τῇ ταὐτότητι τῆς μιᾶς θεότητος id.*Ar.*3.4(328C–329A); Arian exegesis λέγοντες μὴ οὕτως εἶναι τὸν υἱὸν καὶ τὸν πατέρα ἕν...ὡς ἡ ἐκκλησία κηρύσσει, ἀλλ' ὡς αὐτοὶ θέλουσι who admit only moral unity, *ib.*3.10(341A); τὰ δύο ἓν εἶναί φατε, ἢ τὸ ἓν διώνυμον, ἢ πάλιν τὸ ἕν εἰς δύο διῃρῆσθαι. εἰ...τὸ ἓν εἰς δύο διῄρηται, ἀνάγκη σῶμα εἶναι τὸ διαιρεθέν...εἰ δὲ τὸ ἓν διώνυμον, Σαβελλίου τὸ ἐπιτήδευμα, τὸν αὐτὸν υἱὸν καὶ πατέρα λέγοντος...εἰ δὲ τὰ δύο ἕν, ἀνάγκη δύο μὲν εἶναι, ἓν δὲ κατὰ τὴν θεότητα,...ὥστε δύο μὲν εἶναι, ὅτι πατήρ ἐστι καὶ υἱός...ἓν δέ, ὅτι εἷς θεός ‡Ath.*Ar.*4.9(p.53.4ff.; M.26.480A,B); *ib.*4.10 (p.54.8; 480C); for unity in Trin. v. τριάς.

B. unity of Christ, Ign.*Eph.*7.2 cit. s. ἰατρός; *Diogn.*9.5 cit. s. δικαιοσύνη; ἓν γὰρ μάλιστα μετὰ τὴν οἰκονομίαν γεγένηται πρὸς τὸν λόγον τοῦ θεοῦ ἡ ψυχὴ καὶ τὸ σῶμα Ἰησοῦ Or.*Cels.*2.9(p.136.31; M.11.809D); ἀμφότερα [sc. divine and human acts] ἐξ ἑνὸς πραττόμενα βλέποντες Ath.*Ar.*3.35(M.26.397B); εἷς ἦ τὰ ἑκάτερα...θεὸς καὶ ἄνθρωπος ὁ αὐτός ‡Ath.*Apoll.*1.16(M.26.1124A); for μία φύσις v. φύσις.

C. unity of Church and worship μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν, ἀλλ' ἐπὶ τὸ αὐτὸ μία προσευχή, μία δέησις, εἷς νοῦς, μία ἐλπὶς ἐν ἀγάπῃ...πάντες ὡς εἷς ἕνα ναὸν συντρέχετε θεοῦ, ὡς ἐπὶ ἓν θυσιαστήριον, ἐπὶ ἕνα Ἰησοῦν Χριστόν, τὸν ἀφ' ἑνὸς πατρὸς προελθόντα καὶ εἰς ἕνα ὄντα καὶ χωρήσαντα Ign.*Magn.*7.1,2; id. *Philad.*4.1 cit. s. εὐχαριστία; ἕνα ἄρτον κλῶντες id.*Eph.*20.2; ἔσται ἡ ἐκκλησία τοῦ θεοῦ ἓν σῶμα, μία φρόνησις, εἷς νοῦς, μία πίστις, μία ἀγάπη Herm.*sim.*9.18.4; *ib.*9.13.5; τοῖς εἰς αὐτὸν [sc. Christ] πιστεύουσιν, ὡς οὖσι μιᾷ ψυχῇ καὶ μιᾷ συναγωγῇ καὶ μιᾷ ἐκκλησίᾳ Just.*dial.* 63.5(M.6.621B); μία γάρ ἐστιν ἡ θεότης· καὶ διὰ τοῦτο μία τιμὴ καὶ μία ἐστὶ προσκύνησις ἐν υἱῷ...καὶ ὁ οὕτω προσκυνῶν ἕνα θεὸν προσκυνεῖ Ath.*Ar.*3.6(M.26.333B); εἷς θεὸς υἱὸς καὶ πατήρ, οὐ τῇ ὑποστάσει, ἀλλὰ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας· ὡς πάντες ἄνθρωποι ἐν Χριστῷ εἷς, οὐ τῇ ὑποστάσει, ἀλλὰ τῷ λόγῳ τῆς οὐσίας καὶ συμφωνίας ‡Ath.*dial.Trin.* 1.12(M.28.1136D); v. ἐκκλησία.

D. Valentinian aeon, Iren.*haer.*1.11.3(M.7.563A).

E. phrases; **1.** ἐν μιᾷ [sc. ἡμέρᾳ] *one day*, Jo.Mosch.*prat.*25(M. 87.2869D); *ib.*27(2873B); Leont.N.*v.Jo.Eleem.*8(p.15.10); *ib.*36(p.73. 10); **2.** πρὸ μιᾶς *the day before* πρὸ μιᾶς ἀρνούμενος...ὕστερον ὑπογράψας Ath.*decr.*3(p.3.12; M.25.420D).

εἰσάγ-ω, **1.** *introduce*; πίστις εἰσάξει Clem.*prot.*9(p.65.20; M.8. 200B); Or.*hom.8.9 in Jer.*(p.63.9; M.13.348A); into eternal life ~ει [sc. God] εἰς τὸν ἄφθαρτον ναόν *Barn.*16.9; *M.Polyc.*20.2; Ath.*Ar.* 1.42(M.26.100B); Gnost. εἰς τὸ πλήρωμα Clem.*exc.Thdot.*42(p.120. 4; M.9.680A); virtues φόβῳ δὲ ἀφοβίαν ~ων id.*str.*2.8(p.134.3; M. 8.976A); Or.*hom.19.15 in Jer.*(p.173.32; M.13.496C); Meth.*symp.* proem.(p.5.15; M.18.32D); divisions into Godhead, of Arians, Ath. *Ar.*2.37(M.26.225A); hence heresy into Church, id.*apol.sec.*82(p.161. 29; M.25.396C); **2.** *intrude*; heretics into Church, *ib.*17(p.99.39; 276B); id.*ep.Aeg.Lib.*19(M.25.581B); unlawful bishop into a see, id. *h.Ar.*81(p.230.12; M.25.796B); **3.** ὁ εἰσαγόμενος *catechumen*, Or.*Cels.* 3.15(p.214.15; M.11.940A); s.v.l., Eus.*v.C.*3.66(p.113.17; M.20.1144B).

εἰσαγωγεύς, **ὁ**, *one who introduces*, of Christ ὁ τῆς καινῆς...νομοθεσίας εἰ. Eus.*d.e.*1.6(p.34.29; M.22.68B); *ib.*3.2(p.97.15; 169B); ὁ τῆς ἀληθοῦς θεογνωσίας εἰ. *ib.*8 proem.(p.351.11; 572B); Χριστὸς... θύρα δέ, ὡς εἰ. Gr.Naz.*or.*30.21(p.142.17; M.36.132C); Melchizedekian αὐτὸν [sc. Melchizedek] εἶναι εἰ. πρὸς τὸν θεόν Epiph.*haer.* 55.8(p.334.11; M.41.985C).

εἰσαγωγή, **ἡ**, **1.** *beginning* τοῦ εὐαγγελίου Epiph.*haer.*51.6(p.255.2; M.41.897A); **2.** *introduction, initiation* πρὸς θεογνωσίαν...εἰ. Or. *fr.3 in Lam.*(p.236.9; M.13.608A); id.*fr.in Pr.*1:7(M.17.156D); Eus. *h.e.*1.2.22(M.20.65A); to piety, id.*d.e.*1.6(p.27.35; M.22.56C); εἰ. ἐπὶ τὴν τελειότητα ‡Nil.*perist.*12.6(M.79.952A); **3.** *bringing in* to the world περὶ εἰσαγωγὴν τοῦ πρὸς σωτηρίαν ἡμῶν ἀνθρώπου Ἰησοῦ Χριστοῦ ἀντὶ τοῦ πεσόντος...Ἀδάμ Euthal.Diac.*epp.Paul.*(M.85.749D).

εἰσαγωγικός, **1.** *introductory, preliminary* εἰ. ... διδασκαλίαν τῆς ἐκκλησίας Ath.*exp.Ps.*86:2(M.27.377B); †Bas.*Is.*204(1.532B; M.30. 472B); ὁ νόμος, τὸ εἰ. τῆς εὐσεβείας γράμμα Gr.Nyss.*usur.*(M.46. 441C); Cyr.*ador.*3(1.93D); of baptism εἰ. ... φωτισμός id.*Jo.*3.1(4. 250D); ἡ ὑπακοὴ...ἐν εἰ. ἀρεταῖς Ant.Mon.*hom.*39(M.89.1556B); of what is incomplete opp. perfect, John's baptism as εἰ. opp. Christ's as τελειωτικόν, Bas.*hom.*13.1(2.114B; M.31.425A); cf. Jo.D.*f.o.*4.9(M. 94.1124A); of fear, Olymp.*Eccl.*12:13(M.93.625D); δύο εἰσὶ φόβοι, εἷς εἰ., καὶ εἷς τέλειος Dor.*doct.*4.1(M.88.1657C); διάφορός ἐστιν ἡ πίστις. ἡ μὲν εἰ., ἡ δὲ τελεία Vict.*Mc.*9:28(p.361.32); **2.** as subst., *beginner, novice* Χριστὸς...τοῖς δὲ εἰ. σκύμνος Or.*sel.in Gen.*49:9(M.12.145B); opp. οἱ τελεῖοι, Thdt.*Ps.*110:9(1.1402); Jo.Clim.*scal.*2(M.88.653D).

εἰσαγωγός, *introducing* αἱ παραινέσεις...εἰ. εἰς εὐσέβειαν Bas.*hom. in Ps.*33(1.153C; M.29.376A); εἰ. ἀρεταί Diad.*perf.*41(p.46.21); ἄλλη ἐστὶν ἡ εἰ. χαρὰ καὶ ἄλλη ἡ τελειοποιός *ib.*60(p.66.24); *ib.*(p.68.4).

εἶσαι, = *εἰ thou art μὴ γὰρ οὐκ εἶσαι πονηρὸς δαίμων; Mir.Geo.* 13(p.30.12).

***εἰσαιτέω,** *ask for,* Andr.Cr.*Agath.*1(M.97.1437C).

***εἰσάκουσις, ἡ,** *listening to, attention* ἄξιος *εἰ...εἰσακούσεως* †Gregent.*disp.*(M.86.665B).

***εἰσακουστός,** *hearkened to,* Bas.*hom.in Ps.*33(1.148B; M.29.364A).

***εἰσακτικός,** *introductory εἰ.* διδασκαλία Eus.*Is.*54:12(M.24.465C); *ib.*60:11(493D); Proc.G.*Is.*60:11(M.87.2632A).

***εἰσαναβάλλομαι,** *put off, delay,* Cosm.Mel.*schol.*(M.38.530) in Gr.Naz.*carm.*2.1.50.75.

καθαρισμός, ὁ, A. *purification, purging*; **1.** of legal purifications of Jews; **a.** in gen. τὸν κ. τὸν διὰ Μωσέως *A.Phil.*15(p.8.15); Or. *princ.*4.2.5(p.314.9; M.11.365B); Μωυσῆς...λέγων ἐν τοῖς κ. Meth. *res.*1.62(p.327.17; M.41.1160D); *Const.App.*2.35.1; forbidden to Christians μὴ παρατηρεῖσθε...καθαρισμοὺς ἐπὶ θίξει νεκροῦ *ib.*6.30.1; **b.** partic. from leprosy καθαρθεὶς γὰρ τῆς λέπρας ὅμως ὑπὲρ τοῦ μολυσμοῦ τοῦ φθάσαντος χρόνου δεῖται τοῦ παρόντος κ., μᾶλλον δὲ καὶ ἄλλων τριῶν. εἰς γὰρ κ. τὸ 'ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ' καὶ τρεῖς μεταξὺ τῷ 'καὶ καθαρὸς ἔσται' τρίτον λεγομένῳ δηλούμενοι· καὶ πέμπτος καὶ τελευταῖος διὰ τοῦ· 'καὶ καθαρισθήσεται'. εἰσὶ γὰρ οἷον καὶ καθαρισμῶν προκοπαὶ πρὶν εἰς τὴν τελείαν ἐλθεῖν καθαρότητα Or.*hom.8.11 in Lev.* (p.411.33ff.; M.87.740C); **c.** ref. Christ and BMV εἰ δὲ ἔκειτο ὑπὲρ τοῦ κ. Μαρίας μόνης οὐδὲν ἐζητοῦμεν· νυνὶ δὲ 'τοῦ κ. αὐτῶν' φησίν. ἆρ' οὖν καὶ 'Ἰησοῦς δεῖται κ.; ἀλλ' ὅρα τὸ τόλμημα τοῦ λόγου· μνήσθητι τῶν εἰρημένων ἐν τῷ 'Ἰὼβ μυστικῶς· οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου id. *hom.14 in Lc.*(p.96.9ff.); **2.** as divine action, *1Clem.*60.2 cit. s. καθαίρω; through Passion of Christ, Or.*fr.90 in Jo.*(p.553.9); γένηται ὁ κ. ὕδατι καὶ αἵματι ἅπερ ἐξῆλθεν ἀπὸ τῆς πλευρᾶς τοῦ σωτῆρος id.*hom.8.10 in Lev.*(p.411.24); Ath.*Ar.*1.55(M.26.125C); τὸ γὰρ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως τὸν κ. τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο Gr.Nyss.*Eun.*2(2 p.385.18; M.45.568A); Cyr.*Ps.*8:2(M.69.757C); **3.** baptismal ὥσπερ οὖν συναπεθάνομεν αὐτῷ ἀποθνήσκοντι τότε, οὕτω περιετμήθημεν αὐτῷ περιτμηθέντι τότε· καὶ μετὰ τὴν περιτομὴν αὐτὴν γέγονεν οἰκονομία ἡ διὰ τοῦ προτέρου κ. Or. *hom.14 in Lc.*(p.95.4); id.*fr.36 in Jo.*(p.512.2); ἕτοιμον τὸ ὕδωρ πρὸς καθαρισμὸν τῶν προσερχομένων τῷ Χριστῷ *A.Xanthipp.*21(p.73.8); τρεῖς εἰσιν αἱ ἐπίνοιαι τοῦ βαπτίσματος, ὅ τε τοῦ ῥύπου κ., καὶ ἡ διὰ τοῦ πνεύματος ἀναγέννησις, καὶ ἡ ἐν τῷ πυρὶ τῆς κρίσεως βάσανος... δέονται δὲ αἱ μὲν κατ' ἄγνοιαν ἁμαρτίαι, οἱονεὶ ῥύπος τις οὖσαι,...τοῦ ἐκ τῆς πλύσεως κ. †Bas.*Is.*137(1.475A,B; M.30.341A); τὸ ὕδωρ τοῦ ῥαντισμοῦ τὸ ἔχον σποδὸν τῆς δαμάλεως, καθαρισμὸν ἐποίει ἀκουσίων ἁμαρτημάτων...τὸ δὲ Ἰωάννου βάπτισμα τοῖς γνησίως μετανοοῦσι καὶ τῶν ἑκουσίων παρεῖχεν αἵρεσιν. τὸ δὲ τοῦ Χριστοῦ, πάντων τῶν ἁμαρτημάτων Ammon.*Jo.*3:26(M.85.1413B); **4.** moral κ. ἡ διὰ νόμου καὶ προφητῶν εἰς τὸ εὐαγγέλιον πίστις Clem.*str.*4.25(p.318.25; M.8.1368B); ὁ δὲ ἐν τῷ σώματι κ. τῆς ψυχῆς [πρώτης] πρῶτος οὗτός ἐστιν, ἡ ἀποχὴ τῶν κακῶν *ib.*6.7(p.462.9; M.9.281B); ψυχὴ...καθαριζομένη εἰς τὸ τέλειον τοῦ κ. φθάνει, τοσοῦτον τῇ ἀγάπῃ προστιθεῖσα, ὅσον ἐλαττοῦται τῷ φόβῳ Diad.*perf.*17(p.22.4); **5.** exeg. Is.6:6f. πῦρ ληφθὲν...εἰς κ. τῶν χειλέων αὐτοῦ †Bas.*Is.*183(1.513B; M.30.428B); ἐπουράνιόν τι χρὴ νοεῖν θυσιαστήριον· τουτέστι, χωρίον καθαρισμοῦ ψυχῶν *ib.*186(1.516D; M.436A); **6.** of Church from heretics ἐπισκόπους τε καὶ πρεσβυτέρους...[ἀ]παντῆσαι εἰς Καισαρίαν...πρὸς διάκρισιν περ[ὶ] κ[α]θαρισμοῦ ⟨τοῦ⟩ ἁγίου Χριστιανικοῦ [π]λήθους *PLond.*1913.6 (anno 334); **7.** in Apollinarian Christol. argument ὅπου γὰρ τέλειος ἄνθρωπος, ἐκεῖ καὶ ἁμαρτία· καὶ ἔσται αὐτῷ χρεία τοῦ καθ' ἡμᾶς κ. ‡Ath.*Apoll.*1.2(M.26.1096B); **8.** in pagan mysteries (usu. καθαρμός) μίσησον καὶ τὸν κ., καὶ τὸν ὀρχηθμὸν φεῦγε ‡Ath.*exhort.*2(M.28.1112C); φεύγετε...μαντείας, καθαρισμούς *Const.App.*2.62.2.

B. *acquittal* (tr. Lat. *purgatio*) *περὶ τοῦ κ. τοῦ αὐτοῦ τὰ παρόντα γράμματα...ἀπεστείλαμεν Cod.Afr.*138.

***καθαριστικός,** *purifying*, abs. *κ. αὔραν...τοῦ ἁγίου πνεύματος* Diad.*perf.*75(p.94.6); neut. as subst. *τὸ δὲ κ....τῆς τελειώσεως ib.*51 (p.56.22).

[*]**καθαρίως,** *neatly, tidily*, Dor.*doct.*2.5(M.88.1645B).

καθαρμόζω, *marry, espouse*, ref. 2Cor.11:2 *ὥσπερ κατὰ τὸν ἀπόστολον αὐτῷ* [sc. *Χριστῷ*] *κ. τε καὶ νενυμφευμένοι* Meth.*symp.*3.8 (p.37.7; M.18.73D); *ib.*4.5(p.51.11; 93C).

καθαρμός, ὁ, *purification* (ritual); pagan, Clem.*str.*7.4(p.19.7; M.9.433A); Jewish, Chrys.*hom.73.1 in Mt.*(7.709A); Nonn.*par.Jo.* 3:25(M.43.772A); *cat.Jo.*2:6(p.198.34); of baptism *τοῦ μυστικοῦ κ.* Chrys.*catech.*1.2(2.228A); spiritual *μάκαρ, ὃς...διασεύεται καθαρμοῖσι ψυχάν* ‡Gr.Naz.*Chr.pat.*1141(M.38.227A).

***καθαρογραφέω,** *write out clearly*, Anast.S.*hod.*10(M.89.149D).

καθαροποι-έω, 1. *purify*, ref. baptism, Clem.*str.*5.8(p.363.18; M.9. 85B); **2.** *make clear* ~*ουμένου τοῦ σφάλματος αὐτοῦ καὶ φανερωμένου* †Gregent.*leg.Hom.*53(M.86.609A); hence *explain τρανώσας τὴν προφητείαν, μᾶλλον δὲ* ~*ήσας* †Gregent.*disp.*(M.86.689C); *ib.*(692A).

***καθαροποιός,** *making pure*, neut. as subst. *τῷ καθαρισμῷ τὸ κ.* [sc. H. Ghost] *συμπροέρχεται* Job.Mon.*inc.*2(M.86.3316C).

***καθαροποτίον, τό,** *shop selling white bread and wine*, †Gregent. *leg.Hom.*1(M.86.581C).

καθαρός, I. *pure*;

A. of God; as being without admixture of matter *πνεῦμα ὁ θεός ...κ. καὶ ἀόρατος ἡ θεία φύσις αὐτοῦ* Heracleon ap.Or.*Jo.*13.25(p.248. 29; M.14.440D); of divine light *ἀφετέ με κ. φῶς λαβεῖν* Ign.*Rom.*6.2; *φῶς ἡμῖν ἐξ οὐρανοῦ...ἐξέλαμψεν ἡλίου καθαρώτερον* Clem.*prot.*11 (p.80.18; M.8.232B); of Christ in respect of humanity and divinity *κ. Ἰησοῦν* id.*paed.*2.12(p.228.6; M.8.540C); *ὁ κ. ... θεὸς ἡμῶν Ἰησοῦς Χριστός A.Jo.*107(p.205.1); *ὑπὲρ τοῦ λαοῦ δὲ ἀπέθανεν ὁ ἄνθρωπος, τὸ πάντων ζῴων καθαρώτερον* Or.*Jo.*28.18(14; p.413.6; M.14.720D); *ἄτρωτός γε ἔμεινεν ἡ σοφία...κἂν τεμνομένῳ συνῆν καὶ προσηλωμένῳ τῷ σώματι...καθαρωτέρα φύσεως πάσης μετὰ τὸν γεννησάμενον αὐτὴν θεὸν ὑπάρχουσα* Meth.*Porph.*2(p.506.5; M.18.404B); *ἐβαπτίσθη δὲ καὶ ἐνήστευσεν...ὁ τῇ φύσει κ. Const.App.*7.22.5; of his birth *τὴν παρθενικὴν καὶ κ. γέννησιν* Or.*Cels.*6.73(p.142.24; M.11.1408C); of his body, *ib.*(p.236.23; 1545D); Ath.*inc.*8.3(M.25.109C).

B. of created spirits in relative sense *ψυχὴ...αἷμα καὶ σάρξ, οὐκέτι πνεῦμα κ. γιγνομένη* Athenag.*leg.*27.1(M.6.952D); *καθαρωτέρας οὐσίας παρὰ τὰ ἄλλα ζῷα μετασχών* [sc. *ἄνθρωπος*] Clem.*str.*5.13 (p.384.2; M.9.129A); *θεὸν...ἔχειν εἰκόνας ἑαυτοῦ ἀπὸ τῆς πνευματικῆς καθαρωτέρας οὐσίας, οἷον τοὺς ἀγγέλους* Meth.*res.*2.24(p.379.20; M.18. 329C); ref. thrones *κ. ... αὐτὰς ἡγητέον* [sc. *τὰς πρώτας οὐσίας*], *οὐχ ὡς ἀνιέρων κηλίδων καὶ μολυσμῶν ἠλευθερωμένας, οὐδ' ὡς προσύλων ἀνεπιδέκτους φαντασιῶν, ἀλλ' ὡς πάσης ὑφέσεως ἀμιγῶς ὑψηλοτέρας, καὶ παντὸς ὑποβεβηκότος ἱεροῦ* Dion.Ar.*c.h.*7.2(M.3.208A); ref. demons, Or.*Jo.*13.59(58; p.291.5; M.14.512C).

C. of heavenly life *αἰωνίου καὶ κ. βίου* Just.*1apol.*8.2(M.6.337B); *ἐν τοῖς καθαρωτάτοις τοῦ κόσμου χωρίοις ἢ καὶ τοῖς τούτων καθαρωτέροις ὑπερουρανίοις* Or.*Cels.*5.4(p.4.16f.; M.11.1185A,B); *ἡ μὲν κ.* [sc. *ψυχή*]*...μετέωρος φέρεται ἐπὶ τοὺς τόπους τῶν καθαρωτέρων καὶ αἰθερίων σωμάτων ib.*7.5(p.156.27; 1425D); *ib.*7.32(p.183.4; 1465C); *δρύακων...ἀποπεσὼν τῆς κ. ζωῆς* id.*Jo.*1.17(p.21.14; M.14.52B); *εἰς κ. οἴκησιν ἀδύτων φώτων* Meth.*symp.*4.5(p.51.21; M.18.96A); *ἵνα...μετὰ τὸ ἀποθανεῖν ἐκτακείσης τῆς ἁμαρτίας ἐγερθεὶς ὁ ἄνθρωπος κ. φάγῃ τῆς ζωῆς* id.*res.*1.39(p.284.8; M.41.1108C).

D. of Christians; **1.** of baptized in gen. *ἐὰν κ. ὄντες ἀπὸ παντὸς παραπεμφθῶμεν ἀδικήματος* Athenag.*leg.*12.3(M.6.913C); *φυλάξωμεν κ. ἑαυτοὺς τῷ θεῷ, ταῦτα γὰρ κανόνες εἰσὶν καὶ θεσμοὶ τῆς ἐκκλησίας* Meth.*lepr.*9(p.462.10); *ὁ δὲ βαπτιζόμενος ὑπαρχέτω...κ. Const.App.* 3.18.1; defended against pagan attacks *φησί* [sc. Cels.] *δ' ἡμᾶς καὶ μηδὲν κ. βλέπειν, τοὺς πειρωμένους μηδὲ μεχρὶ τῶν λογισμῶν ὑπὸ τῶν ἐνθυμημάτων τῆς κακίας μολύνεσθαι καὶ ἐν τῇ εὐχῇ λέγοντας· 'καρδίαν κ. κτίσον ἐν ἐμοὶ ὁ θεὸς...' ἵνα τῇ μόνῃ πεφυκυίᾳ βλέπειν θεὸν καρδίᾳ κ. θεασώμεθα αὐτόν* Or.*Cels.*7.45(p.196.13ff.; M.11.1485C); **2.** esp. of those aiming at perfection, ref. 'gnostic' *σύνοικος ὢν τῷ κυρίῳ... καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν* Clem.*str.*2.20(p.170. 12f.; M.8.1049A); *τοῦ γνωστικοῦ μόνου...ὁ βίος κ. ἀπὸ παντὸς πονηροῦ ἔργου* id.*ecl.*30(p.146.12; M.9.713C); of virgins, Meth.*symp.*4.3(p.48. 7; M.18.89D); *ib.*11(p.138.11; 216B); *ὦ ἐπίσκοπε, σπούδαζε κ. εἶναι τοῖς ἔργοις, γνωρίζων τὸν τόπον σου καὶ τὴν ἀξίαν, ὡς θεοῦ τύπον ἔχων ἐν ἀνθρώποις Const.App.*2.11.1; *ἡ δὲ τῶν τριχῶν ἀπόκαρσις ἐμφαίνει τὴν κ. ... ζωήν* Dion.Ar.*e.h.*6.3.3(M.3.536A); **3.** ref. causes of purity: martyrdom *σῖτός εἰμι θεοῦ καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα κ. ἄρτος εὑρεθῶ* Ign.*Rom.*4.1; observance of precepts of scripture, Or. *hom.2.3 in Jer.*(p.20.6; M.13.281B); chastity *τὸ...τὴν ψυχὴν...καθαρὰν ἀπολουθῆναι τοῦ κόσμου, μόνῃ ποιεῖ...ἀγνεία* Meth.*symp.*10.1(p.121.25; M.18.192C); grace *ἔρχεται ἡ χάρις, καὶ ἀπεκδύεται ὅλον τὸ σκέπασμα, ὥστε λοιπὸν τὴν ψυχὴν κ. γενομένην καὶ ἀναλαβοῦσαν τὴν ἰδίαν φύσιν τὸ κτίσμα τὸ ἄμωμον καὶ κ., πάντοτε λοιπὸν καθαρῶς ἐν τοῖς κ. ὀφθαλμοῖς τὴν δόξαν τοῦ φωτὸς τοῦ ἀληθινοῦ καθορᾶν* Mac.Aeg.*hom.*17.3(M.34. 625B); **4.** ref. relation between purity of body and purity of soul *βαπτίσθητε τὴν ψυχὴν ἀπὸ ὀργῆς καὶ ἀπὸ πλεονεξίας, ἀπὸ φθόνου, ἀπὸ μίσους· καὶ ἰδοὺ τὸ σῶμα κ. ἐστι* Just.*dial.*14.2(M.6.504D); cf. *καταργήσαντες δὲ τὰ τῆς σαρκὸς ἔργα, αὐτῇ κ. τῇ σαρκὶ ἐπενδυσάμενοι τὴν ἀφθαρσίαν* Clem.*paed.*2.10(p.217.19; M.8.517B); *εἰς δὲ τὰ ἅγια καὶ τὰ ἅγια τῶν ἁγίων* [sc. Communion] *ὁ μὴ πάντη κ. καὶ ψυχῇ καὶ σώματι προσιέναι κωλυθήσεται* Dion.Al.*ep.can.*2(p.103.10; M.10.1281A); *ὁ δερμάτινος ἔοικεν εἶναι χιτὼν ἐπιρραφεὶς καὶ ἐπιταθεὶς τῷ προτέρῳ καὶ κ. σώματι, ὃν ὁ...κύριος ἡμῶν τὸν ἄνθρωπον ἐνέδυσεν* †Dion.Al.*fr. Cant.*(p.229.7); *τὰ δὲ κ. τῶν ἱερῶν ψυχῶν...σώματα...συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν* Dion.Ar.*e.h.*7.1.1(M.3.553A); **5.** ref. knowledge of God and spiritual life *ὁ φόβος αὐτοῦ σώζων πάντας τοὺς...ἀναστρεφομένους ἐν κ. διανοίᾳ 1Clem.*21.8; Clem.*prot.*10(p.72.8; M.8. 213B); *κ. πρὸς γνώσεως ἐπιτηδειότητα εὐτρεπίζων τὴν ψυχήν* id.*paed.* 1.1(p.91.14; M.8.252B); *καθαρὸς εἰς εὐχὴν πάντοτε* id.*str.*7.12(p.56.5; M.9.508C); *κύριε...γνωρίζωμέν σου τὸ μέγεθος ἀθεώρητον ἡμῖν ἐπὶ τοῦ παρόντος ὑπάρχον, καθαροῖς δὲ θεωρητόν A.Jo.*109(p.208.9); *τὰ τοῖς κ. ψυχὴν καὶ σῶμα παραδεικνύντα ἀποκάλυψιν μυστηρίου* Or.*Cels.*3.61 (p.255.17; M.11.1000D); Thdt.*Joel.*2:28f.(2.1399); *τῇ κ. τοῦ κρυφίου θέᾳ* Dion.Ar.*myst.*2(M.3.1025B); *κ. ... ὑποδοχὴν τῶν θεαρχικῶν ἐλλάμψεων* id.*c.h.*15.3(M.3.332A); id.*e.h.*1.4(M.3.376B); *ἐν κ. θεωρίᾳ ib.* 7.3.9(565B); *οἱ γὰρ τέλειοι, τῆς θεωρητικῆς ἤδη μυστικῶς ἀξιωθέντες θεολογίας, καὶ πάσης φαντασίας ὑλικῆς τὸν νοῦν κ. καταστήσαντες* Max.*cap.*1.68(M.90.1208A); **6.** exeg.; **a.** Mt.5:8 *καθαροὺς τῇ καρδίᾳ γενομένους κατὰ τὸ προσεχὲς τοῦ κυρίου προσμένει τῇ θεωρίᾳ τῇ ἀιδίῳ ἀποκατάστασις...τὸν κ. τῇ καρδίᾳ πρόσωπον πρὸς πρόσωπον... τὸν θεὸν ἐποπτεύειν* Clem.*str.*7.10(p.41.21,30; M.9.480B,C); **b.** Jo.13:10 *ἐπεὶ τοίνυν εἶχον καὶ οἱ μαθηταὶ τὸ εἶναι κ., προστίθησιν 'Ἰησοῦς τῇ καθαρότητι αὐτῶν καὶ τὸ νίπτειν αὐτῶν τοὺς πόδας'...οὔτε τοὺς μὴ ὅλους κ., ἀλλ' οὕτως ὥστ' ἂν εἰπεῖν περὶ τῶν οὕτως κ.· κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ 'Ἰησοῦ, ἐν' οὕτως ὀνομάσω, καθαρότητος ἀπούσης, εἰς κ. οὐ λογισθήσεται...διὰ τοῦτ' αὐτῶν ἔνιψεν τοὺς πόδας, ἐπεὶ ἦσαν ὡς ἐν ἀνθρώποις καθαροὶ ἀλλ' οὐχὶ καὶ παρὰ θεῷ· χωρὶς γὰρ 'Ἰησοῦ οὐδεὶς παρὰ θεῷ κ. γίνεται, κἂν πρὸ τούτου νομισθῇ διά τινος ἐπιμελείας αὐτὸν κ. πεποιηκέναι, τοῖς δ' ὡς ἐν ἀνθρώποις κ. ἤδη γεγενημένοις, καὶ λουσαμένοις τὸ τοῦ 'Ἰησοῦ βάπτισμα...ἐνοικεῖν καὶ τὸ ἅγιον δύναται πνεῦμα* Or.*Jo.*32.7(6; p.436.8ff.; M.14.757B,C).

E. of Christian institutions and activities; **1.** of Church and its teaching and worship *τοὺς περὶ τοῦ ἀληθινοῦ φωτὸς καθαροὺς...λόγους* Clem.*str.*1.12(p.35.24; M.8.753A); *τὴν κ. τῆς διδασκαλίας...σποράν* Meth.*symp.*3.8(p.37.7; M.18.73D); *ib.*7.4(p.75.15; 129C); *ἡ τῆς καθόλου καὶ μόνης ἀληθοῦς ἐκκλησίας λαμπρότης,...τό τε σῶφρον καὶ κ. τῆς ἐνθέου πολιτείας* Eus.*h.e.*4.7.13(M.20.320B); *τὸ τῆς καθολικῆς ἐκκλησίας κ.* Const.ap.Gel.Cyz.*h.e.*3.18.13; *τῆς τοῦ θεοῦ κ. ὑπηρεσίας* Dion.Ar. *e.h.*6.1.3(M.3.533A); *εὐχῶν κ. Lit.Marc.*(Brightman p.135.13); **2.** of Christian virtues and states of mind; **a.** conscience *τῶν ἐν κ. συνειδήσει λατρευόντων 1Clem.*45.7; *ἐργάσησθε αὐτὰς* [sc. *ἐντολάς*] *ἐν κ. καρδίᾳ* Herm.*vis.*5.7; through repentance, id.*sim.*7.5; id. *mand.*12.3.2; Or.*Jo.*20.31(25; p.368.25; M.14.645A); *κ. ἀπὸ ἁμαρτίας μετάνοια ib.*32.19(12; p.458.18; 793C); Meth.*lepr.*7(p.460.11); ref. catechumens *διαφυλαττέσθωσαν...ἐν τῇ κ. φρονήσει* Serap.*euch.* 3.3; **b.** faith and charity *ἀγάπη...χρῆμα κ.* Clem.*paed.*2.1(p.157. 25; M.8.388B); *τῇ πρὸς αὐτὸν* [sc. *θεόν*] *καθαρωτάτῃ πίστει πέποιθα* Const.ap.Gel.Cyz.*h.e.*2.7.38(M.85.1241A); **c.** spiritual joy *τῆς θείας ...ἐμπίμπλασθαι θέας, τῆς...κ. γενομένους ἡδονῆς* Clem.*paed.*2.1(p.160. 6; M.8.393A); *ib.*3.12(p.282.25; 664A); Chrys.*hom.12.7 in Rom.*(9. 553D); id.*hom.1.3 in 1Tim.*(11.554B); **d.** spiritual freedom, Meth. *res.*3.9(p.403.6); Chrys.*hom.0.4 in Rom.*(9.517E); **e.** spiritual health, *ib.14.11*(9.593D); id.*hom.15.5 in 2Cor.*(10.551A); **3.** of marriage and childbirth *κ. οὖν τὸν γάμον ὥσπερ τι ἱερὸν ἄγαλμα τῶν μιαινόντων φυλακτέον* Clem.*str.*2.23(p.192.25; M.8.1096A); *ἵνα μείνῃ μονόγαμος καὶ κ.* Or.*hom.20.4 in Jer.*(p.182.26; M.13.508C); *ἀνὴρ οὖν καὶ γυνή, νομίμῳ γάμῳ συνερχόμενοι καὶ ἀπ' ἀλλήλων ἐγειρόμενοι, ἀπαρατηρήτως προσευχέσθωσαν· καὶ μὴ λουσάμενοι κ. εἰσιν. ὃς δ' ἂν ἀλλοτρίαν γυναῖκα ὑποφθείρας μιάνῃ...ἀναστὰς ἀπ' αὐτῆς, οὐδ' ἂν τὸ πέλαγος ὅλον καὶ τοὺς ποταμοὺς πάντας ἀπολούσηται, κ. εἶναι δυνήσεται Const.App.*6.29.4; *ἡ τῶν παίδων γένεσις κ. ib.*6.28.6.

F. ref. cult and ritual; **1.** in Jewish food laws *τὸ κ. βρῶμα καὶ τὸ ἀκάθαρτον κατὰ τὸν Μωυσέως νόμον* Or.*or.*27.12(p.371.22; M.11. 516C); id.*Cels.*2.1(p.127.17; M.11.796B); *φύσει μὲν κ. ὑπάρχει πάντα*

τὰ ζῷα...ἀλλ' ἐπειδὴ ἐβούλετο ὁ θεός, ὥσπερ ἐν πᾶσι, τοῖς ἐσθιομένοις ὑπὸ τὸν ζυγὸν τῆς τοῦ νόμου δουλείας ποιήσασθαι τοὺς 'Ιουδαίους, διὰ τοῦτο τῶν ζῴων...τινὰ μὲν ὠνόμασε κ., ὧν...τὴν βρῶσιν τοῖς 'Ιουδαίοις ἐπέτρεψε· τινὰ δὲ ἀκάθαρτα ὠνόμασεν, ὧν τὴν βρῶσιν αὐτοὺς ἀπεῖργε. κ. οὖν ταῦτα καὶ ἀκάθαρτα λέγονται· κ. μέν, διὰ τὴν φύσιν· ἀκάθαρτα δέ, διὰ τὸν νόμον ‡Just.*qu.et resp.*35(M.6.1281B,C); *Const.App.*6.20.8; **2.** in Christian eucharist εὐχαριστήσατε, προεξομολογησάμενοι τὰ παραπτώματα ὑμῶν ὅπως κ. ἡ θυσία ὑμῶν ᾖ *Did.*14.1; ἵνα πάσης μικροψυχίας ἀναιρουμένης τὸ δῶρον κ. προσφέρηται τῷ θεῷ CNic.(325) *can.*5; v. θυσία.

II. neut. plur. as subst., *white loaves* δός μοι ὀλίγα ὠά, καὶ ὀλίγα κ. Jo.Mosch.*prat.*211(M.87.3104B).

III. masc. plur. as subst., name given to themselves by Novatianists, v. *Ναυατιανός*, Eus.*h.e.*6.43.1(M.20.616B); ref. eccl. legislation, CNic.(325)*can.*8; Bas.*ep.*188 *can.*1(3.268C; M.32.664C); ‡CCP(381)*can.*7; name criticized by orthodox αὐτὸς γὰρ [sc. *Χριστός*] μόνος ἐστὶ κ. ... οὗτοι δὲ ἑαυτοὺς φήσαντες κ. ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἀκαθάρτους ἑαυτοὺς ἀποτελοῦσι· πᾶς γὰρ ὁ κ. ἑαυτὸν ἀποφήνας ἀκάθαρτον ἑαυτὸν τελείως κατέκρινε Epiph.*haer.*59.6(p.372.2; M.41.1028C); ποῦ οἱ κ. λεγόμενοι, οἱ παντὸς ῥύπου γέμοντες; Chrys.*hom.14.2 in Eph.*(11.105F); Leont.B.*Nest.et Eut.*2(M.86.1320C).

***καθαρότευκτος**, *purely wrought* τὸ κ. κυρίου δῶμα [sc. BMV] Thdr.Stud.*nativ.BMV* 7(M.96.689C).

καθαρότης, ἡ, *purity*;

A. divine ἡ θεία φύσις...κ. Gr.Nyss.*or.dom.*2(p.32.28; M.44.1140D); of Christ ἡ ἀπαρχὴ τοῦ φυράματος διὰ κ. τε καὶ ἀπαθείας ᾠκειώθη τῷ ἀληθινῷ πατρὶ καὶ θεῷ id.*perf.*(p.206.10; M.46.280B); ὁ κύριος...τῇ δὲ προσθήκῃ τοῦ ὕδατος τὴν ἄχραντον κ. ἐδήλου, καὶ ὅτι τοῦ θεοῦ τὸ σῶμα ‡Ath.*Apoll.*1.18(M.26.1125B).

B. ref. relationship between divine and human purity, ref. Mt.5:8 ἱκανὴ δὲ ἡ τῆς ψυχῆς κ. ἐστὶ τὸν θεὸν δι' ἑαυτῆς κατοπτρίζεσθαι Ath.*gent.*2(M.25.8B); πόθῳ τῆς ἀφθαρσίας ἀνακραθεῖσαι [sc. αἱ ψυχαί] τῇ τοῦ θεοῦ κ. Gr.Nyss.*hom.15 in Cant.*(M.44.1112D); οὕτω γίνεται μακάριος ὁ καθαρὸς τῇ καρδίᾳ, ὅτι πρὸς τὴν ἰδίαν κ. βλέπων, ἐν τῇ εἰκόνι καθορᾷ τὸ ἀρχέτυπον id.*beat.*6(M.44.1272B); as part of the image of God, id.*hom.opif.*5.1(M.44.137B); μία γὰρ τῇ φύσει ἡ κ. ἥ τε ἐν τῷ Χριστῷ καὶ ἡ ἐν τῷ μετέχοντι θεωρουμένη id.*perf.*(p.212.10; M.46.284D); ὁ νοῦς ὁ ἀνθρώπινος καταλιπὼν τὸν θολερὸν τοῦτον καὶ αὐχμώδη βίον, ἐπειδὰν καθαρὸς γενόμενος ἐν τῇ δυνάμει τοῦ πνεύματος φωτοειδὴς γένηται καὶ ἐμμιχθῇ τῇ...ὑψηλῇ κ. ... μὴ δυνατὸν ἑτέρως εἶναι συναφθῆναι τὴν ψυχὴν τῷ ἀφθάρτῳ θεῷ, μὴ καὶ αὐτὴν ὡς οἷόν τε καθαρὰν γενομένην διὰ τῆς ἀφθαρσίας, ὡς ἂν διὰ τοῦ ὁμοίου καταλάβοι τὸ ὅμοιον, οἱονεὶ κάτοπτρον τῇ κ. τοῦ θεοῦ ἑαυτὴν ὑποθεῖσαν id.*virg.*11(p.295.10–p.296.6; M.46.368A,C); gained through baptism ἴδιον δὲ τῆς θείας ἐνεργείας ἡ τῶν δεομένων ἐστὶ σωτηρία. αὕτη δὲ διὰ τῆς ἐν ὕδατι καθάρσεως ἐνεργὸς γίνεται. ὁ δὲ καθαρθεὶς ἐν μετουσίᾳ τῆς κ. ἔσται, τὸ δὲ ἀληθῶς καθαρὸν ἡ θεότης ἐστίν id.*or.catech.*36(p.140.7; M.45.92D); cf. ψυχὴ δὲ διὰ περιπλοκῆς σοφίᾳ ἑνωθεῖσα, ἁγιασμοῦ πληροῦται καὶ κ. Hipp.*fr.7 in Pr.*(p.159.9).

C. in spiritual life; **1.** in gen. ἐν κ. καρδίας συνήσετε τὸ θέλημα τοῦ θεοῦ κρατεῖν *T.Neph.*3.1; Clem.*str.*6.3(p.446.23; M.9.249A); *ib.*6.7(p.459.20; 277A); Thdt.*h.rel.*13(3.1208); οὐ γὰρ τὸ μηκέτι πρᾶξαι τὰ κακὰ μόνον κ. φέρει, ἀλλὰ τὸ ἐπιμελείᾳ τῶν καλῶν κατὰ κράτος ἀθετῆσαι τὰ κακά Diad.*perf.*98(p.146.6); Dion.Ar.*d.n.*3.3(M.3.684B); **2.** as necessary for contemplation and union with God σὺν Χριστῷ γενόμενος, ἄξιον ἑαυτὸν παρασχὼν διὰ καθαρότητα Clem.*str.*7.12(p.56.26; M.9.509B); τῷ ἐπιτηδείῳ δι' ὑπερβολὴν καθαρότητος νῷ θεωρούμενα δόξα ἂν λέγοιτο εἶναι θεοῦ ὀφθεῖσα Or.*Jo.*32.27(17; p.472.28; M.14.816D); Gr.Nyss.*hom.13 in Cant.*(M.44.1037A); οἱ τῆς θείας ἐπιβάσεως ἄξιοι διὰ τὴν τῆς ψυχῆς κ. ὧν ἐν ταῖς καρδίαις αἱ τοῦ θεοῦ ἀναβάσεις Thdt.*Ezech.*28:16(2.916); τῇ τῆς ψυχῆς κ., δι' ἣν καὶ τοῦ θείου κάλλους τὴν φαντασίαν δεχόμενος id.*h.rel.*4(3.1156); αἱ ψυχαὶ... πρὸς μίαν νοερὰν συνάγουσαι κ., προβαίνουσιν...ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν Dion.Ar.*d.n.*11.2(M.3.949D); cf.Max.*schol.d.n.*11.2(M.4.396B); ἀνὴρ...διὰ πολλὴν κ. νοῦ πρὸς θεοπτείαν ἐπιτηδειότατος Dion.Ar.*ep.*8.6(M.3.1097B); **3.** in rel. to spiritual knowledge οἱ...πάντα τὸν χρόνον ἀναθέντες τῇ ἐξετάσει τῶν ἱερῶν γραμμάτων τοῖς ἐπιτηδείοις διὰ βίου καθαρότητα καὶ τὴν περὶ τὰ θεῖα φιλομάθειαν παραστήσουσιν Or.*Cels.*7.30(p.181.14; M.11.1464B); ζητεῖν δὲ τὴν τῶν μελλόντων γνῶσιν ἐν ψυχαῖς δι' ἄκραν κ. παραδεξαμέναις πνεῦμα τοῦ ἐπὶ πᾶσι θεοῦ *ib.*5.42(p.46.21; 1248C); πᾶσι τοῖς μέλλουσι βλέπειν διὰ τὴν αὐτῶν κ. τὴν ἁμαρτίαν τοῦ ἡμαρτηκότος id.*hom.16.10 in Jer.*(p.142.24; M.13.452D); τὴν...προδιορατικὴν...κ., ὅτι τὰ ἐν τῇ διανοίᾳ...φυόμενα...λαθεῖν οὐ δύνανται Gr.Mag.*dial.*(tr.Zach.)2.20(M.*PL*.66.1718); κ. δὲ καρδίας ἐδέξατο ἔλλαμψιν Jo.Clim.*scal.*7(M.88.813B); γινώσκει ἄνθρωπος ὅτι ἦλθεν εἰς τὴν κ. ἡ καρδία αὐτοῦ, ὅταν πάντας καλοὺς θεωρῇ, καὶ οὐχ ὁρᾶταί τις αὐτῷ ἀκάθαρτος Isaac ap. Jo.Clim.*scal.*7(M.88.825A); ἑκάστῳ γὰρ ἡ γνῶσις κατὰ τὴν ἀναλογίαν τῆς κ. Areth.*Apoc.*39(M.106.684C); **4.** equated with holiness, Or.*or.*25.3(p.359.12; M.11.500A); Dion.Ar.*d.n.*12.2(M.3.969B); **5.** hence requisite in priests and religious and others aiming at perfection ὧς τινας αὐτῶν διὰ τὸν ἔρωτα τῆς ὑπερβαλλούσης κ. καὶ διὰ τὸ καθαρώτερον θρησκεύειν τὸ θεῖον μηδὲ τῶν συγκεχωρημένων ὑπὸ τοῦ νόμου ἅπτεσθαι ἀφροδισίων Or.*Cels.*1.26(p.78.27; M.11.712A); as opp. conjugal chastity εἰσί τινες οἳ... ἀσκοῦσι τὴν ἁγνείαν καὶ τὴν κ., καὶ ἄλλοι οἳ...ἀσκοῦσι τὴν μονογαμίαν id.*hom.20.4 in Jer.*(p.182.22; M.13.508C); δεόμεθα ὑπὲρ τῶν μοναζόντων καὶ ὑπὲρ τῶν παρθενευουσῶν...ἵνα δυνηθῶσιν ἐν κ. διατρῖψαι Serap.*euch.*11.5; ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσελεύσεται...ἐν πάσῃ τῇ κατὰ νόμον ἱεραρχικῇ κ. Dion.Ar.*ep.*8.1(M.3.1089C); αὐτοῦ [sc. ἱεράρχου]...ἐν κ. τῆς θεοειδοῦς ἕξεως ἀναγομένου id.*e.h.*3.2(M.3.428A); μέση δὲ τάξις ἐστὶν ἡ θεωρητικὴ καὶ τινων ἱερῶν ἀναλόγως ἐν κ. πάσῃ κοινωνός *ib.*6.1.2(532B); ablution of hands being its symbol ὑποδιάκονος διδότω ἀπόρρυψιν χειρῶν τοῖς ἱερεῦσιν, σύμβολον καθαρότητος ψυχῶν θεῷ ἀνακειμένων *Const.App.*8.11.12.

D. as style of address to bishops, Dam.Papa *ep.Illyr.*ap.Thdt. *h.e.*2.22.10(3.884).

***καθαροχειρία**, ἡ, *cleanliness of hands*; in weaving, Thdr.Stud. *poem.*1.110(M.99.1748C).

καθαρπάζω, **1.** *take away, carry off*, Or.*adnot.in Dt.*14:19(M.17.25C); *A.Xanthipp.*23(p.74.24); *ib.*24(p.75.4); **2.** intrans., *steal away, withdraw* from; c. genit., Const.ap.Eus.*v.C.*3.64(p.111.31; M.20.1140C).

καθάρσιος, I. *purifying*, freq. neut. as subst., *purification*;

A. in OT; **1.** ref. Babel ἡ κατὰ τὸν πύργον ἱστορία κειμένη ἐν τῇ Γενέσει ἀλλ', ὡς οἴεται Κέλσος, σαφὴς τυγχάνῃ, οὐ δ' οὕτως φαίνεται ἐπὶ καθαρσίῳ τῆς γῆς τοῦτο συμβεβηκέναι· εἰ μὴ ἄρα καθάρσιον τῆς γῆς οἴεται τὴν καλουμένην τῶν γλωσσῶν σύγχυσιν Or.*Cels.*4.21(p.290.12; M.11.1053B); and Flood ἡ δ' ἐν τῷ κατακλυσμῷ διαφθορὰ τῶν ἀνθρώπων καθάρσιόν ἐστι τῆς γῆς *ib.*6.58(p.129.9; 1388C); **2.** ritual, Gr.Nyss.*v.Mos.*(M.44.321B); Chrys.*hom.53.3 in Mt.*(7.541E); Nonn. *par.Jo.*2:6(M.43.761A); Isid.Pel.*epp.*4.200(M.78.1288C); **3.** ref. Is.6:7 ἐκπέμπεται ταῖς ἁγιαζομέναις δυνάμεσι τὸ κ. πῦρ †Bas.*Is.*186(1.516D; M.30.436A).

B. Christ as agent of purification ὁ κύριος, ὅψει καταφρονούμενος, ἔργῳ προσκυνούμενος, ὁ κ. καὶ σωτήριος...ὁ θεῖος λόγος, ὁ...ὄντως θεός Clem.*prot.*10(p.78.12; M.8.228C); id.*paed.*3.9(p.264.1; M.8.620A); Or.*Jo.*6.53(35; p.162.5; M.14.292D) cit. s. ἀμνός; ὁ δυνάμενος ὑπὲρ ὅλου ⟨τοῦ⟩ κόσμου...ἀναδέξασθαι ἐπὶ καθαρσίῳ αὐτοῦ ἀπολομένου *ib.*28.19(14; p.413.26; 721B); id.*mart.*30(p.26.29; M.11.601A); but κύριος κ. δεόμενος τοῦ ἀπὸ μόνου τοῦ πατρὸς αὐτῷ δοθῆναι...δυναμένου id.*Jo.*6.55(37; p.164.23; 297A); ref. Passion and death μέγα ἱερεῖον ...τὸ τοῦ παντὸς κ. κόσμου Eus.*d.e.*1.10(p.45.19; M.22.85D); *ib.*(p.46.7; 88B); καταλέλοιπεν οὖν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, θελήσας αὐτὸν μέχρι θανάτου καὶ θανάτου σταυροῦ κατελθεῖν, καὶ τοῦ κόσμου παντὸς λύτρον καὶ ἀντίψυχον ἀποδειχθῆναι καὶ κ. γενέσθαι τῆς τῶν εἰς αὐτὸν πιστευσάντων ζωῆς *ib.*10.8(p.477.6; 768A); ὁ θεῖος Δαβὶδ αὐτὸν εἶναί φησι τὸ...μέγα κ. Cyr.*Ps.*49:23(M.69.1085A); τὸ κ. αἷμα τοῦ γένους ‡Gr.Naz.*Chr.pat.*1113(M.38.225).

C. ref. baptism; **1.** of John ὁ 'Ιώσηπος μαρτυρεῖ τῷ 'Ιωάννῃ ὡς βαπτιστῇ γεγενημένῳ καὶ καθάρσιον τοῖς βαπτισαμένοις ἐπαγγελλομένῳ Or.*Cels.*1.47(p.97.2; M.11.745C); ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς πρόδρομος Meth.*symp.*11(p.135.17; M.18.212B); **2.** Christian τὸ διὰ τοῦ ὕδατος λουτρόν, σύμβολον τυγχάνον κ. ψυχῆς Or.*Jo.*6.33(17; p.142.28; M.14.257A); λουσάμενος ἐνὶ τύποις, λουτρὸν τὸ κ. ἔχει *PAmh.*2.11; τὸν δὲ ποταμὸν τὸν ἐπὶ τῆς ἐρήμου καθαίροντα πάντας τοὺς ἀπολουμένους ἐν αὐτῷ κ. τινὸς εἶναι κατὰ διάνοιαν θεωρουμένου εἰκόνα Eus.*d.e.*9.5(p.417.14; M.22.672D); οἱονεὶ κ. ἐστι [sc. βάπτισμα] ψυχῆς τοῦ ἀπὸ τοῦ σαρκικοῦ φρονήματος αὐτῇ προσγενομένου ῥύπου Bas.*Spir.*35(3.29B; M.32.129B); μετάσχωμεν κ. ὑδάτων Gr.Naz.*or.*40.11(M.36.372B); Gr.Nyss.*or.catech.*35(p.138.14; M.45.92B); *ib.*(p.139.6; 92C); Chrys.*catech.*1.2(2.228B); τινὲς δέ φασι καὶ αἰνίττεσθαι εὐθὺς ἀπὸ καταβολῆς κόσμου τὴν χάριν τοῦ ἁγίου βαπτίσματος. διὸ καὶ τὸ κ. ἡμῶν ἐν ὕδατι μᾶλλον ἢ ἑτέρῳ στοιχείῳ Proc.G.*Gen.*1:2 (M.87.48B); **3.** ref. baptism and eucharist [Jo.19:34 αἷμα καὶ ὕδωρ] τὰ δύο κ. τοῦ τε βαπτίσματος καὶ τῆς μεταλήψεως τῶν ἀχράντων αὐτοῦ μυστηρίων *Chron.Pasch.*p.220(M.92.536D).

D. ref. washing of disciples' feet οἱ μετὰ τοῦ 'Ιησοῦ δειπνοῦντες... δέονται μὲν κ. τινός...καὶ τοῦτο τὸ κ. ... ὑπ' οὐδενὸς ἢ τοῦ 'Ιησοῦ μόνου γενέσθαι δύναται Or.*Jo.*32.2(p.426.22,25; M.14.741B,C); Nonn.*par.Jo.* 13:10(M.43.861A).

E. of the purifying fire, at end of world τὸ κ. πῦρ καὶ τὴν τοῦ κόσμου φθοράν Or.*Cels.*4.21(p.291.10; M.11.1056A); *ib.*5.15(p.16.6; 1201D); ἡνίκα πῦρ κρίνῃσι κ. ἔργματα πάντων Gr.Naz.*carm.*2.1.1.524

(M.37.1009A); ref. other purification by fire *πάντα γὰρ τὰ ἐν γενέσει χρῄζει τοῦ κ. τοῦ ἀπὸ τοῦ πυρός* Or.*hom.11.5 in Jer.*(p.83.15; M.13.373D).

F. in spiritual life; of virtues purifying soul, [ref. Pr.1:7] *φόβος δέ, κ. ψυχῆς* Bas.*hom.*12.4(2.100E; M.31.393C); *μέγα κ. ἁμαρτημάτων ἡ εἰς τὸν πλησίον φιλοφροσύνη* Chrys.*ep.*117(3.659B); *τιμωρία ἐκ τοῦ μὴ φροντίζειν τῶν τῆς ψυχῆς κ., ἅπερ ἐστὶν ἀρετή* id.*hom.73.2 in Mt.*(7.709B); prayer, Nil.*epp.*2.24(M.79.89D); tears of repentance, Hyper.*mon.*115(M.79.1484D); martyrdom, Philost.*h.e.*4.4(M.65.520B); necessary for vision of God and myst. union *εἰ ποθεῖς ἰδεῖν...τὸν θεόν, κ. μεταλάμβανε θεοπρεπῶν* Clem.*prot.*1(p.10.9; M.8.65C); *πολλοὶ γὰρ καθαρσίων ἔτι...δεόμενοι...τῆς θείας ἀνόδου κατατολμῶσιν* Gr.Nyss.*v.Mos.*(M.44.376C); *τί γὰρ ἂν γένοιτο τούτου παραδοξότερον, ἢ τὸ αὐτὴν ποιῆσαι τὴν φύσιν τῶν ἰδίων παθημάτων κ., διὰ τῶν νομιζομένων ἐμπαθῶν ῥημάτων* [sc. of Cant.] *τὴν ἀπάθειαν νομοθετοῦσαν;* id.*hom.1 in Cant.*(M.44.776C); of kiss of 'bridegroom' as purification of soul, *ib.*(780A).

G. in paganism *τῶν μυστηρίων τῶν παρ' Ἕλλησιν...τὰ κ.* Clem.*str.*5.11(p.373.24; M.9.108A); and Gnost., Or.*Cels.*6.35(p.104.22; M.11.1349B).

H. neut. plur., as name of Purification festival *ἡ μὲν ἑορτὴ λέγεται καθαρσίων, ἣν οὐκ ἄν τις ἁμάρτοι, ἑορτῶν εἰπὼν ἑορτήν* Hesych.H.*serm.*6(M.93.1468B).

II. neut. plur. as subst.;

A. *prunings,* Or.*Jo.*6.28(14; p.137.33; M.14.249A).

B. *offscourings,* Synes.*regn.*20(p.47.10; M.66.1093C).

κάθαρσις, ἡ, *cleansing, purification*;

A. of men; **1.** by baptism *δεόμενος τῆς εἰλικρινεστάτης ταύτης κ. ...τυχεῖν* Dion.Al.ap.Eus.*h.e.*7.9.3(M.20.656A); *καθάρσεως τοῦτον εἶναι καιρὸν...ἀπορρύψασθαι τῆς ψυχῆς λόγων ἀπορρήτων δυνάμει σωτηρίῳ τε λουτρῷ πιστεύσας* Eus.*v.C.*4.61(p.142.26; M.20.1212C); *ἓν βάπτισμα, μία κ.* †Bas.*Is.*38(1.410A; M.30.193A); *ib.*39(410D; M.193C); Gr.Naz.*or.*8.20(M.35.812C); *διττὴ καὶ ἡ κ., δι' ὕδατός τέ φημι καὶ πνεύματος, τοῦ μὲν θεωρητῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος ib.*40.8(M.36.368A); *ἴδιον δὲ τῆς θείας ἐνεργείας ἡ τῶν δεομένων ἐστὶ σωτηρία. αὕτη δὲ διὰ τῆς ἐν ὕδατι κ. ἐνεργὸς γίνεται* Gr.Nyss.*or.catech.*36(p.140.6; M.45.92D); Cyr.*glaph.Ex.*3(1.319D); *τῆς δὲ ψυχῆς ἡ κ. κατὰ τὸν ἀριθμὸν τῆς ἁγίας ἀποτελεῖται τριάδος* Thdt.*qu.19 in 4Reg.*(1.523); as *ἡ τοῦ ἁγίου πνεύματος κ.* id.*Mal.*3:2(2.1686); *τὴν ἀπάσης ὁμοῦ κακίας δι' ἐναρέτου καὶ θείας ζωῆς ἀποκάθαρσιν, τῇ δι' ὕδατος φυσικῇ κ. ... διαγγέλλουσα* Dion.Ar.*e.h.*2.3.1(M.3.397B); *ib.*5.1.3(504B); cf.*ib.*5.1.6(508B); *ἡ πλύσις τῶν ἱματίων...τὴν ἀπὸ νεκρῶν ἔργων κ. δηλοῖ, τὴν διὰ λουτροῦ ἀποτελουμένην εἰς τὸν μέλλοντα αἰῶνα* Proc.G.*Lev.*17:10(M.87.752C); **2.** by repentance *ἱκανὴ...ἀνθρώπῳ κ. μετάνοια ἀκριβής* Clem.*str.*4.22(p.311.13; M.8.1352C); *διὰ τὴν τελείαν κ. καὶ πίστιν ἀποστερηθέντες τῶν τῆς σαρκὸς ἀποπημάτων* Meth.*symp.*3.8(p.37.4; M.18.73D); *σοφία πρώτη, βίος...θεῷ κεκαθαρμένος...μόνην ἀπαιτοῦντι παρ' ἡμῶν θυσίαν, τὴν κ., ἣν δὲ καρδίαν συντετριμμένην...καὶ καινὴν ἐν Χριστῷ κτίσιν...τῇ γραφῇ καλεῖν φίλον* Gr.Naz.*or.*16.2(M.35.936B); **3.** ref. *γνῶσις: ἡ γνῶσις, ⟨ἥ⟩ τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς κ. ἐστι* Clem.*str.*4.6(p.265.28; M.8.1249C); *ταχεῖα...εἰς κ. ἡ γνῶσις ib.*7.10(p.41.25; M.9.480C); *ἔνθα κ. ψυχῆς ἡ διὰ τῶν ἀρετῶν, ἐκεῖ καὶ ἔλλαμψις γνώσεως* Max.*ambig.*(M.91.1301D); **4.** through martyrdom, Clem.*str.*4.16(p.294.10; M.8.1309C); and death which limits the duration of sin, Meth.*res.*1.42(p.289.6; M.41.1112C); **5.** through ministration of priests, *Const.App.*2.35.3; **6.** as stage of spiritual life *ἐν οὖν τῷ θεωρητικῷ βίῳ ἑαυτοῦ τις ἐπιμελεῖται...καὶ διὰ τῆς ἰδίας εἰλικρινοῦς κ. ἐποπτεύει τὸν θεόν* Clem.*str.*4.23(p.316.1; M.8.1361A); *ib.*7.10(p.42.1; M.9.481A); *τὴν τοῦ ἱεροῦ λαοῦ τάξιν, ὡς διὰ πάσης ἐληλυθυῖαν κ., καὶ τῆς ἱερᾶς...κοινωνίας, ὡς θεμιτόν, ἠξιωμένην* Dion.Ar.*e.h.*6.1.2(M.3.532C); *ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις ἡ τῶν μοναχῶν ἐστιν ἱερὰ διακόσμησις, πᾶσαν μὲν ἀποκεκαθαρμένην κ.... θεωρεῖν...ἐγχειριζομένη ib.*6.1.3(532C); **7.** of souls after death; acc. Heraclitus, through fire, Clem.*str.*5.1(p.332.1; M.9.21A) cit. s. *ἀνάστασις*; in Jewish and Christian teaching, ref. Is.4:4 *τὸν τρόπον τῆς κ. ἐπήγαγεν ὁ λόγος εἰπών· ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως* id.*paed.*3.9(p.264.13; M.8.620B); *Ἐννοῦμ εὑρίσκομέν τι εἰς τὸν περὶ κολάσεων τόπον, μεταλαμβανομένων εἰς τὴν μετὰ βασάνου κ. τῶν τοιωνδὶ ψυχῶν* Or.*Cels.*6.25(p.96.3; M.11.1332A); *ἐν δὲ τῷ πυρὶ καὶ τῇ φυλακῇ* [cf. Mt.5:25f.]*...εὐεργεσίαν ἐπὶ καθάρσει τῶν ἐν τῇ πλάνῃ κακῶν μετὰ σωτηρίαν λαμβάνοντες πόνων* id.*or.*29.15(p.390.13; M.11.544A); some souls having been purified by baptism and some needing purification by fire *ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις...γένηται, ὁμόφωνος ἡ εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ τῶν ἐν τῇ κ. κεκολασμένων καὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως* Gr.Nyss.*or.catech.*26(p.100.9; M.45.69B); *ἐπεὶ οὖν ῥυπτική τίς ἐστι δύναμις ἐν τῷ πυρὶ καὶ τῷ ὕδατι, οἱ διὰ τοῦ ὕδατος τοῦ μυστικοῦ τὸν τῆς κακίας ῥύπον ἀποκλυσάμενοι τοῦ ἑτέρου τῶν κ. εἴδους οὐκ ἐπιδέονται· οἱ δὲ ταύτης ἀμύητοι τῆς κ. ἀναγκαίως τῷ πυρὶ καθαρίζονται ib.*35(p.139.6; 92C); **8.** exeg. Is.6:7, Dion.Ar.*c.h.*13.2(M.3.300B); *ὁ τὴν κ. τοῦ θεολόγου τελετουργῶν ἄγγελος...ὡς ἄν τις φαίη...ἐκδιδάσκων· ὅτι τῆς εἰς σὲ πρὸς ἐμοῦ τελετουργουμένης κ. ἀρχὴ μέν ἐστιν ἐξῃρημένη...ὁ καὶ τὰς πρώτας οὐσίας καὶ πρὸς τὸ εἶναι προσαγαγών, καὶ τῇ περὶ αὐτὸν ἱδρύσει συνέχων ib.*13.4(305D); **9.** liturg., as first of three liturg. stages *αἱ μὲν ἅγιαι τελεταὶ κ. εἰσι καὶ φωτισμὸς καὶ τελείωσις· οἱ δὲ λειτουργοὶ* [i.e. deacons; so Max.*schol.e.h.*5.2.6(M.4.164D)] *καθαρτικὴ τάξις* Dion.Ar.*e.h.*6.3.5(M.3.536D); corresponding to a grade in celestial hierarchies *ἔστιν εἰπεῖν ἱερῶς ἐπὶ τῆς οὐρανίας ἱεραρχίας, ὅτι κ. ἐστι ταῖς ὑφειμέναις οὐσίαις ἡ παρὰ θεοῦ τῶν τέως ἀγνοουμένων ἔλλαμψις ib.*6.3.6(537B); cf. *κ. τῶν οὐρανίων δυνάμεών ἐστιν ἡ ἐπὶ τελεωτέραν γνῶσιν ἔλλαμψις* Max.*schol.e.h.*6.3.6(M.4.173B); of priest washing fingers at celebration of eucharist, ref. Jo.13:10 *ὁ λελουμένος οὐ δεῖται τινος ἑτέρας εἰ μὴ τῆς τῶν ἄκρων, εἴτουν ἐσχάτων ἑαυτοῦ νίψεως, δι' ἧς ἀκροτάτης κ., ἐν πανάγνῳ τοῦ θεοειδοῦς ἕξει...ἄσχετος ἔσται...ἡ δὲ τοῦ ἱεράρχου καὶ τῶν ἱερέων ἄχρι τῶν ἄκρων...ἀπόνιψις ἐπίπροσθεν γίγνεται τῶν ἁγιωτάτων συμβόλων, ὡς ἐπὶ Χριστοῦ τοῦ πάσας ἐφορῶντος ἡμῶν τὰς κρυφιωτάτας ἐννοίας, καὶ τῆς ἀκροτάτης κ. ἐν τοῖς αὐτοῦ...κρίσεσιν ὁριζομένης* Dion.Ar.*e.h.*3.3.10(440A,B); cf.Max.*schol.e.h.*3.3.10(145C); as primary aim of liturgy *ἡ...ἱερουργία πρώτην μὲν ἔχει θεοειδῆ δύναμιν τὴν ἱερὰν τῶν ἀτελέστων κ.* Dion.Ar.*e.h.*5.1.3(504A); **10.** at end of world *ἐκπυρωθήσεται...πρὸς κ. καὶ ἀνακαινισμὸν καταβασίῳ πᾶς ὁ κόσμος κατακλυζόμενος πυρί* Meth.*res.*1.47(p.298.1; M.18.273B); cf. *Στωϊκοὶ...προσδέχονται δὲ ἐκπύρωσιν ἔσεσθαι καὶ κ. τοῦ κόσμου τούτου* Hipp.*haer.*1.21(p.26.4; M.16.3049A).

B. in Dionysian theology as one of divine perfections *ἡ θεία μακαριότης...κ. ἱερὰ...ὑπὲρ κάθαρσιν* Dion.Ar.*c.h.*3.2(M.3.165C); *ὁ θεὸς καθαίρει πάντας τῷ πάσης κ. εἶναι αἰτίας* [vv.ll. *αἰτία, αἴτιος*] *ib.*13.4(305C); *ib.*(308A); shared by angelic powers *καθαρτικαὶ δυνάμεις, οἱ πρῶτοι νόες ὀνομάζονται τῶν ὑφειμένων, ὡς δι' αὐτῶν ἐπὶ τὴν πάντων ὑπερούσιον ἀρχὴν ἀναγομένων, καὶ τῶν τελεταρχικῶν κ. ... ἐν μετουσίᾳ κατὰ τὸ αὐτοῖς θεμιτὸν γινομένων ib.*8.2(240C); *ib.*7.2(208A); *ἡ πρώτη τῶν οὐρανίων νοῶν ἱεραρχία...τῆς...κ. τοῦ ἁπλέτου φωτὸς... πληρουμένη, καθαίρεται ib.*7.3(209C); and by human believers *ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπειος νοῦς...ἐν μετουσίᾳ γίνεται κατὰ τὸ αὐτῷ θεμιτὸν...τῆς ὑπεραγνοτάτης κ. ib.*10.3(273C); *κ. ἐστι τοῖς ὑπωσοῦν καθαροῖς ἡ τῆς θεαρχικῆς διαυγείας ἀγνότητος ὡς ἐφικτὸν μετουσία ib.*13.4(305A); cf. *τί ἐστι κ., καὶ πῶς εἰς τὰ νοητὰ γίνεται παρὰ τοῦ θεοῦ ἡ κ. δηλαδὴ ἢ ἡ μετουσία. οὐ γὰρ οἷα ἐστὶ τῶν ἀνθρώπων ἡ κ., τοιαύτη ἐστὶ καὶ ἐπὶ τῶν ἀσωμάτων* Max.*schol.c.h.*13.4(M.4.100D).

καθαρτήριος, *purging, cleaning, purifying,* abs. *πῦρ κ., ὃ Χριστὸς ἦλθε βαλεῖν ἐπὶ τῆς γῆς* Gr.Naz.*or.*40.36(M.36.409D); *δαίμονές εἰσι κ., τέχνην ἔχοντες ἐπὶ ταῖς ψυχαῖς ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς πιναροῖς* Synes.*ep.*44(M.66.1368D); *ῥίψον πάντα βόρβορον κακίας ἀπὸ σοῦ, καὶ τότε ἐλθὼν ὑπόδεξαι τὸν κ. ἄνθρακα* Anast.S.*synax.*(M.89.841C); *Χριστὸς...πάσχα τὸ κ.* Jo.D.*carm.anast.*40(p.219; M.96.841A); c. genit. *τὸ δημόσιον ξίφος...πόλεως κ.* Synes.*ep.*121(M.66.1501A); neut. as subst. *τοῖς τῆς ἀρετῆς κ. cat.Apoc.*4:4(p.241.30); *ἐκεῖνο μὲν* [sc. *βάπτισμα*] *τῶν προγεγονότων ἐν ἡμῖν κακῶν ἐστι κ.· τοῦτο δὲ* [sc. *τῶν δακρύων πηγή*] *τῶν μεταγεγονότων* Jo.Clim.*scal.*7(M.88.804B).

καθαρτικός, *purging, cleansing, purifying,* abs., Clem.*str.*5.11(p.374.4; M.9.108B); *κ. τελετή* Synes.*insomn.*8(p.158.18; M.66.1296A); Dion.Ar.*c.h.*13.4(M.3.305C) cit. s. *ἐμπυρίως*; *κ. τοίνυν ἐστὶν ἡ λειτουργικὴ διακόσμησις* id.*e.h.*5.1.6(M.3.508B); neut. as subst. *ὅτε τὰ κ. ποιεῖ ὁ...θεός* Or.*hom.6.2 in Jer.*(p.49.32; M.13.325C); *τὸ πρηστηρίως καὶ ὁλοκαύτως κ.* [of seraphim] Dion.Ar.*c.h.*7.1(M.3.205C); masc. as subst., *ib.*3.3(168A); c. genit. *τὸ πῦρ...κακοῦ κ.* Clem.*ecl.*25(p.144.6; M.9.709C); *'πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν', δηλονότι δύναμιν τῶν...ἁγίων κ. ib.*26(p.144.23; 712A); ref. Jo.20:33 *τὸ...ἐμφύσημα κ. πως ἦν τῆς τῶν ἀποστόλων ψυχῆς* Eus.*e.th.*3.5(p.16.7; M.24.1008A).

καθαρτικῶς, *with purity,* Dion.Ar.*ep.*9.2(M.3.1108B).

***καθαρτισμός, ὁ,** *completeness* *οὐδὲν ἔλιπε τῷ θεῷ, οὕτως οὐδὲ τῷ κ. τῷ κατ' ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνει* Ambr.*fr.*(*SS* 1 p.360).

καθαρῶς, A. *purely, in purity*; **1.** ref. Christian life *ἡ κ. πολιτευσαμένη ψυχή* Clem.*str.*4.4(p.255.14; M.8.1228C); *ib.*7.11(p.45.14; M.9.488A); *χαιρέτω κ. βιούντων ἡμῶν A.Jo.*107(p.205.6); *ib.*114(p.214.4); Chrys.*hom.10.4 in Heb.*(12.110A); **2.** ref. priesthood: Jewish *μόνοι ...οἱ κ. βιοῦντες ἱερεῖς ὄντως τοῦ θεοῦ* Clem.*str.*4.25(p.318.12; M.8.1365C); Christian *μὴ κ. αὐτοὺς ἱερᾶσθαι διὰ τὴν ἐπιμιξίαν πρὸς τοὺς τὸ ὁμοούσιον θρησκεύοντας ἀποφαινόμενος* Philost.*h.e.*3.9(M.65.509B);

ἱεράρχην ὁ λέγων δηλοῖ...θεῖον ἄνδρα...ἐν ᾧ καὶ κ. ἡ κατ' αὐτὰν ἱεραρχία πᾶσα τελεῖται Dion.Ar.*e.h.*1.3(M.3.373C); **3.** ref. prayer and worship δεήσεται δὲ κ. ὑπὸ σοῦ προτιμώμενος ὡς ἄγγελος τοῦ θεοῦ Clem.*q.d.s.*41(p.187.21; M.9.648A); κ. ... διακονῆσαι ἐν τῇ λειτουργίᾳ Serap.*euch.*26.2; *Const.App.*8.46.10; **4.** ref. angelic life κράτιστον δὲ ἐν οὐρανῷ ἀγγέλους,...καθαρώτερον τῆς αἰωνίου ζωῆς μεταλαγχάνων Clem.*str.*7.2(p.5.19; M.9.408B); angelic contemplation, Dion.Ar.*c.h.* 7.4(M.3.212A); **5.** ref. esoteric teaching ἱεροτελεστὰς...πείσεις ὁμολογῆσαι κατὰ θεσμὸν ἱεραρχικόν, καθαρῶν μὲν κ. id.*e.h.*1.5(M.3.377B).

B. *perfectly, completely* τὸ αὐτὸ δὲ ζῷον ἔσται κ., τῶν αὐτῶν ὄντων πάντων ἐξ ὧν ὡς μερῶν τὸ ζῷον Athenag.*res.*15(p.66.13; M.6.1004C); *ib.*16(p.67.14; 1005B); τὸ μὲν ἀγέννητον φῶς...κ. ἀπαθὲς καὶ ἀκήρατον Gr.Nyss.*Eun.*12(2 p.289.11; M.45.901B); exeg. Ps.8:5ff. οὔπω ἐκράτησεν ὁ βασιλεὺς κ. Chrys.*hom.4.2 in Heb.*(12.40D).

κάθαψις, ἡ, *consternation* ἐπάγουσαν μετὰ σφοδροτέρας τῆς ἀπορίας καὶ κ. ἡμῶν ὡς ἀλόγως λεγόντων αἵρεσιν Thdr.Stud.*epp.*1.48 (M.99.1072A).

καθέδρα, ἡ, A. thing sat upon; **1.** *seat* βίβλους...κατὰ τὴν ἀναγωγὴν παραδοῦναι, καθ' ἣν καὶ τοῖς Ἑβδομήκοντα ὁ Μωϋσῆς παρέδωκε τοῖς τὴν κ. αὐτοῦ παρειληφόσιν *Clem.ep.Petr.*1(M.2.26A); οὐκ ἐζήτησας... τίνος [sc. ἐστίν] ἡ τῆς προφητείας κ. *Hom.Clem.*3.18; of God τοῦτο τὸ ὄρος τὸ ὑψηλόν, οὗ ἡ κορυφὴ ὁμοία θρόνου, θεοῦ κ. ἐστίν, οὗ καθίζει... ὅταν καταβῇ ἐπισκέψασθαι τὴν γῆν ἐπ' ἀγαθῷ *Apoc.En.*25.3(p.56.9); fig. σὲ τῆς ἀφωρισμένης κ. κύκλῳ περιγράφειν τολμᾷ [sc. Arius] Const. ap.Gel.Cyz.*h.e.*3.19.27(M.85.1352B); exeg. Ps.1:1 ἢ νομίζειν ἡμᾶς χρὴ κ. λέγεσθαι τὴν ἑδραίαν καὶ μόνιμον ἐν τῇ κρίσει τῆς κακίας διατριβήν; Bas.*hom.in Ps.*1(1.95E; M.29.224C); of laity ἐν ταῖς δημοτικαῖς κ. Synes.*ep.*67(M.66.1432A); *couch* καθεζομένη...ἐπ' ἀμφικνεφάλου κ. ... ἀργυρόποδος *ib.*3(1325A); **2.** *chair*; **a.** in gen.; of teacher, ref. false prophets, Herm.*mand.*11.1; of judgement ἐκάθισαν αὐτόν [sc. Jesus] ἐπὶ καθέδραν κρίσεως *Ev.Petr.*3(p.224); of torture τὴν σιδερᾶν κ., ἐφ' ἧς τηγανιζόμενα τὰ σώματα κνίσης αὐτοὺς ἐνεφόρει *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.38(M.20.424A); *ib.*5.1.52(428B); *throne* δίφρος...ἔχων ὅλος ὡς πήχεις δύο ἥμισυ, ὡς αἱ παρ' ἡμῖν καλούμεναι κ. Cosm.Ind.*top.*2(M.88.101B); in sanctuary εὐχὴ τῆς ἄνω κ. *Lit.Bas.*(p.314.16); εὐχὴ τῆς κ. τοῦ θυσιαστηρίου *Lit.Chrys.*(p.314. 16); **b.** of presbyters, sts. fig. of their office πρεσβυτέρους τοὺς ἐπιθύσαντας ἔδοξε τῆς μὲν τιμῆς τῆς κατὰ τὴν κ. μετέχειν CAnc.(314)*can.* 1; καθέδρας μὲν μετέχειν [sc. πρεσβύτερον], τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι Bas.*ep.*199.*can.*27(3.294A; M.32.724C); τὸν θεῖον Διόδωρον ...τῆς δευτέρας ἠξιωμένους κ. Thdt.*h.rel.*8(3.1180); **c.** of bishops, sts. fig., *see*; **i.** in gen. εἰς τὴν αὐτοῦ κ. καθεσθῆναί με ἐδυσώπησεν *Clem. ep.*19(M.2.56A); *ib.*2(36A); εἰς τὴν κ. αὐτοῦ ἕτερον ὑποκαταστῆναι CSard.*can.*5; Ἀθανάσιος...τῆς...κ. ἐκπέπτωκε Constantius Imp.ap. Ath.*apol.Const.*31(M.25.636C); Bas.*ep.*188 *can.*1(3.270D; M.669C); τὴν κ. ταύτην δεξάμενοι, τὴν ἐπίμαχον καὶ ἐπίφθονον Gr.Naz.*or.*22.14 (M.35.1148A); κ. τιμία καὶ τιμίων ἀνδρῶν ἵδρυμα καὶ ἀνάπαυμα *ib.*33. 3(M.36.217B); αὐτῷ [sc. Bas.] περιῆν καὶ τὸ κράτος τῆς ἐκκλησίας, εἰ καὶ τῆς κ. εἶχε τὰ δεύτερα *ib.*43.33(541A); πρῶτος οὗτος [sc. S. James] εἴληφε τὴν κ. τῆς ἐπισκοπῆς Epiph.*ep.Arab.*ap.*haer.*78.7(p.457.21; M.42.709A); Synes.*ep.*67(M.66.1428C); Πρόκλος τοὺς οἴακας τῆς κ. ἐγχειρίζεται Evagr.*h.e.*1.8(p.16.31; M.86.2444B); **ii.** regarded as seat of Christ, *Clem.ep.*17(M.2.53A); ἵνα ἐπὶ τῆς Χριστοῦ κ. καθεσθεὶς τὴν αὐτοῦ ἐκκλησίαν εὐσεβῶς οἰκονόμῃ *Hom.Clem.*3.60; and of apostles, Bas.*ep.*197.1(3.288B; M.32.709C); **iii.** regarded as teacher's chair μὴ καταστήσῃς μηδένα τοιοῦτον ἐπὶ καθέδρᾳ διδασκόντων, ἵνα μὴ βεβηλώσῃ τὸ μαρτύριον τοῦ Χριστοῦ *A.Phil.*143(p.83.13); **iv.** of see of Rome as apostolic, Dam.Papa *ep.orient.*ap.Thdt.*h.e.*5.10.1(3.1034); *Cod. Afr.*proem.(H.1.861C); Horm.*ep.cler.*(p.55.16; M.*PL*.63.419C); *ib.* tit.(p.52.34; 415A); ὁμοίως καὶ ἀποστολικὴ κ. ὡς Κύριλλος πιστεύει Anast.S.*haer.*(p.262); and as that of S. Peter ὁ μακάριος Πέτρος, ὃς ἐν τῇ ἰδίᾳ κ. καὶ ζῇ καὶ προκάθηται, δίδωσι τοῖς ζητοῦσι τῆς πίστεως τὴν ἀλήθειαν Petr.Rav.*ep.*(p.46.13; M.*PL*.54.744A); **v.** as hieratic τοῦ δὲ λῦσαι τὴν αὐθεντίαν εἰς τὴν ἱερατικὴν κ. [sc. of Alexandria] ἀνέπεμψα Synes.*ep.*57(M.66.1425A); **vi.** of primatial see πρώτη ἐπίσκοποι πέραν θαλάσσης μὴ ἀποδημείτωσαν, εἰ μὴ μετὰ ψηφίσματος τῆς πρώτης κ. τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου *Cod.Afr.*23; τὸν τῆς πρώτης κ. ἐπίσκοπον μὴ λέγεσθαι ἔξαρχον τῶν ἱερέων ἢ ἄκρον ἱερέα ...ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης κ. *ib.*39; Ξάγκτιππος ἐπίσκοπος τῆς πρώτης κ. τῆς Νουμιδίας...Νικήτιος ἐπίσκοπος τῆς πρώτης κ. τῆς Μαυριτανίας Σιτιφένσης *ib.*85; **3.** *latrine*; plur., Ath.*ep.mort. Ar.*3 ap.Thdt.*h.e.*1.14.8(3.736; θάκας Opitz 2 p.179.26; M.25.688C); **4.** *saddle*, Chrysipp.*enc.in Thdr.*(pp.61.15,63.9).

B. *sitting*; **1.** *being seated* τῆς κ. τοῦ ὄνου Chrys.*hom.66.2 in Mt.* (7.655B); κ. καὶ στάσις ἀνθρώπινα ῥήματα, ἀλλὰ θεῖα νοήματα Sever. *sigill.*3(M.63.535); μετὰ τὸ γενέσθαι τὴν εἴσοδον τοῦ λυχνικοῦ καὶ τὴν πρώτην κ. *Euchol.*(p.291); Thphn.*chron.*p.69(M.108.224A); **2.** *session*; **a.** of a council, CNic.(787)*act.*3(H.4.129B); **b.** of righteous in heaven, Didym.(‡Bas.)*Eun.*4(1.295C; M.29.709A); **c.** of Christ at right hand of God, ref. Ps.109:1 ὥσπερ ῥητόν τινα χρόνον ὁρίζων αὐτῷ τῆς ἐν δεξιᾷ κ. Marcell. *fr.*104 ap.Eus.*Marcell.*2.4(p.53.31; M.24.813D); ἡ ἐκ δεξιῶν τοῦ πατρὸς ἀφωρισμένη τῷ υἱῷ κ., τί ποτε ἕτερον καὶ οὐχὶ τὸ ὁμότιμον τῆς ἀξίας ἀποσημαίνει; Bas.*Eun.*1.25(1.230B; M.29.568B); Chrys.*hom.in Mt.*26:39(3.17E); οὐδὲ γὰρ ὁρᾶται θεὸς ὁ πάντη ἀόρατος ἵνα καὶ ἡ ἐκ δεξιῶν κ. σωματικῶς θεωρεῖσθαι Vict.*Mc.*14:54(p.430. 26); Tim.III Al.*fr.*(p.317.13; M.86.269B); in anamnesis of liturgy μεμνημένοι...τῆς ἐκ δεξιῶν σου τοῦ θεοῦ καὶ πατρὸς κ. *Lit.Bas.*(p.329. 3); *Lit.Chrys.*(p.329.3); *Lit.Jac.*(p.204.5); **d.** of Trin. τὴν τριαδικὴν ὁμότιμον κ. αὐτῷ [sc. πνεύματι] καὶ τῷ πατρί *cat.Ac.*2:22(p.42.15); **e.** of God τί δὲ καὶ περὶ τῆς θείας στάσεως, ἤτοι κ., φαμέν; Dion.Ar. *d.n.*9.8(M.3.916B); **3.** *being stationed*; of troops, Synes.*ep.*130(M.66. 1512B); **4.** *sitting idle*, hence *truce*, Chrys.*comp.*3(1.119A).

***καθεδραιόω,** *make firm*, Ephr.2.61A.

καθέζ-ομαι, [fut. καθεσθήσομαι, Just.*Tapol.*35.10(M.6.384C); Chrys. *hom.3.2 in 2Thess.*(11.525C); καθεδῶ v. 1 infra]; **1.** *sit down, take one's seat, sit*; of God as judge, Clem.*paed.*1.7(p.124.19; M.8. 320B); of a judge, Or.*hom.14.17 in Jer.*(p.124.3; M.13.428A); of presbyters τὸ ~εσθαι ἐν πρεσβυτερίῳ *ib.*11.3(p.81.2; 369C); παρ' ἑκατέρου δὲ αὐτοῦ [sc. bishop's throne] ~έσθω τὸ πρεσβυτέριον *Const.App.*2.57.4; of bishops, *ib.*2.11.2; 2.58.2; Ath.*fug.*24(p.84.16; M.25.676A); ὡς ἐν τάξει ἐπισκόπου ~εται Evagr.*h.e.*2.18(p.72.3; M. 86.2556A); of a law court δεύτερον ἐπ' αὐτῷ καθεδεῖν δικαστήριον Synes.*provid.*3(p.121.11; M.66.1269C); **2.** *remain seated, be seated, sit*; **a.** as suppliant, Just.*dial.*90.5(M.6.692B); **b.** for one's portrait, Clem.*paed.*3.2(p.239.23; M.8.364A); **c.** of Christ seated at Father's right hand; **i.** in credal formularies ἔσται γὰρ ~όμενος ἐν δεξιᾷ τοῦ πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι *Symb.Ant.* (341)4(p.251.10; M.26.725C) ∞ *Symb.Sirm.*1(p.254.27; M.26.736B); ~εται ἐν δεξιᾷ τοῦ πατρός *Symb.CP*(360)(p.259.8; M.26.748B); ~όμενον ἐν δεξιᾷ τοῦ πατρός *Symb.Nic.-CP*(p.80.11); ~όμενον ἐν δεξιᾷ θεοῦ πατρός *Symb.App.*(p.30); **ii.** in liturg. formularies τὸ ὄνομα...ὀνομάζομεν τοῦ...~ομένου ἐν δεξιᾷ τοῦ ἀγεννήτου Serap.*euch.* 5.1; πιστεύω καὶ βαπτίζομαι...εἰς τὸν κύριον Ἰησοῦν τὸν Χριστὸν... καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρός *Symb.*ap.*Const.App.*7.41.6; ἐκαθέσθη ἐκ δεξιῶν σοῦ τοῦ θεοῦ *Lit.*ap.*Const.App.*8.12.34; **iii.** theol. significance διὸ καὶ ~εται μὲν αὐτὸς ἐν δεξιᾷ τοῦ πατρὸς ὡς λόγος· ἔνθα γάρ ἐστιν ὁ πατήρ, ἐκεῖ καὶ ὁ τούτου λόγος ἐστίν Ath.*decr.*11 (p.10.18; M.25.436B); αὐτὸς μὲν μετὰ τοῦ πατρὸς ~εται, οἱ δὲ [sc. ἄγγελοι] παρεστήκασι λειτουργοῦντες id.*Ar.*1.62(M.26.141A); εἰς ποῖον ~εται θρόνον; τὸ σῶμα τοίνυν ἐστιν ᾧ λέγει 'κάθου ἐκ δεξιῶν μου' ‡Ath.*serm.fid.*29(p.26; M.26.1284C); **3.** *be settled, established*, Jo.Mal. *chron.*8 p.199(M.97.313A); ~ονται...ἐν τούτῳ τῷ ὄρει μοναχοί Jo.Mosch. *prat.*161(M.87.3028C); **4.** *have one's seat*, i.e. *see*, of a bishop ὅτε ἐν Ἀντιοχείᾳ ἐκαθέσθη [sc. Euzoïus] Ath.*syn.*31(p.260.6; M.26.749A); **5.** *be seated* upon; c. dat., Just.*dial.*88.6(M.6.688A).

***καθειργμός, ὁ,** *confinement*, Const.*or.s.c.*25(p.190.22; M.20. 1309B).

καθείργνυμι, 1. *shut in, confine, enclose* ψυχὴν...ἐν τῷ σώματι τῆς ταπεινώσεως καθειργμένην Or.*or.*2.3(p.301.17; M.11.420C); πῶς καθείρκται τῷ σώματι ἡ ψυχή Eus.*e.th.*1.12(p.71.20; M.24.848B); τῶν ἐν τῇ θανάτου φρουρᾷ καθειργμένων Gr.Nyss.*or.catech.*23(p.89.3; M. 45.61D); reflex. τῶν τὸν ἅπαντα χρόνον καθειρξάντων ἑαυτοὺς καὶ νηστείας δαπανηθέντων Chrys.*sac.*3.15(p.77.18; 1.393B); ptcpl. used abs. τοῖς καθειργμένοις παραπλησίως βιοτεύων Thdt.*h.rel.*20(3.1233); **2.** *confine in, enclose in* οἰκίσκῳ τινὶ καθειργμένος Gr.Nyss.*anim.et res.*(M.46.21C); of man before Inc. καθειργμένος τῷ σκότῳ id.*or. catech.*15(p.63.15; M.45.48B).

κάθειρξις, ἡ, *being shut up, confined*; in prison, Eus.*h.e.*3.24.8 (M.20.265B); Ast.Am.*hom.*5(M.40.232A); †Jo.D.*B.J.*5(M.96.892A); in death, Eus.*qu.Steph.*8.1(M.22.912C); of evil spirits, id.*Is.*13:2(M. 24.185B); of monks, Thdt.*h.rel.*20(3.1233).

καθεῖς, 1. *one by one*, Eus.*h.e.*10.4.8(M.20.849D); **2.** *each one individually, every one* κατάλογον πεποίηται...ἧς ὁ κ. αὐτῶν προηγεῖτο παροικίας *ib.*6.43.21(629A); Thdr.Mops.*Gal.*3:27–28(p.57.21; M.66. 905B); ‡Nil.*perist.*8.1(M.79.861B); written *divisim* κατὰ εἷς τῶν προφητῶν Clem.*exc.Thdot.*24(p.115.3; M.9.672A); Socr.*h.e.*6.13.5(M. 67.704A).

[*]**καθέκαστον, τό; καθεκάστην, τήν,** for καθ' ἕκαστον, καθ' ἑκάστην; **1.** neut., *individual, particular* ἐν μὲν τοῖς κ. τὴν φθορὰν, ἐν δὲ τοῖς καθόλου τὴν φθαρσίαν ‡Just.*qu.Gr.*10(M.6.1477A); Chrys.*diab.* 2.3(2.263C); **2.** fem. [sc. ἡμέραν] *every day, daily*, *T.Abr.*A 9(p.86. 2); Barth.Edess.*Agar.*(M.104.1409A).

καθεκτός, *in the grip of* δεσμῷ τινι τοῦ κόσμου...γεγόνασι καθεκταί [sc. foolish virgins] Mac.Aeg.*elev.*4(M.40.892D).

***καθελκτικός, 1.** *? able to be drawn down,* i.e. *shut* κ. πύλαις Geo. Pis.*hex.*687(M.92.1488A); **2.** error for καθεκτικός *capable of holding* or *retaining,* Jo.D.*fr.*(M.95.228A) = Leont.B.*Nest.et Eut.*1(M.86.1296D καθεκτ-).

καθέλκ-ω, 1. *bring down, lower,* Nonn.*par.Jo.*4:23(M.43.777B); τὰς μετεώρους χεῖρας καθείλκυσε Jo.Eleem.*v.Tych.*(p.131); eyes in sleep, Philost.*h.e.*11.3(M.65.597B); met., *degrade* from office, *ib.*8.4 (560A); **2.** *drag down, cast down,* met. ὑπὸ τῆς λύπης ~όμενοι Or.*Jo.* 20.36(29; p.376.29; M.14.657D); ὁ τῷ βάθει τῆς ἁμαρτίας καθελκυσθείς id.*Ps.*70:1(p.89); τὸν λογισμὸν εἰς τὰ χείρω ~οντος τοῦ πονηροῦ Meth. *symp.*5.3(p.56.6; M.18.101A); οὐδενὸς ἐναντίου τὴν ψυχὴν πρὸς πάθος ~οντος Gr.Nyss.*or.dom.*1(p.6.31; M.44.1124A); ἡ τῆς φύσεως ἀσθένεια καθεῖλκεν [sc. ἡμᾶς] ἐπὶ τὸ πταίειν Thdr.Mops.*Gal.*1:3–5(p.8.21; M. 66.900B); **3.** *draw away,* Epiph.*haer.*42.12(p.167.16; M.41.792A); **4.** *compel* αἱ ἀντικείμεναι δυνάμεις τῶν ἐν ἡμῖν οἱονεὶ ~ονται καὶ νικῶνται ἀπὸ τῶν τοῦ θεοῦ ἐπῳδῶν Or.*hom.2.1 in Jos.*(p.418.29; M. 12.920C); Eus.*p.e.*3.16(126C; M.21.225A); Gr.Nyss.*Eun.*6(2 p.129.25; M.45.713A).

κάθεμα, τό, *necklace, collar,* †Bas.*Is.*126(1.467A; M.30.321D).

***καθεμάτιον, τό,** *necklace,* dim. of κάθεμα, *Pers.*(p.23.9).

καθεξῆς, 1. *so on, so forth* οὐ πάντες εἰσὶν...ἑκατόνταρχοι οὐδὲ πεντηκόνταρχοι οὐδὲ τὸ κ. *1Clem.*37.3; **2.** *after, succeeding* καθὼς δηλώσω ἐν τῷ κ. *M.Polyc.*22.3.

κάθεξις, ἡ, *retention,* Const.ap.Eus.*v.C.*3.60(p.108.5; M.20.1132B).

[*]**καθερίζω,** = καθαρίζω, *A.Andr.et Mt.*10(p.77.2).

***καθερμηνεύω,** f.l. for καθαμαξεύω, Or.*hom.14.3 in Jer.*(M.13. 405D).

κάθεσις, ἡ, *degeneracy, decay,* Cyr.*glaph.Ex.*2(1.300D).

καθεστήριον, τό, *sitting-room, T.Job* 25(p.118.9).

καθετήρ, ὁ, = κάθεμα, Clem.*paed.*2.12(pp.231.1,233.31; M.8.545B, 552C).

κάθετος, 1. *suborned,* Synes.*provid.*15(p.100.16; M.66.1249A); id. *ep.*44(M.66.1372D); **2.** κατὰ κάθετον, c. genit., *vertically below,* Or. *comm.in Gen.*ap.Eus.*p.e.*6.11(291A; M.12.72A); Eus.*d.e.*9.1(p.404.7; M.22.632C).

***καθέτως,** *vertically*; conj. for κατ' ἔτος cod., Philost.*h.e.*3.10(M. 65.493A).

καθεύδ-ω, 1. *lie resting* ἐκάθευδεν [sc. Christ] ἐν τῷ πλοίῳ πειράζων ἡμᾶς· οὐκ ἦν γὰρ κοιμώμενος *A.Andr.et Mt.*8(p.75.2); **2.** *sleep*; **a.** exeg. 1Thess.5:6 ἔστι γὰρ ἐγρηγορότα ~ειν, μηδὲν πράττοντα ἀγαθόν Chrys.*hom.9.3 in 1Thess.*(11.489D); 'μὴ ~ωμεν'...τουτέστιν, οἱ τῇ δυσσεβείᾳ δουλεύοντες Thdt.*1Thess.*5:6(3.522); **b.** exeg. 1Thess. 5:10 'εἴτε ~ομεν' τὸν θάνατόν φησι τὸν σωματικόν Chrys.*hom.9.4 in 1Thess.*(11.491B); ~οντας δὲ τοὺς τετελευτηκότας [sc. καλεῖ] Thdt. *1Thess.*5:10(3.523); **c.** exeg. Eph.5:14 ζητήσεις, πῶς τῷ αὐτῷ λέγεται ὡς μὲν ζῶντι καὶ ~οντι 'ἔγειρε ὁ ~ων' ὡς δὲ τεθνηκότι τὸ 'ἀνάστα ἐκ τῶν νεκρῶν',...τὸ μὲν...λέγεται διὰ τὸ πνεῦμα, τὸ δὲ...διὰ τὴν ψυχήν Or.*comm.in Eph.*5:14(*JTS* 3 p.563); ~οντα καὶ νεκρόν, τὸν ἐν ἁμαρτίαις φησί. καὶ γὰρ δυσωδίας πνεῖ, ὡς ὁ νεκρός, καὶ ἀνενέργητός ἐστιν, ὡς ὁ ~ων Chrys.*hom.18.1 in Eph.*(11.128B); ~οντα λέγει τὸν ἐν ἁμαρτίαις κείμενον. καὶ γὰρ ὁ ἐν ἁμαρτίαις ζῶν νεκρὸς λέγεται εἶναι ‡Ath.*qu.script.*111(M.28.764A).

καθέψ-ω, 1. *boil down,* Clem.*prot.*2(p.14.19; M.8.80A); **2.** *soften,* by hot baths ἀνθρωπογναφεῖα...τὰ σώματα...~οντα id.*paed.*3.9(p.263. 19; M.8.617B); **3.** *digest* πῶς οὐκ ἐν ἴσῳ τροφῆς δεδαπάνηται ~όμενος; [sc. Jonah] Cyr.*Jon.*11(3.375E).

***καθηγεμονιάω,** *bear rule* over κ. ... μοναστηρίων Thdr.Stud.*epp.* 2.143(M.99.1449B).

καθηγεμών, ὁ, 1. *leader, guide* κ. [sc. Moses] τοῦ παντὸς ἔθνους Eus.*v.C.*1.12(p.13.17; M.20.925B); ὁ κ. ... ἁπάντων τοῦ θεοῦ λόγος id.*d.e.*4.7(p.161.13; M.22.269A); κ. τῆς ἐκκλησίας Gr.Naz.*or.*43.28 (M.36.533C); abs., of an army officer, Eus.*v.C.*4.51(p.138.19; 1201A); of a choir-master, Ath.*gent.*43(M.25.85B); of Christ ἕνα ἔχομεν κ. ... τὸν κύριον id.*tom.*8(M.26.805C); of a priest τὸν ἱερὸν κ. Dion.Ar.*e.h.* 3.3.14(M.3.445A); of a godfather κ. ... ἱερὸν..., ἔξιν αὐτῷ [sc. baptized infant] τῶν θείων ἐμποιοῦντα *ib.*7.3.11(568C); of an archimandrite, Thdr.Stud.*or.*11.15(M.99.817B); **2.** *guide* to, *teacher* of θεοσεβείας κ. Clem.*paed.*1.1(p.90.4; M.8.249A); ὁ τῶν αἱρέσεων κ. διάβολος Ath.*ep.Aeg.Lib.*8(M.25.556B); τὸν θεοῦ λόγον κ. τῆς σπουδῆς ποιησάμενοι Gr.Nyss.*hom.9 in Cant.*(M.44.968A); πάσης ἱερᾶς ἐπιστήμης τε καὶ ἐνεργείας κ. [sc. θεόν] Dion.Ar.*c.h.*3.2(M.3.165A).

***καινοφωνῶς,** *in novel terms, with new words* ; of heretical doctrine, *Symb.CP*(681)(H.3.1397D).

καινόω, s.v.l., *make new,* Jo.Mosch.*prat.*200(M.87.3089A), perh. f.l. for *κοινόω.*

καίνωσις, ἡ, *innovation* ; of Inc., Cyr.ap.*cat.Heb.*suppl.5:4(p.476. 29).

καίριος, *important, crucial* οὐδὲ κ. τίς ἐστιν ἡ ἐν τούτοις [sc. gospels] δοκοῦσα διαφωνία Vict.*Mc.*6:7(p.323.20) ; of an important text τὸ κ. ὧδε ἐπιλεγόμενον Mac.Mgn.*apocr.*2.20(p.37.2) ; of principal doctrines, Gr.Naz.*ep.*7(M.37.33C) ; τὰ κ. τῆς τῶν πατέρων ἐκθέσεως Thdot.Anc.*exp.symb.*11(M.77.1329C) ; of principal customs handed down by tradition, Bas.*Spir.*66(3.54D ; M.32.188A) ; in gen., Gr.Naz. *ep.*183(300B).

***καιροθέος,** *time-serving,* Gr.Naz.*carm.*2.1.10.24(M.37.1028A).

***καιρολουσία, ἡ,** *bathing-time, Const.App.*1.9.4.

καιρός, ὁ, *season, time* ; **1.** *fit time, opportunity* κ. ... μετανοεῖν Ign.*Smyrn.*9.1 ; εἰσῆλθες εἰς ἀγῶνα, κάμε τὸν δρόμον. ἄλλον κ. τοιοῦτον οὐκ ἔχεις Cyr.H.*procatech.*6(M.33.345A) ; Chrys.*hom.3.4 in Eph.* (11.22B) ; ref. worship δοξάζουσα τὸν κύριον ἐν παντὶ κ. Herm. *mand.*5.2.3 ; τὸν κ. τοῦ πάσχα Or.*schol.in Cant.*6:10,11(M.17.280A) ; κ. τε ἑορτῶν ἐκκλησίαις ἐδόξαζον Eus.*v.C.*4.23(p.126.5 ; M.20.1172A) ; μὴ μόνον ἐν τῷ κ. τῶν κατηχουμένων, ἀλλὰ καὶ ἐν τῷ κ. τῶν πιστῶν Chrys.*hom.2.8 in 2Cor.*(10.440E) ; δίδοται ὁ κ. παρὰ τοῦ ἀρχιερέως τῷ πρώτῳ τῶν ἱερέων μέλλοντι ἄρχεσθαι τῆς θείας μυσταγωγίας. οὗτος δὲ ὁ κ. σχηματίζει τὸν περὶ τοῦ προφήτου [ref. Is.7:14] ἀναφωνηθέντα κ. τῆς προδρόμου γεννήσεως καὶ τοῦ Χριστοῦ...ἐπιδημίας ‡Sophr.H. *liturg.*11(M.87.3992A) ; **2.** of the present age and age to come μισήσωμεν τὴν πλάνην τοῦ νῦν κ., ἵνα εἰς τὸν μέλλοντα ἀγαπηθῶμεν *Barn.*4.1 ; τὸν κ. τοῦ ἀνόμου *ib.*15.5 ; κ. τῆς ἀναψύξεως Or.*schol.in Cant.*4:5(M.17.272C) ; κατὰ τὸν παρόντα κ. Meth.*res.*25(p.381.6 ; M. 18.328C) ; Chrys.*hom.43.4 in Mt.*(7.464C) ; **3.** of ages of history οὐδὲ ...τῆς ἀδικίας κ. ... ἀλλὰ τὸν νῦν τῆς δικαιοσύνης *Diogn.*9.1 ; ἐν τῷ κ. τῷ Ἰουδαϊκῷ Chrys.*hom.1.4 in 1Thess.*(11.431A) ; κ. εὔθετον λέγει τῆς καινῆς διαθήκης τὴν πολιτείαν Thdt.*Ps.*31:6(1803) ; ἔσχατοι κ. Ign. *Eph.*11.1 ; λόγος...ἐν ἐσχάτοις κ. ἀνθρωπος...γεγονώς Cyr.*expl.xii cap.*1(p.17.18 ; 61.148A) ; **4.** of time compared with eternity ἐπεὶ θεὸς ὁ κ. παρὰ τοῖς φαύλοις νομίζεται, δείκνυσιν ὡς κ. καὶ χρόνων αὐτὸς ποιητής Proc.G.*Gen.*9:4(M.87.292C) ; τὸ λοιπὸν δρόμου κα[ρο]ῦ χρόνου αἰῶνος ἀνάπαυσιν ἐν σιγῇ *PRyl.*3.463 ; **5.** met., exeg. Ac.1:7 χρόνους δὲ καὶ κ. μή μοι νόει αἰσθητούς, ἀλλὰ διαστήματά τινα γνώσεως ὑπὸ τοῦ νοητοῦ ἡλίου γινόμενα Evagr.Pont.*ep.*7(M.32.260B).

καιροσκοπ-έω, *watch for opportunity,* Marc.Er.*opusc.*7.5(M.65. 1077A) ; *ib.*10.10(1133C) ; *watch for opportunity of* τὸν αὐτοῦ ~οῦντι θάνατον Pall.*v.Chrys.*11(p.64.9 ; M.47.36).

***καιροσκόπος, ὁ,** *one who watches his opportunity* κ. δή τις πονηρὸς τὸν αἰῶνα τοῦτον περικέχηνεν Gr.Thaum.*Eccl.*3:11(M.10.996B).

καιροφυλακέω (καιροφυλακτέω), 1. *observe the times* of stars, Dion.Al.ap.Eus.*p.e.*14.25(778A ; M.21.1280B) ; **2.** *watch for the opportunity of* τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὴν τῶν παίδων τιμωρίαν ἐκαιροφυλάκεις Isid.Pel.*epp.*5.86(M.78.1376C) ; *watch for, mark down,* of demons καιροφυλακτοῦντες ἡμᾶς †Chrys.*hom.prec.*1(2.783B).

***καισαρίκιος,** *belonging to a Caesar* τὰ κ. περικεφάλαια Thphn. *chron.*p.374(M.108.896B).

***καισαροειδής, ὁ,** *the seeming Caesar* περιέθηκαν δὲ αὐτῷ καὶ βασιλικὸν διάδημα, ὥστε μηδένα γινώσκειν, εἰ μὴ αὐτὸς οὗτος εἴη ὁ καῖσαρ...ὑπερνικήσας ὁ κ. τὸν τῶν Γόθθων βασιλέα Agath.*v.Gr.Ill.*20.

καίω, *burn* ; perf. ptcpl. pass. κεκαυμένος, of Manicheans and encratite sects, ref. 1Tim.4:2 κεκαυτηριασμένους, μορφὴν εὐσεβοῦς καυτῆρος πρὸς ἀπάτην ἔχοντας, ἢ κεκαυμένους, οὓς ἡ δρόσος τοῦ ἁγίου πνεύματος οὐκ ἐπίανεν...οὓς ἡ φλόγωσις τῆς Χαλδαϊκῆς καμίνου κατέπρηαεν Mac.Mgn.*apocr.*3.43(p.151.15).

κακεντρέχεια, ἡ, *activity in wickedness, perversity,* Bas.*hom.*12.6 (2.103A ; M.31.400A) ; of Devil, Or.*exc.in Ps.*1:1(M.17.152A) ; ref. one falling into heresy ἐξ ἀφελείας ἢ κ. Cyr.H.*catech.*7.7 ; ref. Nestorius, Anast.S.*hod.*20(M.89.277A).

***κακεντρεχῶς,** *wickedly, perversely,* Or.*exc.in Ps.*1:1(M.17.152A) : Bas.*ep.*233.2(3.356D ; M.32.865C).

***κακέσχατος, ὁ,** *utter villain,* Ephr.1.312E ; Anast.Ap.*a.Max.*2.27 M.90.164C).

***κακευχία, ἡ,** *sad condition, distress,* Max.*ep.*3(M.91.412A).

κακηγκάκως** (κακιγκάκως**), *wretchedly*, †Jo.D.*B.J.*24(M.96.1088A); *κακιγκάκως M.Pers.*9.5(p.477.5); *M.Ariadn.*10(p.129.19).

***κακήκοια, ἡ**, *listening to slander*, Nil.*Eulog.*16(M./9.1113D).

κακία, ἡ, *evil*;

A. moral; **1.** def. and descriptions *διπλοῦ...ὄντος τοῦ τῆς κ. εἴδους, τοῦ μὲν μετὰ ἀπάτης καὶ τοῦ λανθάνειν, τοῦ δὲ μετὰ βίας ἄγοντος* Clem.*str.*2.6(p.127.1; M.8.961A); *ἡ κ. κακὴν φύσιν ἔχει καὶ οὔποτ' ἂν καλοῦ τινος ὑποσταίη γεωργὸς γενέσθαι ib.*1.1(p.13.11; 708B); *ἡ κ. οὐκ ἄν τι ἐνάρετον ποιήσαι ib.*6.17(p.513.30; M.9.392B); *ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος ἀκρόπολίς ἐστι κακίας* id.*paed.*2.3 (p.180.19; M.8.437B); *ὅφις ἀλληγορεῖται ἡδονὴ...κ. γηῖνη* id.*prot.*11 (p.78.28; M.8.228C); as negation of being *ἐξειλήφασιν...τινες τῷ ἀνυπόστατον εἶναι τὴν κ. (οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς οὔτε εἰς τὸν αἰῶνα ἔσται) ταῦτ' εἶναι τὰ 'μηδέν'* Or.*Jo.*2.13(7; p.68.26; M.14.133D); *δόγμα κάλλιστον περὶ τοῦ ἀόριστον εἶναι τὴν κ.* id.*Cels.*4.63(p.334.8; M.11.1129C); dist. from *τὸ κακόν, ib.*4.66(p.336.29; 1133D); *οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κ., κατὰ δὲ τὸν τῆς προαιρέσεως τρόπον* Meth.*arbitr.*13(p.180.6; M.18.264A); *ὅτ' ἂν...ἐν διαστροφῇ τοῦ κατὰ φύσιν γένηται, τότε κ. τῆς ψυχῆς λέγεται* Ath.*v.Anton.*20(M.26.873B); *ἐν ὑποστάσει καὶ καθ' ἑαυτὴν εἶναι τὴν κ.* censured as pagan error, id.*gent.*6(M.25.12D); *πέφυκε πᾶσα κ. ἢ κατ' ἔλλειψιν, ἢ καθ' ὑπέρπτωσιν ἀρετῆς ἐνεργεῖσθαι* Gr.Nyss.*v.Mos.*(M.44.420A); *οὐ γὰρ ἔστιν ἄλλως κακίας γένεσιν ἐννοῆσαι, ἢ ἀρετῆς ἀπουσίαν* id.*or.catech.*5(p.28.1; M. 45.24D); *ἡ κ. λογισμοὺς ἔχει πολλούς* Mac.Aeg.*hom.*40.5(M.34.765B); *οὔτε ἡ ἀρετὴ οὔτε ἡ κ. μένει ἀμετάπτωτος...κ. κακίαν ἐφέλκεται* Nil. *epp.*2.124f.(M.79.253B); negative view discussed and elaborated, Dion.Ar.*d.n.*4.19(M.3.716Dff.); *κ., οὐκ ὄν, ἀλλὰ τοῦ ὄντος, τουτέστι τοῦ νόμου τοῦ θεοῦ ἑκούσιος παρακοή* Jo.D.*Man.*1.43(M.94.1545D); *κ. ... ἡ τῆς τάξεως λύσις, εἴτουν ἀταξία ib.*1.47(1548D); *ἔστιν ἡ κ. ἡ τῶν φυσικῶν δυνάμεων παράχρησις ib.*1.14(1517C); *τὸ γὰρ τῆς κ. ὄνομα ὁμώνυμόν ἐστι. δύο γὰρ σημαίνει· ποτὲ μὲν γὰρ σημαίνει τὴν τῆς ἀρετῆς στέρησιν· ποτὲ δὲ τὴν τῆς χαρᾶς, τουτέστι τοῦ ἐπιθυμουμένου ...τοῦτο οὖν ἐστι κ., τὸ τῷ μὴ ὄντι ὡς ὄντι χρήσασθαι ib.*1.60(1553A); **2.** origin; **a.** natural *διὰ τὴν ἀπιστίαν τὴν ἀνθρωπίνην γένεσιν ἴσχει κ.* Clem.*paed.*1.8(p.131.1; M.8.333B); *ἡ δεισιδαιμονία...κ. ἀνοήτου γέγονε πηγή* id.*prot.*3(p.34.1; M.8.129C); love of money and pleasure, id. *str.*7.12(p.54.8; M.9.504B); *τὸ γὰρ ἑκάστου ἡγεμονικὸν αἴτιον τῆς ὑποστάσης ἐν αὐτῷ κ.* Or.*Cels.*4.66(p.336.29; M.11.1133D); *ἡμεῖς δὲ ἑαυτοῖς ἐκτίσαμεν τὴν κ.* id.*hom.2.1 in Jer.*(p.16.24; M.13.277B); opinion attributed to Or. *οὐ τὸ σῶμα τοῦτο παραίτιον κακίας ἐστίν, ἀλλ' αὐτὴ ἡ ψυχή* Meth.*res.*1.29(p.261.7; M.41.1140A); discussed, *ib.*1.31(p.264. 8; 1141A); through Adam's transgression, Mac.Aeg.*hom.*24.2(M.34. 664A,B); worldly preoccupations, *ib.*40.7(768A); *πολλὴ νομὴ τῆς κ. ἔνδον ἐστί ib.*41.2(768D); *ἐξ ἀρχῆς μὲν οὐκ ἦν ἡ κ. ... ἄνθρωποι δὲ ταύτην ὕστερον ἐπινοεῖν ἤρξαντο* Ath.*gent.*2(M.25.5C); *κ. ψυχῆς ἐστιν. αἰτία δὲ...οὐδεμία, ἀλλ' ἡ τῶν κρειττόνων ἀποστροφή ib.*5(12B); *αἱ κ. ἐκ τῆς αὐτῆς καρδίας ἐξερχόμεναι* id.*ep.Aeg.Lib.*11(M.25.561B); consequence of this view *ἐπειδὴ γὰρ ἔξω τῆς προαιρέσεως ἡ κ. εἶναι φύσιν οὐκ ἔχει, ὅταν πᾶσα προαίρεσις ἐν τῷ θεῷ γένηται, εἰς παντελῆ ἀφανισμὸν ἡ κ. μεταχωρήσειε* [M. *μὴ χωρήσει*], *τῷ μηδὲν αὐτῆς ὑπολειφθῆναι δοχεῖον* Gr.Nyss.*anim.et res.*(M.46.101A); *κ.* being a wrong use of *κινήματα* indifferent in themselves such as *θυμός* and *ἐπιθυμία, ib.*(89A); *κ.* due to sin committed in previous existence (Origenist) Gr.Nyss.*ib.*(112C); theory criticized, *ib.*(113B–116A); *ὅτι δὲ οὐδὲ κακίας αἴτιον τῇ ψυχῇ τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι ἄνευ σώματος παρυφίστασθαι κ., ὥσπερ ἐν δαίμοσι...πῶς δὲ γεννᾷ καὶ τρέφει τὴν φύσιν ἡ ὕλη κακὴ οὖσα;...εἰ δὲ φαίεν, αὐτὴν μὲν οὐ ποιεῖν κ. ἐν ψυχαῖς, ἐφέλκεσθαι δὲ αὐτάς, πῶς ἔσται τοῦτο ἀληθές; πολλαὶ γὰρ αὐτῶν εἰς τὸ ἀγαθὸν βλέπουσι...ὥστε οὐκ ἐξ ὕλης ἐν ψυχαῖς τὸ κακόν, ἀλλ' ἐξ ἀτάκτου καὶ πλημμελοῦς κινήσεως* Dion.Ar.*d.n.*4.27f.(M.3. 728Dff.); **b.** preternatural; demons, Just.*2apol.*5.4(M.6.452C); Tat. *orat.*14(p.15.12; M.6.836B); *ἀπό τινων πτερορρυησάντων καὶ κατακολουθησάντων τῷ πρώτῳ πτερορρυήσαντι ὑπέστη ἡ κ.* Or.*Cels.*6.43 (p.114.17; M.11.1365B); Mac.Aeg.*hom.*24.3(664C); Devil called *ὁ τῆς κ. πατήρ* Ath.*v.Anton.*28(M.26.885A); *ὁ τῆς κ. εὑρετής* id.*ep.Aeg. Lib.*1(M.25.540B); Jo.D.*hom.*4.8(M.96.609B); **3.** opp.; **a.** *ἀρετή*, Just. *2apol.*7.6(M.6.456C); *ib.*9.1(460A); Athenag.*leg.*3.1(M.6.896C); Clem. *paed.*2.10(p.223.11; M.8.529A); and logos as identified with virtue. Or.*Jo.*32.7(p.444.2; M.14.769C); *τὰ ἀπὸ κ. ἔργα ἐκτρέπεσθαι, τὴν δ' ἀρετὴν σέβειν* id.*Cels.*5.39(p.43.16; M.11.1244B); Ath.*Dion.*20(p.61. 26; M.25.509C); †Nil.*vit.*1(M.79.1140B); hence enemy of 'gnostic', Clem.*str.*7.11(p.47.13; M.9.492A); **b.** *χάρις*, esp. in Mac. Aeg. *εἰσὶ γάρ τινες, ὅτι σύνεστιν αὐτοῖς ἡ χάρις...σύνεστι δὲ καὶ ἡ κ. ἔνδον hom.*17.4(M.34.625D); *ib.*17.6(628B); *οἱ κατεχόμενοι ἐν βάθει ὑπὸ...τῆς χάριτος...ἔτι εἰσὶ δοῦλοι...τῷ μέρει τῆς κ. ib.*17.7(628C); struggle between *κ.* and *χάρις* in men, *ib.*26.10(680D); *ib.*26.22(689A,B); **4.** influence on men in guise of virtue *ἡ γὰρ κ., πρόβλημα ἑαυτῆς τῶν πράξεων τὰ προσόντα τῇ ἀρετῇ καὶ ὄντως ὄντα καλὰ διὰ μιμήσεως ἀφθάρτων περιβαλλομένη...δουλαγωγεῖ τοὺς χαμαιπετεῖς τῶν ἀνθρώπων, τὰ προσόντα αὐτῇ φαῦλα τῇ ἀρετῇ περιθεῖσα* Just.*2apol.*11.7(M.6. 461C); *ἡ γὰρ ἂν ἄπρακτος ἦν ἡ κ., μηδενὶ προσκεχρωσμένη καλῷ τῷ πρὸς ἐπιθυμίαν αὐτῆς ἐφελκομένῳ τὸν ἀπατώμενον* Gr.Nyss.*hom.opif.* 20(M.44.200A); *πέφυκε γάρ πως ἡ κ. τῷ τοῦ καλοῦ προσχήματι ἐγκαλύπτεσθαι* Jo.D.*hom.*4.9(M.96.609C); **5.** effects *κ. ... τὴν ἀνθρώπων ἐπιβόσκεται φθοράν* Clem.*prot.*1(p.6.34; M.8.60B); cf.id.*paed.*2.6 (p.189.10; M.8.456A); death and corruption, Ath.*inc.*5.3(M.25.105B); *ἐκπίπτει τις ἀπὸ τοῦ πνεύματος διά τινα κ.* id.*Ar.*3.25(M.26.370C); blinding of mind, id.*h.Ar.*71(p.222.8; M.25.777C); but *κ.* also regarded as temptation effecting chastisement, Mac.Aeg.*hom.*16.3 (M.34.616A); peace with Satan, *ib.*27.2(693D); excluding angels from heavenly *ἁρμονία*, Dion.Ar.*e.h.*6.3.6(M.3.537A); **6.** remedies; **a.** divine; providence bringing good out of evil, Clem.*str.*1.17(p.55. 24; M.8.801A); *κἂν συγχρήσηται τῇ κ. τῶν φαύλων εἰς τὴν διάταξιν τοῦ παντὸς ὁ θεός* Or.*Cels.*4.70(p.339.26; M.11.1140A); through Christ's teaching, Clem.*paed.*3.8(p.261.25ff.; M.8.613C); through Inc., Mac. Aeg.*hom.*28.3(M.34.712C); through baptism, Dion.Ar.*e.h.*2.3.1(M. 3.397B); through chastisements, Or.*Cels.*6.72(p.142.9; 1408B); symbolized by refining fire, Gr.Nyss.*anim.et res.*(M.46.100A); **b.** human; prayer and other good works, Clem.*paed.*3.12(p.289.17; M.8.676C); **7.** ref. God; **a.** *κ.* not in God, Just.*1apol.*8.2(M.6.337C); Or.*Cels.*5. 23(p.24.18ff.; M.11.1216D); id.*hom.7.3 in Jer.*(p.54.19; M.13.333C); **b.** nor caused by God, Clem.*str.*1.17(p.54.16; M.8.800A); rel. to Logos discussed, Or.*Jo.*2.15(9; p.71.15ff.; M.14.140B); hated by God, Or.*fr.*50 *in Jo.*(p.524.21ff.); **c.** not in Christ, Or.*Cels.*4.15 (p.285.14; 1048A); **8.** Gnost.; related to matter *τὴν ὑλικὴν πᾶσαν κ. δηλοῦσθαι διὰ τῶν ἐξ ἀνδρῶν* (ref. Jo.4:17) Heracleon ap.Or.*Jo.*13. 11(p.236.5; M.14.416C); *ὁ δὲ κόσμος τὸ σύμπαν τῆς κ. ὅρος* Heracleon *ib.*13.16(p.239.35; 421C); cf. Or.'s view of fall of souls into bodies *διὰ κ.* id.*princ.*1.8.4(p.103.8); **9.** Manichean; **a.** teaching *οἱ δὲ ἀπὸ τῶν αἱρέσεων...ἀναπλάττονται δὲ ἑαυτοῖς παρὰ τὸν ἀληθινὸν τοῦ Χριστοῦ πατέρα θεὸν ἕτερον, καὶ τοῦτον ἀγένητον τοῦ κακοῦ ποιητὴν καὶ τῆς κ. ἀρχηγόν* Ath.*gent.*6(M.25.13A); *μίαν ἀρχὴν λέγεις τῶν ὄντων, ἢ δύο; δύο, μίαν μὲν ἀγαθήν, καὶ μίαν πονηράν...τὴν δὲ πονηρὰν... παντὸς πονηροῦ καὶ κ. ποιητικήν...ἡ δὲ ὕλη, ἥγουν ἡ κ., ἄζωος, ἀκίνητος* Jo.D.*Man.*1.2(M.94.1508B,C); *ἐκ γὰρ τῆς μοίρας τοῦ ἀγαθοῦ, ἐγένοντο αἱ ψυχαί, ἐκ δὲ τῆς οὐσίας τῆς κ., τὰ σώματα ib.*(1508D); **b.** its consequences *ὁ...βαρβαρικὴν ἀσέβειαν ἐπινοήσας, ἄναρχον κ. κατὰ τοῦ θεοῦ ἀνάρχου καὶ μόνου πλασάμενος, καὶ δευτέραν ἀρχὴν ταύτην μανικῶς ὁρισάμενος, οὐ μόνον ἐν ἴσῃ τάξει τίθησι κ. θεῷ, ὥσπερ τιμῆσαι ταύτην ὁ δῆθεν μισῶν προελόμενος, ἀλλὰ καὶ ἀνίατα πάντα τὰ ἐκ τῆς ἀνάρχου ῥέοντα κακὰ ἐπάναγκες φάσκων,...ὡς ἀδύνατον ἀνάρχου κ. ἐπισχεῖν τὴν φοράν* Tit.Bost.*Man.*1.2(M.18. 1072B); for soul *τό τε δὴ σπουδαζόμενόν ἐστι τῷ ἀγαθῷ τὴν ψυχὴν ἐλευθερῶσαι τῆς κ.· καὶ ταύτην ἀντλῆσαι τρόπον τινὰ ἐκ τῆς ὕλης ib.* 1.13(1083C); **c.** refutation by *reductio ad absurdum ἡ μὲν κ., φθορά. ὁ δὲ ἀγαθός, ζωή. οὐκοῦν ἡ μὲν κ. φθείρει τὸν ἀγαθόν, καὶ οὐχ ὑφίσταται· ὁ δὲ ἀγαθὸς ζωοῖ τὴν κ.· καὶ ὑποστήσεται μὲν ἡ κ., ἀπωλεῖται δὲ ὁ ἀγαθός* Jo.D.*Man.*1.27(1532A); *εἰ οὖν δημιουργεῖ ἡ κ., ἐκ μὴ ὄντων παράγει, καὶ οὐκέτι ἐκ τῆς ὕλης τὸ σῶμα. εἰ δὲ ἐκ τῆς ὕλης, τουτέστιν ἐκ τῆς οὐσίας τῆς κ., εἰ μὲν ἄναρχος ἡ κ., ἀθάνατος πάντως καὶ ἄτρεπτος...εἰ δὲ ἡ κ. ἄτρεπτος, καὶ τὸ ἐκ τῆς οὐσίας αὐτῆς σῶμα ἄφθαρτον ἔσται καὶ ἄτρεπτον ib.*1.42(1545A); *ib.*1.63(1557B).

B. intellectual *error*, Or.*Cels.*6.53(p.125.5; M.11.1381A).

C. physical, *misfortune ἐν τοῖς προφήταις ἡ κ. παιδεία λέγεται* Max. *schol.d.n.*4.30(M.4.301B).

***κακιγκάκως,** v. ***κακηγκάκως.**

***κακίστως,** *very badly ἵνα ταῖς καλλίσταις τῶν ἐντολῶν κακίστως χρησώμεθα* Nil.*Eulog.*25(M.79.1128A).

***κακκαβοπυρφόρος,** *carrying cauldrons of fire*, Thphn.*chron.* p.294(M.108.720A); as subst., *fire-ship, ib.*p.352(845B).

***κακοαισχής,** *evil and shameful*, Gr.Naz.*carm.*1.1.2.14(M.37.402A).

***κακόβλαστος,** *bursting with evil*, Epiph.*haer.*31.1(p.383.17; M.41. 473C).

***κακοβουλοσύνη, ἡ**, *evil design, wickedness*, *Orac.Sib.fr.*1.19.

***κακοβούλως**, *ill-advisedly, foolishly*, Epiph.*haer.*65.4(p.6.10; M.42.16D); Isid.Pel.*epp.*1.69(M.78.229C).

κακογάμιον, τό, *unlawful marriage*, Clem.*str.*2.23(p.191.9; *μονογάμιον* cod., M.8.1092A).

***κακόγηρος, ὁ**, *evil old man*, Ephr.1.312D; of Devil, Pall.*h.Laus.* 18(p.56.16; M.34.1065C); Jo.Mosch.*prat.*45(M.87.2900C).

***κακογνωμία, ἡ**, *corruption of the mind*, †Jo.Jej.*poenit.*(M.88. 1905C).

κακογνώμων, *having corrupt judgement, Orac.Sib.*2.144; of heretics, Iren.*haer.*3.3.4(M.7.852B).

***κακογραφία, ἡ,** f.l. for κακορραφία, *contrivance of evil, mischievousness,* Eudoc.*Cypr.*2.123(M.85.849C; κακορρ- *Teub.*).

κακοδιδασκαλέω, *instruct in evil, 2Clem.*10.5.

***κακοδιδασκαλία, ἡ,** *false teaching,* of heresy φεύγετε τὸν μερισμὸν καὶ τὰς κ. Ign.*Philad.*2.1; τῶν δογμάτων τὴν κ. Hipp.*haer.* 9.8(p.241.5; M.16.3371A); Epiph.*haer.*40.1(p.80.31; M.41.677B); Pall. *h.Laus.*54(p.146.19; M.34.1227A).

***κακοδιδάσκαλος, ὁ,** *false teacher,* Epiph.*haer.*57.1(p.345.3, v.l. διδάσκαλος M.41.996C); *Clem.recogn.suppl.*2(M.1.1457D).

κακοδοξέω, *hold false beliefs,* Ath.*hom.in Mt.*11:27(M.25.220A); Bas.*reg.br.*20(1.422A; M.31.1097A).

κακοδοξία, ἡ, *false opinion, heresy* τὰ γὰρ τῆς πίστεως ὁμολογήματα, ταῖς τῶν αἱρέσεων οὐ συνδραμεῖται κ. Apoll.*fid.sec.pt.*24(p.175.28; M.10.1113D); τῶν Ἀρειανῶν τὴν κ. Epiph.*haer.*65.6(p.8.25; M.42.21A); τίς οὐκ ἐμπεσεῖται ῥᾳδίως εἰς κ. κρημνόν; Euther.*confut.*16(M.28.1388C); ἵνα μὴ μέτοχοι τῆς κ. καὶ τῆς αὐτῶν γενώμεθα κατακρίσεως Jo.D.*f.o.*4.13(M.94.1153B); κ. ἤγουν πᾶσα αἵρεσις id.*virt.*(M.95.88B); ref. eccl. condemnation τῷ...ἐπισκόπῳ...κρίνοντι αὐτὸν ἐπὶ τῇ κ. Bas.*ep.*273.3(3.406A; M.32.977C); Leo Mag.*ep.*28.6(p.19.12; M.*PL.* 54.780A); Alex.Sal.*Barn.*34(448B).

κακόδοξος, 1. of persons, *holding false beliefs,* Ath.*hom.in Mt.* 11:27(M.25.213C); Gr.Naz.*or.*43.58(M.36.573B); id.*ep.*185(M.37.304B); Didym.*Trin.*2.26(M.39.749B); ‡Jo.D.*ep.Thphl.*29(M.95.381D); **2.** of opinions, *unorthodox,* Epiph.*haer.*69.5(p.156.11; M.42.209B); Gel.Cyz.*h.e.*2.21.22(M.85.1288C); Thphn.*chron.*p.9(M.108.77B).

κακοδουλία (-εία), ἡ, *severe conditions of servitude, Const.App.* 4.6.4; *base servitude* ἠλευθέρωσεν ἡμᾶς ἐκ τῆς κακοδουλείας τῶν ἁμαρτιῶν Agath.*v.Gr.Ill.*36.

***κακοεκτέω,** *be indisposed,* Bars.*resp.*(M.88.1820B).

κακοεξία, ἡ, *evil disposition, evil state,* Nil.*epp.*2.57(M.79.225A); Dor.*doct.*12.3(M.88.1752C).

[*]**κακοεργέω,** = κακουργέω, *do evil,* Diad.*perf.*28(p.30.28).

κακοζήλως, *with misplaced zeal,* Hier.*ep.*57.11(M.*PL.*22.578).

***κακοήτωρ,** *of evil heart, Orac.Sib.*1.174.

κακοθέλεια (-ία), ἡ, *malevolence, ill will,* Eust.*engast.*26(p.57.11; M.18.668A); Leo Mag.*ep.*30.1(p.46.4; M.*PL.*54.788A); Isid.Pel.*epp.*1.332(M.78.373C).

κακοθελής, *malevolent;* of Devil, Ath.*v.Anton.*28(M.26.885A); of heretics, Const.ap.eund.*apol.sec.*62(p.142.1; M.25.361A); Ath.*ep. Aeg.Lib.*8(M.25.556B); Ephr.3.213E.

***κακοθελῶς,** *with evil intent, from ill will,* Marc.Er.*opusc.*2.171 (M.65.957A); ref. heretics, Jo.Clim.*scal.*26(M.88.1060D); Anast.S. *hod.*21(M.89.284B).

***κακοιώνιστος,** *ill-omened,* Jo.Mal.*chron.*7 p.187(M.97.297B).

κακοκαρπία, ἡ, *production of evil fruit,* Jo.D.*Jacob.*1(M.94.1436C).

***κακόκαρπος,** *bearing evil fruit,* Or.*Cant.*3(p.192.28; M.13.159D); Gr.Thaum.*pan.Or.*17(p.39.1; M.10.1101A).

***κακοκερδής,** *basely greedy of gain, Orac.Sib.*3.189; Gr.Naz. *carm.*2.2(epigr.)78.1(M.38.121A).

***κακολίμαστος,** *causing famine, Exorc.*2(p.333).

***κακολογίζομαι,** *have evil thoughts,* Diad.*perf.*28(p.32.1).

***κακομανία, ἡ,** *wicked madness,* Pall.*v.Chrys.*16(p.94.18; M.47.53).

***κακόμαρτυς, ὁ,** *one who bears false witness,* Sophr.H.*carm.*12.65 (M.87.3793A).

***κακομαχία, ἡ,** *wicked quarrelsomeness,* Const.ap.Gel.Cyz.*h.e.* 3.18.2.

***κακόμαχλος,** *wickedly lustful,* Thdt.*qu.*21 *in Lev.*(1.198).

***κακόμαχος,** *wickedly contentious,* Isid.Pel.*epp.*1.114(M.78.260B).

***κακόμελος,** *discordant,* Melet.*nat.hom.*7(M.64.1181D).

[*]**κακομηχαν-άομαι,** *devise in wickedness* τὴν ἄλλην βλακείαν ~ώμεναι Clem.*paed.*3.2(p.238.18; M.8.560C).

κακομήχανος, *wickedly devised* κ. πρᾶξις Hipp.*ben.Jac.*13(p.28.12).

***κακομυθία, ἡ,** *evil-speaking, falsehood,* Serap.*Man.*49(p.71; M. 18.1245A); Thdt.*haer.*tit.(4.280).

κακόνοια, ἡ, *perversity,* Chrys.*sac.*2.6(p.42.9; 1.378C); esp. of heresy, Ath.*ep.Aeg.Lib.*22(M.25.589A); Cyr.*Jo.*1 proem.(4.8E); Isid. Pel.*epp.*1.18(M.78.193A); Jo.VI CP *ep.*(M.96.1428D); of Judaism, *Const.App.*5.16.2.

κακοπάθεια, ἡ, *mortification*; in gen., Eus.*v.C.*3.5(p.79.16; M.20. 1060A); Ath.*virg.*19(p.54.22; M.28.276A); Marc.Diac.*v.Porph.*10; Mac.Aeg.*pat.*1(M.34.865C); Dor.*doct.*1.10(M.88.1629A); of its practice μήτε πρὸς τρυφήν, μήτε πρὸς κ. βλέπειν, ἀλλὰ φεύγειν ἐν ἑκατέρῳ τὴν ἀμετρίαν Bas.*ascet.*1.3(2.321C; M.31.876C); οὐ τὸ βλέπειν πρὸς τὴν τοῦ σώματος κ. ... ἀλλὰ πρὸς τὴν τῶν ψυχικῶν κινημάτων εὐκολίαν Nil.*epp.*3.268(M.79.517B); under obedience to superior, Bas.*ascet.*2.2(324E; M.884C).

***κακοπιστία, ἡ,** *wrong* or *erroneous belief*; of heresy, CSard.*ep. cath.*ap.Ath.*apol.sec.*42(p.119.13; M.25.324C); τῇ πέτρᾳ τῆς ἐκκλησίας προσρηγνύντες τὰ τῆς κ. αὐτῶν μηχανήματα Isid.Pel.*epp.*1. 311(M.78.364A); of Arians, Ath.*v.Anton.*68(M.26.940C); Marc.Diac. *v.Porph.*56; of Nestorius, Cyr.*expl.xii cap.*1(p.17.23; 6[1].148A) etc

***κακόπιστος,** *of wrong* or *erroneous belief*; of heretics, Epiph. *haer.*64.67(p.510.1); ‡Ath.*qu.Ant.*111(M.28.665B); ἀπίστοις, ἢ κ. Jo.Clim.*scal.*26(M.88.1060D); τῇ κ. ... δόξῃ Max.*schol.e.h.*6.3.6(M.4. 173A); Leont.N.*v.Sym.*30(M.93.1708B); Marc.Diac.*v.Porph.*8.

κακόπλαστος, *mis-shapen,* Chrys.*hom.*15.3 *in Heb.*(12.154C).

***κακοποδινός,** *bringing bad luck, ill-favoured,* Marc.Diac.*v.Porph.* 19; Leont.N.*v.Sym.*56(M.93.1740A).

κακοποι-έω, *injure* εἰ γὰρ μία φύσις τῶν θεῶν ὑπῆρχεν, οὐκ ὤφειλεν θεὸς θεὸν διώκειν οὔτε σφάζειν οὔτε ~εῖν Arist.*apol.*13.5.

κακοποιητικός, *prone to do evil,* Or.*fr.in Lam.*1:5(p.279.19; M.13. 616A); id.*Ps.*9:36(p.464); τὰ ἐν ἡμῖν καὶ ἐξ ἡμῶν φυόμενα ταῦτα ἡμέτερα τυγχάνουσι κ. ὄντα πονηρίας Meth.*Porph.*(p.507.18; M.18. 345B).

κακοπραγέω, *do evil,* Meth.*symp.*11(p.130.11; M.18.205B).

***κακοπράγημα, τό,** *evil action,* Meth.*symp.*6.3(p.67.5; M.18. 117A).

κακοπραγής, *given to doing evil* ἔθνη ἀνήμερα καὶ κακοπραγέστατα Thphyl.*exc.gent.*5(p.482.34; M.113.944A).

***κακοπραξία, ἡ,** *evil-doing, Clem.ep.*9(M.2.45A).

***κακόρεκτος,** v. ***κακόρρεκτος.**

***κακορραφέω,** *contrive evil,* Synes.*ep.*148(M.66.1548A).

***κακορραφής,** *contriving evil,* †Apoll.*met.Ps.*14:4(M.33.1328C).

***κακορρέκτειρα, ἡ,** *destroyer* καρπῶν τε κ. χάλαζα *Orac.Sib.*3. 754.

κακορρέκτης, ὁ, *worker of evil* κ. δαίμων Eudoc.*Cypr.*2.374(M. 85.860C).

***κακόρρεκτος,** *working evil,* †Apoll.*met.Ps.*57:3(M.33.1392B); hence *noxious* κακόρ⟨ρ⟩εκτα...βλαστήματα Epiph.*haer.*31.1(p.383.5; κακόρεκτα M.41.473C).

***κακορρημονέω,** *speak ill, slander,* intrans., Nil.*epp.*3.333(M.79. 544A).

κακός, A. *wicked, evil*; **1.** in gen. κ. κολάσεις τοῦ διαβόλου Ign. *Rom.*5.3; Christians considered κ. by pagans διὰ τὸ ὄνομα Just. *1apol.*4.2(M.6.332B); κ. ζύμης ἔργα id.*dial.*14.2(M.6.504D); of lust and concupiscence ἐν ἡδονῇ κ. τὸ ἀποθανεῖν Ign.*Trall.*6.2; id.*Philad.*2. 2; Just.*1apol.*10.6(M.6.341B); of demons, *ib.*5.4(336C); *ib.*9.1(340A); ref. work on sabbath, id.*dial.*27.5(M.6.533C); of false doctrines ἐὰν πίστιν θεοῦ ἐν κ. διδασκαλίᾳ φθείρῃ Ign.*Eph.*16.2; *ib.*9.1; Judaizing opinions called κ. ζύμη id.*Magn.*10.2; **2.** masc. as subst. = *sinner,* Just.*dial.*5.3(M.6.488A); Clem.*str.*6.17(p.511.24; M.9.385C); opp. Christ ἀπέδοτο...τὸν ἄκακον ὑπὲρ τῶν κ. *Diogn.*9.2; more numerous than ἀγαθοί, Tat.*orat.*3(p.4.2; M.6.809B).

B. neut. as subst., *evil, sin*; **1.** in gen. μερισμοὺς φεύγετε ὡς ἀρχὴν κακῶν Ign.*Smyrn.*7.2; Herm.*mand.*5.2.4; ἐπιθυμίας τῶν κ. Just. *1apol.*16.3(M.6.352C); Clem.*str.*2.7(p.130.31; M.8.969A); Or.*or.*29.13 (p.388.9; M.11.540B); ultimate destruction foretold by prophets, id.*Cels.*8.72(p.289.12; M.11.1625A); opp. ἀγνεία, Polyc.*ep.*5.3; cannot be cause of good, Clem.*str.*4.5(p.258.11; M.8.1236A); **2.** a negative concept, cf. *certum...est malum esse bono carere,* Or.*princ.*2.9.2 (p.166.2; M.11.227A); Ath.*inc.*4.5(M.25.104C) cit. s. καλός; Adam. *dial.*3.2(p.116.25; M.11.1793B); στέρησις γὰρ ἀγαθοῦ ἐστι τὸ κ. Bas. *hom.*9.4(2.78A; M.31.341B); cf.id.*hex.*2.4(1.16D; M.29.37D); τὸ κ. οὗ τὸ εἶναι χαρακτηρίζει ἡ ἀνυπαρξία Max.*ambig.*(M.91.1332A); τὸ κ. στέρησίς ἐστι τοῦ εἶναι Jo.D.*Man.*1.13(M.94.1517A); **3.** origin; **a.** in free will, emphasized against dualists ἄνθρωπος...ὃς τῷ αὐτεξουσίως ὑπάρχειν τὸ κ. ἐπιγεννᾷ...ἐν γὰρ τῷ θέλειν καὶ νομίζειν τι κ. τὸ κ. ὀνομάζεται Hipp.*haer.*10.33(p.290.14ff.; M.16.3450B); ὁ ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη τὸ κ. ἄρχεται... τοῦτο καὶ μόνον ἦν τὸ κ., ἡ παρακοή Meth.*arbitr.*17(p.189.14f.; M.18. 264B); τὰ κ. οὐδὲ κατὰ φύσιν, οὐδὲ κατ' οὐσίαν...ἀλλὰ τρόπῳ γίνονται τὰ κ. ἐκ τῆς αὐτεξουσιότητος Adam.*dial.*4.9(p.158.28ff.; M.11.1821A), ‡Just.*qu.Chr.*5(M.6.1412C); τὸ...κυρίως κ. ἡ ἁμαρτία...ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται Bas.*hom.*9.5(2.76E; M.31.337D); dist. from evil of suffering, brought about by God as punishment of sin, *ib.*9.3(74B; M.332C); and not really evil, id.*hex.*2.5(1.17A; M. 29.40B); Diad.*perf.*3(p.6.16); καθέστηκε τὸ κ. ... ἐν τῇ πρὸς τὸ θεῖον

θέλημα διαφορᾷ τοῦ κατὰ γνώμην ἡμετέρου θελήματος Max.*opusc.*(M. 91.56B); bad use being made of good things, Jo.D.*Man.*1.84(M. 94.1581C); **b.** in demons, Or.*mart.*45(p.41.27; M.11.624A); Plato's views discussed, id.*Cels.*4.62(p.333.19ff.; M.11.1129B); cf.*ib.*4.65 (p.336.12; 1133B); **4.** ref. God; **a.** in gen.: difficulties discussed, ref. Mt.6:13, Or.*or.*29.11(p.386.26; 537B); *πάντων γὰρ τῶν ἐν ψυχῇ κ. δυνατώτερος ὢν ὁ λόγος* id.*Cels.*8.72(p.289.6; M.11.1625A); *κακὰ...ὁ θεὸς οὐ πεποίηκεν, ἀλλὰ τοῖς...αὐτοῦ ἔργοις ὀλίγα ὡς πρὸς τὴν τῶν ὅλων διάταξιν τυγχάνοντα ἐπηκολούθησεν ib.*6.55(p.126.25; 1384C); *ἐπειδὴ γὰρ θεοῦ ἔργον ὁ ἄνθρωπος, τοῦ δι' ἀγαθότητα τὸ ζῷον τοῦτο παραγαγόντος εἰς γένεσιν, οὐκ ἄν τις εὐλόγως...τοῦτον ἐν κακοῖς γεγενῆσθαι παρὰ τοῦ πεποιηκότος καθυποπτεύσειεν* Gr.Nyss.*or.catech.* 5(p.25.18); **b.** in controversy with dualist heresies; **i.** orthodox affirmations *ὁ δὲ κτίσας θεὸς κ. οὐκ ἐποίει οὐδὲ ποιεῖ* Hipp.*haer.*10.33 (p.290.10; M.16.3450B); *τὸ κ. οὐ παρὰ θεοῦ οὐδὲ ἐν θεῷ οὔτε ἐξ ἀρχῆς γέγονεν, οὔτε οὐσία τίς ἐστιν αὐτοῦ* Ath.*gent.*7(M.25.16A); *οὐδὲν κατ' οὐσίαν κ.· τῷ τὸ κ. ποιὸν εἶναι. οὐδὲν δὲ ποιὸν οὐσία. τὸ ἄρα κ. οὐκ οὐσία* Didym.*Man.*2(M.39.1088C); Chrys.*hom.2.4 in Ac.*(9.20C); **ii.** heret. statements *προσαγαγεῖν...αἰτίαν ὡς ἡμῶν φασκόντων ὑπὸ θεοῦ τὸ κ. ἐκτίσθαι* Adam.*dial.*3.2(p.116.25; M.11.1793B); Manich. *δύο ῥίζας φημί...τοῦ ἀγαθοῦ ἡ ποιότης...φῶς...τοῦ δὲ κ. ... σκότος ib.* 3.4(p.118.27; 1796A); Manicheans *οἱ τῶν ἁπλουστέρων καθηγεμόνες διδάσκουσιν...τὸ ἀγαθὸν καὶ τὸ κ. ἀπὸ τοῦ αὐτοῦ φέρεσθαι, καὶ μίαν ἀρχὴν εἰσηγούμενοι...οὐ δὲ...μὴ ἴσα τοῖς πολλοῖς τῶν ἀνθρώπων ἀλογίστως...ἀμφότερα...ἑνώσῃς* Hegem.*Arch.*5(p.6.10; M.10.1433B); *πόθεν λέγοντες...τὰ κ., εἰ μὴ ἔκ τινος ἀρχῆς καὶ ταῦτα τυγχάνει;* Tit.Bost. *Man.*1.4(M.18.1073B); *ἦν θεός, καὶ ὕλη...ἀγαθὸν καὶ κ. ib.*1.5(1076A); **5.** *misfortune φύγωμεν τὴν ἀσέβειαν, μὴ ἡμᾶς καταλάβῃ κακά 2Clem.* 10.1; Or.*Cels.*8.38(p.253.14; M.11.1573C); *κ. δὲ αὐτὰ κέκληκεν, οὐχ ὡς φύσει κ., ἀλλ' ὡς οὕτως ὑπὸ τῶν ἀνθρώπων νομιζόμενα* Thdt.*Is.*45:7 (p.180.13; 2.343).

κακοσιτεία, ἡ, for *κακοσιτία, bad feeding, lack of nourishment,* Cyr.*Is.*1.1(2.27B).

***κακόσκοπος,** *tiresome, difficult ἀκολουθία εἰς παῖδας κ. Euchol.* (p.753); *Exorc.*29 tit.(p.341).

***κακόσοφος,** *wise in evil,* Mac.Mgn.*apocr.*4.17(p.193.10).

***κακοσυμβουλία, ἡ,** *evil counsel,* Jo.Mosch.*prat.*45(M.87.2900D).

κακοσχολέω, *employ* one's *leisure ill,* Clem.*paed.*3.11(p.277.26; M.8.652B); in heretical quibblings *κ. περὶ τὰς πεύσεις* Leont.B.*Nest. et Eut.*1(M.86.1281A).

***κακοτελής,** *wholly evil,* Ephr.3.547A.

***κακοτερπής,** *taking pleasure in evil,* Eudoc.*Cypr.*1.52(M.85. 833D).

κακοτεχνέω, *distort,* ref. private interpretation of scripture or eccl. formularies, Hipp.*haer.*6.19(p.145.6; M.16.3222C); Bas.*Eun.* 1.9(1.221E; M.29.533A).

κακοτεχνία, ἡ, 1. *bad, debased art,* Clem.*prot.*4(p.35.25; M.8. 136A); of gladiatorial shows, Isid.Pel.*epp.*5.185(M.78.1437A); of luxury trades, Chrys.*hom.49.4 in Mt.*(7.509E); *false artifice*; of cosmetics, Clem.*paed.*2.10(p.219.24; M.8.521B); Isid.Pel.*epp.*1.461 (436B); **2.** plur., *evil arts*; of magical practices, Ign.*Polyc.*5.1; Cyr.H.*catech.*19.8; ref. Devil *φεύγετε...τὰς κ. ... τοῦ ἄρχοντος* Ign. *Philad.*6.2; Nil.*epp.*3.33(M.79.396A); *wicked schemes,* Ath.*fug.*10 (p.75.5; M.25.656C); sing., *wicked scheming,* Philost.*h.e.*7.4(M.65. 541B).

***κακότρεπτος,** *liable to be turned to evil,* of Adam *οὔτε ἄτρεπτος ἦν, οὔτε μονομερῶς κακότρεπτος* Marc.Er.*opusc.*4(M.65.1013C).

κακοτρόπως, 1. *maliciously, unfairly,* Ursac.*ep.Jul.*(p.138.13; M.25.353C); Cyr.*thes.*15(5[1].159D); **2.** *by dealing basely,* Tim.Ant. *caec.*6(M.28.1009D).

***κακούβιον, τό,** = *καμψάκης, cruse,* Epiph.*haer.*30.12(p.348.10; M.41.425C).

κακόϋπνος, *of disturbed sleep νύκτας κ.* Pall.*v.Chrys.*20(p.139.7; M.47.77).

κακουχ-έω, 1. *maltreat, mortify,* of ascetics *τὸ σῶμα ~οῦσα* ‡Ath. *v.Syncl.*17(M.28.1496A); pass., *practise mortification,* Nil.*Eulog.*33 (M.79.1137C); **2.** *suffer boredom περὶ τὴν ἀνάγνωσιν τῶν θείων λογίων κ.* Ephr.1.281D.

κακουχία, ἡ, *maltreatment*; ascet., *mortification πρὸς τὴν τῶν δαιμόνων φυγὴν ἡ ἔνδεια καὶ ἡ νηστεία καὶ ἡ κ. ... ἐστι βοήθημα Hom. Clem.*9.10; Bas.*reg.br.*90(2.447B; M.31.1145A); ‡Ath.*ep.Cast.*1.3(M. 28.853A); Nil.*epp.*3.195(M.79.473C).

κακοφροσύνη, ἡ, *folly, perversity,* Clem.*paed.*1.5(p.101.18; M.8. 272B); Meth.*symp.*3.10(p.38.19; M.18.76D); Ephr.1.84C; Isid.Pel. *epp.*1.352(M.78.384B); of heretics, Ath.*decr.*1(p.1.9; M.25.416A); ‡Gr.Nyss.*Ar.et Sab.*(M.45.1293B).

κακόχαρτος, *giving base delight,* Clem.*paed.*3.11(p.278.9; M.8. 653A); Gr.Naz.*carm.*1.2.9.20(M.37.669A).

κακύνω, *reproach, show to be bad,* Cyr.*Is.*3.5(2.513E).

κακωνυμία, ἡ, *bad name τὴν Ἀρείου κ.* Ath.*ep.Aeg.Lib.*5(M.25. 549A).

κάκωσις, ἡ, *ill-treatment,* esp. of divine *affliction ἐν τῇ γῇ ταύτῃ τῆς κ.* Or.*hom.7.3 in Jer.*(p.54.21; M.17.333C); *τὰ δὲ παιδεύοντα, καὶ διὰ τῆς κ. εἰς ἐπιστροφὴν ἄγοντα* Bas.*reg.br.*276(2.512A; M.31.1273D); ref. Am.3:6 *κακίαν δὲ λέγει τὴν κ.* Cyr.*Os.*87(3.118E); *κ. δὲ τὴν νηστείαν* Thdt.*qu.22 in Lev.*(1.203).

κακωτικός, *hurtful, distressing,* of mortification *αἰνίττεται δὲ διὰ τοῦ σάκκου τὴν σκληρὰν καὶ κ. δίαιταν* Diod.*Ps.*68:12(M.33.1604B); of divine affliction, Andr.Caes.*Apoc.*67(M.106.429A); ref. Gen.15:13 *ὁ τέταρτος ἀριθμὸς ὑλικός τις καὶ σωματικὸς ὢν κ. ἐστιν* Or.*fr.49 in Jo.* (p.546.25); *πανταχοῦ τῆς γραφῆς κ. ἀριθμὸς ὁ τῶν μ'* Proc.G.*Dt.*25:3 (M.87.940A).

καλαθίσκος, ὁ, *toy basket,* Chrys.*hom.4.6 in 1Cor.*(10.32E); id. *hom.4.4 in Col.*(11.356D).

κάλαθος, ὁ, *basket*; name of festival of Artemis, where carried in procession, Call.*v.Hyp.*(p.96).

καλαμάρι(ο)ν, τό, *pen-case, pen-holder,* Leont.N.*v.Jo.Eleem.*1 (p.7.17).

***καλαμητός, ὁ,** *gleaner,* SM ap.Thdt.*Is.*24:13(p.98.33).

καλάμιον, τό, 1. *corn stalk, Euchol.*(p.524); **2.** *token for corn-dole, Chron.Pasch.*p.263(M.92.461B).

καλαμίσκος, ὁ, 1. *branch of a candle-stick,* ref. Ex.25:30, Cosm. Ind.*top.*9(M.88.404C); **2.** a bone in the leg, Call.*v.Hyp.*(p.80).

***καλαμοειδῶς,** *like a reed,* Gr.Nyss.*hom.4 in Cant.*(M.44.841A).

κάλαμος, ὁ, *pipe,* of musical instrument *ὀργάνῳ...ἔοικεν ἀπὸ χαλκῶν συγκειμένῳ καλάμων* Thdt.*provid.*3(4.513).

καλαμόω, 1. med., *gather reeds,* Pall.*h.Laus.*23(p.76.17; M.34. 1089A); **2.** act., sens. dub., *Chron.Pasch.*p.393(M.92.1009A).

Καλάνδαι (-θαι), αἱ, (Lat. *Kalendae*) *Kalends*; observance as festival forbidden to Christians, CTrull.*can.*62; *Καλάνθαι M.Das.* 3.2.

***καλέσχατος,** *extremely good,* opp. *κακέσχατος,* Ephr.1.312E.

καλ-έω, *call*;

A. ref. divine calling; **1.** into being *ἐκάλεσεν γὰρ ἡμᾶς οὐκ ὄντας καὶ ἠθέλησεν ἐκ μὴ ὄντος εἶναι ἡμᾶς 2Clem.*1.8; *τὰ οὐκ ὄντα κ. διὰ τοῦ ἰδίου λόγου εἰς τὸ εἶναι* Ath.*Ar.*2.22(M.26.192C); Thdt.*Is.*48:13(p.190. 36; 2.346); *ὁ ~έσας τὸ φῶς* Gel.Cyz.*h.e.*2.17.11(M.85.1268C); **2.** to Christian faith and life *δι' οὗ ἐκάλεσεν ἡμᾶς ἀπὸ σκότους εἰς φῶς, ἀπὸ ἀγνωσίας εἰς ἐπίγνωσιν δόξης ὀνόματος αὐτοῦ 1Clem.*59.2; *Χριστὸς...κ. ἡμᾶς ἤδη ἀπολλυμένους 2Clem.*2.7; *καθ' ἡμέραν ὡς ~ούμενοι προκόπτωμεν* Ath.*Ar.*3.59(M.26.428B); *τὴν τοῦ ~έσαντος θεραπείαν* Thdt.*h.rel.*5(3.1162); *εἰ...περὶ τῶν ἐθνῶν νοοῖτο,* δηλοῖ [sc. Is.49:21] *τὴν προτέραν αὐτῶν πρὶν κληθῆναι κατάστασιν* Proc.G.*Is.* 49:21(M.87.2480C); Jo.D.*Eph.*4:1ff.(M.95.840B) cit. s. *κλῆσις.*

B. *summon* a council *οἱ περὶ Εὐσέβιον δὲ πρὸς Ἰούλιον ἔγραψαν... ἠξίωσαν σύνοδον κ.* Ath.*apol.sec.*20(p.102.2; M.25.280C).

C. *invoke τὴν θείαν χάριν ἐπίκουρον κ.* Thdt.*Cant.*4(2.134); angels *ἀγγέλους γὰρ καλέσαι...οὐκ εὔλογον* Or.*Cels.*5.5(p.4.29; M.11.1185C); a martyr *ὀνόματι κληθεὶς...παρέστη* Bas.*hom.*23.1(2.185C; M.31.589C).

D. *name* canonical books *κ. οἱ ἅγιοι πατέρες, ποῖα βιβλία δεῖ δέχεσθαι* †Leont.B.*sect.*3.2(M.86.1213C).

***καλιγάτος,** (Lat. *caligatus*) *wearing soldiers' boots,* hence *common, private* soldier *στρατιώτας ἐνόπλους οὓς ὁ νόμος κ. καλεῖ* Justn. *nov.*74.4(p.375.42); Ath.Scholast.*coll.*11.3(p.137).

***καλίγη, ἡ,** (Lat. *caliga*) *boot,* Ephr.1.42C; *-ίκη Const.Stud.*38(M. 99.1720B).

***καλιγραφίον, τό,** v.s. ***καλλιγραφεῖον.**

***καλιέργημα, τό,** *beautiful work,* ‡Jo.D.*ep.Thphl.*28(M.95.381A).

***καλίκη, ἡ,** v. ***καλίγη.**

***κάλληχος,** *sweet-sounding,* Thdr.Stud.*iamb.*10(M.99.1784B).

καλλίβοτρυς, *with beautiful clusters of grapes,* ref. BMV *ἄμπελος ἡ κ.* Chrysipp.*enc.in BMV* 1(p.337.7).

[*]καλλιγάριος, ὁ, (Lat. *caligarius*) *bootmaker,* Nil.*epp.*2.203 tit. (M.79.305D).

καλλίγονος, *having fair offspring*; of BMV, Leont.H.*Nest.*4.37 (M.86.1712A).

***καλλιγραφεῖον, *καλιγραφίον, τό,** *scriptorium, writing-room*; in Pachomian monastery, Pall.*h.Laus.*32(p.96.4); *ἐσχόλαζεν εἰς τὰ καλιγραφία* Jo.Mosch.*prat.*171(M.87.3037C).

καλλιγραφ-έω, *write beautifully*; of copyists writing in longhand, Gr.Nyss.*Eun.*1(1 p.204.23; M.45.452C); opp. shorthand writers *ταχυγράφοι...αὐτῷ* [sc. Origen] *πλείους ἢ ἑπτὰ...παρῆσαν...βιβλιογράφοι*

τε οὐχ ἧττους ἅμα καὶ κόραις ἐπὶ τὸ κ. ἠσκημέναις Eus.*h.e.*6.23.2(M.20.576B); cf.Bas.*ep.*134(3.225E; M.32.572A); Gr.Mag.*dial.*(tr. Zach.)1.4(M.*PL*.77.171); met. *βιβλίον σωφροσύνης ἑαυτὸν τῷ βίῳ ἐκαλλιγράφησα* Ast.Soph.*hom.*5 *in Ps.*5(M.40.441C); *δεῖ γὰρ τὰ... Χριστοῦ δόγματα...~εἶσθαι* Anast.S.*hod.*proem.(M.89.36A).

καλλιγραφικός, *of beautiful writing,* ref. copyist's art *κ. ἐπιστήμης ἔμπειρος* Eus.*m.P.*11(p.939.29; *καλλιγραφικῆς ἔμπειρος* M.20.1452C).

καλλιγράφος, ὁ, *scribe, copyist ὑπὸ τεχνιτῶν κ. καὶ...τὴν τέχνην ἐπισταμένων γραφῆναι* Const.ap.Eus.*v.C.*4.36(p.131.26; M.20.1185A); Epiph.*haer.*67.3(p.136.17; M.42.177A); *εἰ δὲ εὕροιμι κ. πέμψω σου τῇ ὁσιότητι...ἃ...συνέγραψα* Thdt.*ep.*130(4.1219); *Apophth.Patr.*(M.65.293D); *artist,* cf. *καλλιγράφων ἔργα καὶ πλαστῶν* Philo ap.Eus.*p.e.*8.14(388C; M.21.657B).

καλλιελαία, ἡ, *cultivated olive,* ref. Rom.11:17 *καθάπερ ἡ ἀγριέλαιος ἐγκεντρισθεῖσα τῷ...λόγῳ...κ. γίνεται* Clem.*str.*6.15(p.491.15; M.9.341C); *ὁ...ἀπόστολος οἶδεν ἐλαίᾳ παραβάλλειν τὴν παρὰ Ἰουδα διαδοχήν, καὶ ῥίζαν ἁγίαν...κ. αὐτὴν καλεῖ* Eus.*Is.*17:5–6(M.24.209B); *κοινωνοὶ ἐγίνεσθε τῆς κ. Ἰησοῦ* Cyr.H.*catech.*20.3; Isid.Pel.*epp.*2.72(M.78.516C).

***καλλιέμπορος, ὁ, ἡ,** *fair trader*; met., of BMV *χαίροις, κ. τοῦ παρθενικοῦ δηναρίου* Thdot.Anc.*hom.BMV et Sym.*3(M.77.1393C).

***καλλιεξία, ἡ,** *fitness* for *τοὺς...περὶ τὴν εὔθετον τῆς κ. σύνθεσιν ἐνδεομένους* Eustrat.*v.Eutych.*101(M.86.2388C).

καλλιέπεια, ἡ, *eloquence, elegant style,* esp. of pagan writers *ὑμεῖς μὲν τῇ κ. οὐκ ἐμποδίζετε τὴν τοῦ Χριστοῦ διδασκαλίαν* Ath.*v.Anton.*78(M.26.952C); Cyr.*Ps.*11:5(M.69.797A); *τὸ ψεῦδος τῇ κ. κοσμήσας, ἐν χρυσίδι τὸ δηλητήριον ἐκέρασεν* Isid.Pel.*epp.*4.67(M.78.1125A); of heathen oracles, Eus.*v.C.*2.4(p.42.15; M.20.984A); of Eunomius' rhetoric, Gr.Nyss.*Eun.*1(1 p.158.8; M.45.400A).

καλλιεργία, ἡ, *work of beauty*; of the body, Dion.Al.ap.Eus.*p.e.*14.26(780B; M.21.1284A); of embellishment of a church, Const.ap.Eus.*v.C.*3.31(p.92.16; M.20.1092B); of acts of charity, Pamph.Mon.*Soter.*2(p.116.25).

καλλίεργος, ὁ, *good farmer,* met. *τοῦ ἄνω κ.* Rom.Mel.(*AS* 1 p.171).

καλλιερ-έω, *make acceptable sacrifice,* of Christ *τὴν ἀπαρχὴν τοῦ τῶν ἀνθρώπων γένους ~ησάμενος* Eus.*d.e.*10 proem.(p.445.17; M.22.717A); of martyrs *ὑπὲρ τὸν Ἰσαὰκ ἐκαλλιερήθητε, τῇ ἑαυτῶν σφαγῇ τὴν θυσίαν τελέσαντες* Const.Diac.*laud.*40(M.88.525A); of eucharist *τὰ σεμνὰ τῆς Χριστοῦ τραπέζης θύματα, δι' ὧν ~οῦντες τὰς ἀναίμους καὶ λογικὰς...θυσίας...προσφέρειν θεῷ...δεδιδάγμεθα* Eus.*d.e.*1.10(p.48.4; 92A); *ἔνθα τὰ τῆς ἀναιμάκτου ~εῖται θυσίας* Evagr.*h.e.*4.31(p.181.1; M.86.2760B).

καλλιέρημα, τό, *acceptable sacrifice,* to God *μηδὲ ἀπωσθῆναι τὸ κ.* Gr.Naz.*or.*18.11(M.35.997B); *ib.*43.71(M.36.592B); Chrys.*hom.*49.1 *in Gen.*(4.491C); *κ. τῆς εἰς Χριστὸν...εὐσεβείας* ‡Jo.D.*ep.Thphl.*3(M.95.348C).

***καλλιερητέον,** *one must make acceptable sacrifice,* Or.*Cels.*8.26 (p.242.15; M.11.1556A).

***καλλιθέμειλος,** = *καλλιθέμεθλος, with beautiful foundations,* Paul.Sil.*ambo.*105(M.86.2256A).

καλλίκαρπος, *bearing fine fruit*; met., Rom.Mel.(*AS* 1 p.67).

καλλιλεξία, ἡ, *fairness of language, speciousness τὰ μοχθηρὰ γὰρ αὐτοῦ δόγματα καλλιλεξίᾳ κεκόσμηται* Or. *fr.*36 *in Jer.*(p.216.28); ref. 1Cor.4:19f. *διδάσκων ὅτι οὐ...κ. ἀνύει πρὸς τὸ πείθειν, ἀλλὰ δυνάμεως θείας ἐπιχορηγίᾳ* id.*Jo.*1.8(10; p.13.29; M.14.40A); Thdr.Mops.*1Cor.*1:17(p.173.15; M.66.877A); *ὁ ἀμελῶν τῆς ἐργασίας τῶν κατὰ Χριστὸν ἀριστευμάτων, τῆς δὲ κ. ἀντιποιούμενος* Nil.*epp.*3.52(M.79.416D); *ἴσθι δὲ ἡμᾶς μὴ ἐσπουδακέναι περὶ τὴν φράσιν, ἐννοήσαντας ὡς εἰ σπουδάσαιμεν κ. χρήσασθαι, ἴσως μὲν καὶ ἀποπεσούμεθα τοῦ σκοποῦ* Socr.*h.e.*6 proem.2(M.67.657A).

καλλίμαρτυς, ὁ, *excellent martyr,* Sophr.H.*aceph.Cyr.et Jo.*(M.87.3689D).

***καλλίμασθος,** *with beautiful breasts,* Jo.Mal.*chron.*5 p.101(M.97.189B).

καλλίνικος, *gloriously triumphant*; of emperors, Eus.*v.C.*1 proem.(p.7.3; M.20.912A); *Symb.Sirm.*3 proem.ap.Ath.*syn.*8(p.235.22; M.26.692B); of martyrs, Meth.*res.*1.56(p.316.8; M.41.1149D); Isid.Pel.*epp.*1.447(M.78.429A); Thdt.*Ps.*9:17(1.663).

***καλλιοτόκος,** v.l. for *καλλιτόκος.*

καλλιόω, *beautify*; pass., of the soul, Gr.Nyss.*hom.*9 *in Cant.*(M.44.953D).

καλλιπάρθενος, *of fair virginity, M.Pers.*8.2(pp.462.4,463.8); as subst. fem., *fair virgin,* Meth.*symp.*6.5(p.69.15; M.18.120C); Jo.D.*hom.*12.22(M.96.812B); of BMV, Cyr.*deip.BMV*(p.30.32; M.76.285C).

***καλλιπάτωρ, ὁ,** *glorious father*; of church fathers, *Hymn.*(*AS* 1 p.608).

***καλλίπενθος, ὁ,** *one blessed in his grief,* Jo.Clim.*scal.*7(M.88.808D).

καλλίπνους, *sweet-smelling, fragrant*; met., of virtue, Meth. *symp.*8.11(p.93.17; M.18.153D).

καλλίπολις, ἡ, *fair city*; of heavenly Jerusalem, Cyr.*ador.*13(1.473A).

***καλλιπονία, ἡ,** *work of excellence,* Nil.*Eulog.*4(M.79.1144C).

***καλλίπονος,** *toiling to produce beauty,* Paul.Sil.*Soph.*691(M.86.2145B).

***καλλιπρεπής,** *excellent,* Eus.*l.C.*3(p.200.20; M.20.1328B).

***καλλίσταχυς,** *growing fine corn, Orac.Sib.*11.118; *ib.*11.177; *ib.* 11.241.

***καλλιτεχνέω,** *fashion beautifully*; of God creating world, Olymp.*Eccl.*5:8(M.93.544A).

καλλιτέχνης, *fashioning with fine artistry*; of God, Pall.*v.Chrys.*4 (p.26.17; M.47.17); of Logos, Eus.*d.e.*4.5(p.157.34; M.22.264A); Gr. Naz.*carm.*1.2.10.110(M.37.688A).

καλλιτόκος, *having fair offspring*; of BMV, Cyr.*Arcad.*(p.66.32; καλλιστόκος 5^2.49E).

***καλλίφαρος,** *having a fair bedspread τοῦ κ. σκίμποδος Hymn.* (*AS* 1 p.524).

καλλιφωνία, ἡ, 1. *euphony,* of style *γραφαὶ δὲ αἱ θεῖαι...γυμναὶ... τῆς ἐκτὸς κ.* Clem.*prot.*8(p.59.11; M.8.188A); Gr.Nyss.*Eun.*9(2 p.215.19; M.45.813C); **2.** *sweetness of sound*; met., of call of temptation, Meth.*symp.*8.1(p.81.15; M.18.140A).

καλλοποιός, *producing beauty,* of God *τοῦ κ. καὶ ἀρχικοῦ κάλλους* Dion.Ar.*c.h.*7.2(M.3.208C); id.*d.n.*4.7(M.3.701C).

κάλλος, τό, *beauty*;

A. of body *οὐ γὰρ αὐτοποίητον ἐπὶ γῆς τὸ κ., ἀλλὰ...ὑπὸ χειρὸς καὶ γνώμης πεμπόμενον τοῦ θεοῦ* Athenag.*leg.*34.1(M.6.968B); not desired by incarnate Christ *οὐ τὸ κ. τῆς σαρκός, τὸ φανταστικόν, τὸ δὲ ἀληθινὸν καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐνεδείξατο κ.* Clem.*paed.*3.1 (p.237.22; M.8.557C); *ὁ κύριος οὐ μάτην ἠθέλησεν εὐτελεῖ χρήσασθαι σώματος μορφῇ, ἵνα μή τις τὸ ὡραῖον ἐπαινῶν καὶ τὸ κ. θαυμάζων ἀφίστηται τῶν λεγομένων* id.*str.*6.17(p.510.1; M.9.381C); cf.*ib.*3.17 (p.244.1; M.8.1208A); Or.*Cels.*6.75–77(p.144.16ff.; M.11.1409ff.); not given to man to know his beauty, ‡Ath.*Apoll.*1.22(M.26.1132A).

B. spiritual; **1.** in gen. *φιλοσοφίας...ἐστιν...κ. ἀληθινὸν παρὰ τὸ δεδολωμένον* Clem.*str.*6.17(p.509.22; M.9.381B); *περὶ τοῦ κάλλους τοῦ ἀληθινοῦ* id.*paed.*3.1 tit.(p.235.19; M.8.556A); *ἔστι κ. ἀνθρώπων ἀγαπή ib.*3.1(p.237.11; 557B); *τῶν ἠθῶν τὸ κ. ib.*2.10(p.224.25; 532C); *τὸ περὶ τὴν ἀρετὴν κ.* id.*str.*2.21(p.182.18; M.8.1073A); *τοῦ ἁγίου κάλλους ib.*2.20(p.174.1; 1056B); *θεῖον κ.* Gr.Nyss.*virg.*12 tit.(p.297.10); **2.** of soul, opp. body *κ. ... ἄριστον πρῶτον...τὸ ψυχικόν...ὅταν ᾖ κεκοσμημένη ψυχὴ ἁγίῳ πνεύματι* Clem.*paed.*3.11(p.272.2; M.8.640A); *τὸ φυσικὸν τοῦ σώματος κ. ἔλαττον τοῦ ψυχικοῦ λογίζεται κύριος ib.*3.2(p.243.10; 573A); *ἐν μόνῃ...τῇ ψυχῇ καταφαίνεσθαι καὶ τὸ κ. καὶ τὸ αἰσχος...καλὸς...ἄνθρωπος, ὁ δίκαιος ib.*2.12(p.230.5; 544B,C); *τὸ κ. τῆς ψυχῆς 'νέως' γίνεται 'τοῦ ἁγίου πνεύματος'* id.*str.* 7.11(p.46.21; M.9.489B); *ἐὰν εἰς κ. σώματος βλέψῃ τις...καὶ αὐτῷ ἡ σὰρξ εἶναι...δόξῃ καλή, σαρκικῶς ἰδὼν καὶ ἁμαρτητικῶς κρίνεται...ὁ δι' ἀγάπην τὴν ἀγνὴν προσβλέπων τὸ κ. οὐ τὴν σάρκα ἡγεῖται, ἀλλὰ τὴν ψυχὴν καλήν, τὸ σῶμα, οἶμαι, ὡς ἀδριάντα θαυμάσας, δι' οὗ κάλλους ἐπὶ τὸν τεχνίτην καὶ τὸ ὄντως καλὸν αὐτὸς αὐτὸν παραπέμπει ib.*4.18(p.299.12; M.8.1324B); *τὸ κ. τῆς νύμφης, ἧς ὁ 'νύμφιος' λόγος ὢν θεοῦ ἐρᾷ, ψυχῆς τυγχανούσης ἀνθούσης ὑπερουρανίῳ καὶ ὑπερκοσμίῳ κάλλει...τὸ γὰρ κυρίως κ. σὰρξ οὐ χωρεῖ* Or.*or.*16.2(p.339.6; M.11.472B); *κατὰ...τὴν συμμετρίαν καὶ ἁρμονίαν τῶν τῆς ψυχῆς θεωρημάτων, ἔνιοι τῶν σοφῶν νενοήκασι τὸ κ. ... ἵνα καὶ κ. ἐπιγένηται τῇ ψυχῇ...θείας...χάριτος χρήζομεν...καλὴ μὲν οὖν πᾶσα ψυχὴ ἡ ἐν συμμετρίᾳ τῶν οἰκείων δυνάμεων θεωρουμένη· κ. δὲ ἀληθινόν, καὶ ἐρασμιώτατον, μόνῳ τῷ τὸν νοῦν κεκαθαρμένῳ θεωρητόν, τὸ περὶ τὴν θείαν...φύσιν* Bas.*hom.in Ps.*29(1.128E,129A,B; M.29.317A,B); *ἡ τῶν ἄλλων γυναικῶν κάλλει φιλοτιμουμένων...ἐν ἐπισταμένῃ κ., τὸ τῆς ψυχῆς, καὶ τὸ τὴν θείαν εἰκόνα...συντηρεῖν* Gr.Naz.*or.*8.8(M.35.993B); marred by sin *τὸ θεοειδὲς ἐκεῖνο τῆς ψυχῆς κ. τὸ κατὰ μίμησιν τοῦ πρωτοτύπου γενόμενον...οὐκέτι...τῆς οἰκείας αὐτῷ καὶ κατὰ φύσιν εἰκόνος τὴν χάριν διέσωζεν* Gr.Nyss.*virg.*12(p.299.19; M.46.372B); restored by cleansing, *ib.* cit. s. *κάλυμμα*; cf.id.*hom.*4 *in Cant.* (M.44.832C,D) cit. s. *καλός*; ref. Ps.44:14 *ὡς ἔνδον εὑρήσων τὸ κ. τὸ ἀληθινόν* Clem.*paed.*3.2(p.238.23; 560C); *κ. ἀπόθετον* Gr.Naz.*or.*24.8 (1180A); *ὡς ἔνδον ὄντος τοῦ κάλλους τῆς νύμφης* [sc. *Χριστοῦ*] Bas. *hom.in Ps.*44(1.168C; M.412A); **3.** revealed by Word *ὁ...ἄνθρωπος ἐκεῖνος, ᾧ σύνοικος ὁ λόγος...κ. ἐστὶ τὸ ἀληθινόν, καὶ γὰρ ὁ θεός*

ἐστιν Clem.*paed*.3.1(p.236.24; M.8.556C); δεικνύντος ὡς ἀληθῶς τοῦ λόγου τὸ κ. τὸ ἀληθινόν *ib*.2.12(p.234.10; 553A); τὸν ἁπάντων ὑπὸ κάλλους ἀρρήτου ἐπακτικώτατον...λόγον Gr.Thaum.*pan.Or*.6(p.17.2; M.10.1072B); **4.** of God οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κ. καταλελοιπότες διὰ κ. μαραινόμενον Clem.*paed*.3.2(p.244.24; M.8.576B); πᾶσα...ἡ κτίσις ἐνδεής ἐστι τοῦ κ. τοῦ θεοῦ Meth.*Porph*.3(p.506.11; M.18.401A); μορφὴν...ἔχει διὰ πρῶτον καὶ μόνον κ. καὶ πάντα μέλη, οὐ διὰ χρῆσιν *Hom.Clem*.17.7; of God as beauty and goodness τὸ ὑπὲρ πᾶν φῶς ἀγαθὸν...τοῦτο τἀγαθὸν ὑμνεῖται...καὶ ὡς καλόν, καὶ ὡς κ. ... καλὸν μὲν εἶναι λέγομεν τὸ κάλλους μετέχον, κ. δὲ τὴν μετοχὴν τῆς καλλοποιοῦ τῶν ὅλων καλῶν αἰτίας. τὸ δὲ ὑπερούσιον καλὸν κ. μὲν λέγεται, διὰ τὴν ἀπ' αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκείως ἑκάστῳ καλλονήν Dion.Ar.*d.n*.4.7(M.3.701C,D); τὸ θεοπρεπὲς κ., ὡς ἁπλοῦν, ὡς ἀγαθόν, ὡς τελεταρχικόν, ἀμιγές μέν ἐστι καθόλου πάσης ἀνομοιότητος, μεταδοτικὸν δὲ...καὶ τελειωτικὸν ἐν τελετῇ θειοτάτῃ id.*c.h*.3.1(M.3.164D); τοῦ καλλοποιοῦ καὶ ἀρχικοῦ κάλλους ὑπερουσίου *ib*.7.2(208C); πρὸς ἐκεῖνο τὸ νοητὸν καὶ εὐῶδες ἀφορῶν κ. ... ἑαυτὸ τυποῖ καὶ διαπλάττει πρὸς τὸ κάλλιστον μίμημα id.*e.h*.4.3.1(M.3.473B); imitated by Christian priest εἰς τὸ θεοειδέστατον ἀνηγμένος κ. *ib*.5.3.6(513B); by redeemed man, exeg. Cant.2:10 τὸ τῆς ἀνθρωπίνης φύσεως κάτοπτρον, οὐ πρότερον ἐγένετο καλόν, ἀλλ' ὅτε τῷ καλῷ ἐπλησίασε, καὶ τῇ εἰκόνι τοῦ θείου κ. ἐνεμορφώθη...βλέπει δὲ πρὸς τὸ ἀρχέτυπον κ. Gr.Nyss.*hom*.5 *in Cant*.(M.44.868C,D); **5.** plur., *sights of beauty*, in contemplation τηλαυγέστερα κάλλη καὶ θειότερα...εὐπρεπέστερα καὶ ἐνοειδέστερα Dion.Ar.*e.h*.7.3.11(M.3.568D,569A); *signs of* spiritual *beauty*, *ib*.3.3.11(441B).

κάλλυντρον ([*]**κάλυντρον**), **τό**, *palm-branch*, ref. use in Feast of Tabernacles τὰ κ., τὴν ἄσκηοιν καὶ μελέτην τῶν γραφῶν Meth.*symp*.9.4(p.118.20; M.18.185B); κάλυντρα φοινίκων ἐδέχοντο...γράφοντος...τοῦ τύπου τὰς ἐν παραδείσῳ τρυφάς Cyr.*hom.pasch*.28(5^2.327E).

***καλλωπιστέος**, *fit to be adorned* ἡ ψυχὴ κ. τῷ τῆς καλοκἀγαθίας κοσμήματι Clem.*paed*.3.2(p.237.26; M.8.560A).

καλλωπιστής, ὁ, *one who paints* or *embellishes*, Agath.*v.Gr.Ill*.59.

***καλλώπιστος**, *adorned*, Ephr.3.472E.

***καλλωποιέομαι**, *adorn oneself*, Gr.Naz.*or*.7.20(M.35.781A).

καλόγηρος, *venerable*; of priests or ascetics, esp. in address, Pall.*h.Laus*.35(p.102.15; M.34.1113D); Dor.*doct*.7.6(M.88.1705B); Jo.Mosch.*prat*.1(M.87.2853B).

***καλογραῦς, ἡ**, *venerable lady*, ‡Caes.Naz.*dial*.140(M.38.1048).

***καλοδουλεῖα, ἡ**, *noble servitude* ἦλθεν γὰρ ἐξαγοράσαι ἡμᾶς ἐν τῷ ἰδίῳ αἵματι εἰς τὴν κ. τῆς θεότητος αὐτοῦ Agath.*v.Gr.Ill*.36.

καλοειδής, *of beautiful form*, *V.Zos*.3(p.97.27).

***καλοεργία, ἡ**, *good work*, Ephr.3.397B; of improvements made by a farmer; fig., of Christian life, Jo.Clim.*scal*.26(M.88.1025A).

***καλοήθεια, ἡ**, *goodness of disposition*, Gr.Mag.*dial*.(tr.Zach.)1.3 (M.*PL*.77.166A).

καλοθέλεια, ἡ, *goodwill*, Pall.*v.Chrys*.6(p.35.1; M.47.21); Gr.Mag.*dial*.(tr.Zach.)4.60(M.*PL*.77.427C).

καλοθελής, *well disposed, benevolent*, Ephr.3.213E; Leo Mag.*ep*.106(p.58.8; καλοτελεῖ M.*PL*.54.1003A).

καλοθελῶς, *with good will*, Horm.*ep.Epiph*.(p.57.24; M.*PL*.63.518C); *benevolently*, Leont.N.*v.Sym*.52(M.93.1736A).

καλοκἀγαθία, ἡ, *goodness, nobility of character* τὰ δὲ ἄλλα πάντα [sc. πίστις, ἀγάπη] εἰς κ. ἀκόλουθά ἐστιν Ign.*Eph*.14.1; ἡ ψυχὴ καλλωπιστέα τῷ τῆς καλοκἀγαθίας κοσμήματι Clem.*paed*.3.2(p.237.27; M.8.560A); ἴδωμεν εἰ μὴ Χριστιανοὶ μᾶλλον καὶ τούτων [sc. φιλοσόφων] βέλτιον πλήθη ἐπὶ καλοκἀγαθίαν προκαλοῦνται Or.*Cels*.3.51(p.247.2; M.11.988A); εἰ πάλαι εἶχεν ἡ τῶν ἀνθρώπων φύσις τὰ εἰς κ. σπέρματα Isid.Pel.*epp*.2.2(M.78.456B); opp. ἔχθρα, Clem.*str*.2.18(p.161.16,19; M.8.560A); *generosity*; of emperors, Ursac.*ep.Jul*.ap.Ath.*apol.sec*.58(p.138.11; M.25.353B); Const.ap.Eus.*h.e*.10.5.10(M.20.884B); Eus.*v.C*.1.43(p.28.13; M.20.957C); as title of address, Ath.*apol.Const*.32 (M.25.637C); Bas.*ep*.112.1(3.204B; M.32.521B); Gr.Naz.*ep*.126(M.37.221A).

***καλοκαίριον, τό**, *good season*, Thphn.*chron*.p.326(M.108.788B).

***καλοκήρυξ, ὁ**, *noble proclaimer* Κύριλλος ὁ κ. τῆς ἁγίας θεοτόκου Jo.Not.*v.Eus*.1(M.86.301C).

***καλονοησία, ἡ**, *right-mindedness*, Dor.*doct*.9.3(M.88.1720C); *ib*. 17.3(1804C).

***καλοποδίνως**, *with good fortune, luckily*, Heracl.*ep*.(M.92.1025B).

***καλοποιΐα, ἡ**, *doing good, beneficence*; of God, Thphl.Ant.*Autol*. 1.3(M.6.1028C).

***καλοπραγμοσύνη, ἡ**, *good activity*, Pall.*h.Laus*.proem.(p.12.5; φιλοπραγμοσύναι M.34.1003).

***καλόρινος**, *with well-shaped nose*, *A.Barth*.2(p.131.19).

καλός, [superl. καλλίστατος, Procl.CP *hom*.2.3(M.65.840C)]; *beautiful, good, fair*;

A. of creatures; **1.** γεννήτωρ [sc. ὁ θεός] τῶν κ. Clem.*str*.7.3(p.12.18; M.9.421A); πάντα...κ. καὶ καθαρὰ τὰ τοῦ θεοῦ ποιήματα Ath.*ep.Amun*.(M.26.1169A); οὐδὲ τοιαύτη παρ' αὐτῷ [sc. τῷ θεῷ] ἡ ἀποδοχὴ τῶν κ., οἵα παρ' ἡμῖν· ἀλλὰ κ. τὸ τῷ λόγῳ τῆς τέχνης ἐκτελεσθέν, καὶ πρὸς τὴν τοῦ τέλους εὐχρηστίαν συντεῖνον Bas.*hex*.3.10(1.32A; M.29.76C); *ib*.4.6(38E; M.92B); παντὸς ζῴου κ. τυγχάνοντος ἅτε ὑπ' ἐμοῦ [sc. τοῦ θεοῦ] γενομένου *Const.App*.6.20.8; their proper use χρὴ δι' ὄψεως ἀπολαύοντας τῶν κ. δοξάζειν τὸν δημιουργόν Clem.*paed*.2.8 (p.200.9; M.8.480A); and avoidance τὰ πρόχειρα πάντα τοῦ κόσμου κ. οὐκ ἀγαπᾷ [sc. ὁ γνωστικός], ἵνα μὴ καταμείνῃ χαμαί id.*str*.7.11 (p.45.22; M.9.488B); *ib*.7.12(p.55.26; 508B); ἀπὸ τῶν νομιζομένων εἶναι ἐν κόσμῳ κ. ἀναχωροῦντα [sc. τὸν Ἰησοῦν] Or.*Jo*.28.23(18; p.419.31; M.14.732C); **2.** vocative, *dear, good* ὦ παῖ καλέ Dion.Ar.*e.h*.3.3.1(M.3.428A); ὦ κ. Διονύσιε id.*ep*.7.3(M.3.1081C); κ. ἄνθρωπε Jo.Mosch. *prat*.207(M.87.3097C); **3.** c. prepp. εἰς τὰ καλά *well*, Dion.Ar.*ep*.9.6 (M.3.1113B); ἐν καλῷ *in a good position* or *place* δογματικῆς εὐτεχνίας ἐν κ. γεγονότες (i.e. well up, high up in the skill of doctrinal exposition) Cyr.*Is*.5.4(2.823C); *ib*.(847C); ἐπὶ καλοῖς *for good, favourably*, Ath.*apol.sec*.7(p.93.15; M.25.260D); **4.** c. ἵνα: οὐκ ἔστι κ. ἵνα ἀναγκασθῶσιν *Apophth.Patr*.(M.65.301A); κ. ἐστιν, ἵνα ἔχωμεν εὐλάβειαν Dor.*doct*.4.7(M.88.1665D).

B. of martyrdom of Christians in strict sense, as death for the faith; **1.** scriptural basis περὶ δὲ τοῦ μ. διαρρήδην ὁ κύριος εἴρηκεν Clem.*str.*4.9(p.279.27; M.8.1280D); οὐκ ἐν τοῖς πρὸς τοὺς πολλοὺς λόγοις τὰ περὶ μ. προφητεύεται ὑπὸ τοῦ σωτῆρος ἀλλ' ἐν τοῖς πρὸς τοὺς ἀποστόλους Or.*mart.*34(p.29.5; M.11.605A); ταῦτα δὲ παρὰ τῷ Ματθαίῳ ἐπὶ μαρτύριον προτρεπόμενα οὐ πρὸς ἄλλους ἢ τοὺς δώδεκα εἴρηται· ὧν ἀκούειν καὶ ἡμᾶς δεήσει ἐν τῷ ἀκούειν ἐσομένους ἀδελφοὺς τῶν ἀκουσάντων ἀποστόλων καὶ ἀποστόλοις συγκαταριθμησομένους *ib.* (p.30.10; 605D); **2.** as foundation of Church οἱ...ἀπόστολοι εἰς πῆξιν...τῶν ἐκκλησιῶν εἰς πεῖραν καὶ μ. τελειότητος ἤχθησαν Clem.*str.* 7.12(p.53.17; M.9.501C); θῶμεν αὐτὴν [sc. ψυχήν]...ὑπὲρ τῶν ἐν τῷ μ. ἡμῶν οἰκοδομηθησομένων Or.*mart.*41(p.38.28; M.11.617A); **3.** conditions of true martyrdom μακάρια...τὰ μ. πάντα τὰ κατὰ τὸ θέλημα τοῦ θεοῦ γεγονότα· δεῖ γὰρ εὐλαβεστέρους ἡμᾶς ὑπάρχοντας τῷ θεῷ τὴν κατὰ πάντων ἐξουσίαν ἀνατιθέναι *M.Polyc.*2.1; *ib.*1.1; εἴ που μ. δι' αἵματος χωροῦντος ἐπικαταλάβοι χρεία, βούλεται [sc. ὁ νόμος] Clem. *str.*2.18(p.155.26; M.8.1020C); διδάσκει ἡμᾶς ὁ κύριος, ὡς οὐκ ἄνευ προνοίας ἔρχεταί τις ἐπὶ τὸν τοῦ μ. ἀγῶνα Or.*mart.*34(p.30.17; M.11. 608A); false martyrdom rejected ψέγομεν δὲ καὶ ἡμεῖς τοὺς ἐπιπηδήσαντας τῷ θανάτῳ...οὐ γὰρ τὸν χαρακτῆρα σώζουσι τοῦ μ. τοῦ πιστοῦ, τὸν ὄντως θεὸν μὴ γνωρίσαντες, θανάτῳ δὲ ἑαυτοὺς ἐπιδιδόασι κενῷ Clem.*str.*4.4(p.256.16; M.8.1229C); ref. Montanists ἐπειδὰν οἱ ἐπὶ τὸ τῆς κατ' ἀλήθειαν πίστεως μ. κληθέντες ἀπὸ τῆς ἐκκλησίας τύχωσι μετά τινων τῶν ἀπὸ τῆς τῶν Φρυγῶν αἱρέσεως λεγομένων μαρτύρων Anon.ap.Eus.*h.e.*5.16.22(M.20.472C); **4.** excellence of martyrdom; **a.** gen. affirmations τελείωσιν τὸ μ. καλοῦμεν οὐχ ὅτι τέλος τοῦ βίου ὁ ἄνθρωπος ἔλαβεν ὡς οἱ λοιποί, ἀλλ' ὅτι τέλειον ἔργον ἀγάπης ἐνεδείξατο Clem.*str.*4.4(p.255.1; M.8.1228B); οἱ βασάνους καὶ πόνους ὑπομείναντες τῶν μὴ ἐν τούτοις ἐξητασμένων λαμπροτέραν ἐπεδείξαντο τὴν ἐν τῷ μ. ἀρετήν Or.*mart.*15(p.15.7; M.11.584A); ref. Ps. 115:4 'ποτήριον δὲ σωτηρίου' ἔθος ὀνομάζεσθαι τὸ μ. *ib.*28(p.24.19; 596D); λόγον γὰρ ἔχει τὸ ἰδίως τὸν ἐν μ. θάνατον ὕψωσιν καλεῖσθαι, ὡς δῆλον ἐκ τοῦ [Jo.12:32] *ib.*50(p.47.1; 636A); τότε ἦσαν πιστοί, ὅτε τὰ μ. τὰ γενναῖα ἐγίνοντο id.*hom.4.3 in Jer.*(p.25.19; M.13.288D); Meth.*fr.mart.* 1(p.520.2; M.18.345C) cit. s. ἀρπαγμός; **b.** does not give claim to highest honours, exeg. Mt.10:38ff., Chrys.*anom.*8.6(1.522A); being inferior to charity ἀγάπης οὐδὲν οὔτε μεῖζον οὔτε ἴσον ἐστίν, οὐδὲ αὐτὸ τὸ μ., ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν...ἀγάπη μὲν γὰρ καὶ χωρὶς μ. ποιεῖ μαθητὰς τοῦ Χριστοῦ, μ. δὲ χωρὶς ἀγάπης οὐκ ἂν ἰσχύσειε τοῦτο ἐργάσασθαι...μ. χωρὶς ἀγάπης οὐ μόνον μαθητὰς οὐ ποιεῖ, ἀλλ' οὐδὲ ὠφελεῖ τι τὸν ὑπομένοντα id.*pan.Rom.*1.1(2.612C); ὁ μὴ φιλῶν τὸν ἀδελφόν...κἂν ἐν μ. διαλάμψῃ, οὐδὲν ἀνύει πλέον id.*hom. 7.6 in Rom.*(9.491A); **c.** receives a crown εἰς πᾶν εἶδος διηρεῖτο τὰ μ. τῆς ἐξόδου αὐτῶν. ἐκ διαφόρων γὰρ χρωμάτων...πλέξαντες στέφανον *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.36(M.20.421B); Chrys.*hom.15.2 in Rom.*(9. 596D); *ib.30.4*(742D); *M.Niceph.*7(p.287); **5.** effects; **a.** cleansing from sin, Clem.*str.*4.9(p.281.26; M.8.1284C) cit. s. ἀποκάθαρσις; ref. Sap.3:1ff. ἡ θεία σοφία...κάθαρσιν ἔνδοξον τὸ μ. διδάσκουσα *ib.*4.16 (p.294.10; 1309C); being a baptism τὸ μ. γὰρ οἷδε βάπτισμα καλεῖν ὁ σωτήρ [sc. Mc.10:38] Cyr.H.*catech.*3.10; μὴ θαυμάσητε, εἰ βάπτισμα τὸ μ. ἐκάλεσα· καὶ γὰρ καὶ ἐνταῦθα τὸ πνεῦμα μετὰ πολλῆς ἐφίπταται τῆς διαφειλείας, καὶ ἁμαρτημάτων ἀναίρεσις καὶ ψυχῆς γίνεται καθαρμὸς θαυμαστός τις καὶ παράδοξος· καὶ ὥσπερ οἱ βαπτιζόμενοι τοῖς ὕδασιν, οὕτως οἱ μαρτυροῦντες τῷ ἰδίῳ λούονται αἵματι Chrys.*pan.Lucn.*2(2. 526A); but οὐδὲν οὕτω παροξύνει τὸν θεόν, ὡς τὸ ἐκκλησίαν διαιρεθῆναι ...ἀνὴρ δέ τις ἅγιος...οὐδὲ μ. αἷμα ταύτην ἔφησε δύνασθαι τὴν ἁμαρτίαν ἐξαλείφειν id.*hom.11.4 in Eph.*(11.86D); **b.** other effects εἰ θέλομεν ἡμῶν σῶσαι τὴν ψυχήν, ἵνα αὐτὴν ἀπολάβωμεν κρείττονα ψυχῆς, καὶ μ. ἀπολέσωμεν αὐτήν Or.*mart.*12(p.12.25; M.11.580B); receiving 'a hundredfold', *ib.*14(p.14.21; 581C); procuring παρρησία with God, *ib.*28(p.24.7; 596C); τόπον διὰ τῆς εἰς τὸ μ. προθυμίας δότε τῷ τοῦ πατρὸς ὑμῶν πνεύματι λαλοῦντι τοῖς διὰ θεοσέβειαν παραδοθεῖσιν *ib.*39 (p.36.11; 613C); ὁ εἰς μ. ἑλκόμενος, οὕτω νικᾷ, δεσμούμενος, καὶ μαστιγούμενος Chrys.*hom.84.4 in Mt.*(7.802C); **6.** literary tradition: as title of martyrs' legends, *A.Andr.*A tit.(p.46.1); *A.Phil.*tit.(p.41. 19); Sophr.H.*v.Anast.*tit.ap.CNic.(787)*act.*4(H.4.173D); accounts in pagan literature ἡ τῆς ἡμετέρας πίστεως διέλαμπεν διδασκαλία, ὡς καὶ τοὺς ἄποθεν τοῦ καθ' ἡμᾶς λόγου συγγραφεῖς μὴ ἀποκνῆσαι ταῖς αὐτῶν ἱστορίαις τόν τε διωγμὸν καὶ τὰ ἐν αὐτῷ μ. παραδοῦναι Eus.*h.e.* 3.18.4(M.20.252B); description by martyr of persecutions ἦτις [sc. S. Perpetua] πᾶσαν τὴν τάξιν τοῦ μ. ἐντεῦθεν διηγήσατο, ὡς καὶ τῷ νοΐ αὐτῆς καὶ τῇ χειρὶ συγγράψασα κατέλιπεν οὕτως εἰποῦσα *M.Perp.*2 (p.63.26); Παπίας καὶ ἄλλοι πολλοί, ὧν καὶ ἔγγραφα φέρονται τὰ μ. *Chron.Pasch.*p.258(M.92.628C); **7.** liturg., celebration of anniversary of martyrdom ἔνθα ὡς δυνατὸν ἡμῖν συναγομένοις ἐν ἀγαλλιάσει καὶ χαρᾷ παρέξει ὁ κύριος ἐπιτελεῖν τὴν τοῦ μ. αὐτοῦ ἡμέραν γενέθλιον, εἴς τε τὴν τῶν προηθληκότων μνήμην καὶ τῶν μελλόντων ἄσκησιν *M.Polyc.*18.3; Euthal.Diac.*epp.Paul.*(M.85.701A); **8.** refutation of Basilides, who held that martyrdom was a punishment for sins committed in an earlier life εἰ δὲ τὸ μ. ἀνταπόδοσις διὰ κολάσεως, καὶ ἡ πίστις καὶ ἡ διδασκαλία, δι' ἃς τὸ μ.· σύνεργοι ἄρα αὗται κολάσεως, ἧς τίς ἂν ἄλλη μείζων ἀπέμφασις γένοιτο; Clem.*str.*4.12(p.285. 27f.; M.8.1293B); *ib.*(p.284.6; 1289A); **9.** refusal of martyrdom, ref. Is.14:9f. οὐδὲν δὲ ἄτοπον ἰδεῖν ἐκ τῶν τῷ Ἡσαΐᾳ γεγραμμένων τὰ λεχθησόμενα ὑπὸ τῶν ἐν ᾅδου τοῖς νενικημένοις καὶ ἀπὸ τοῦ οὐρανίου μ.

καταπεπτωκόσιν Or.*mart.*18(p.17.12; M.11.588A); ἄλλων δὲ τοῦ μ. ἐκπεσόντων, καὶ τὴν ἀθεμιτουργίαν τῆς τῶν εἰδώλων θρησκείας πραξάντων Epiph.*haer.*68.2(p.141.22; M.42.185B).

C. in wider sense; **1.** in gen., of endurance of sufferings of life φέρε τοίνυν τὰ συμπίπτοντα πάντα γενναίως· τοῦτο γάρ σοι μ. ἐστιν. οὐ γὰρ τὸν κελευόμενον θῦσαι, τὸ μὴ θῦσαι, ἀλλὰ καταξανθῆναι μᾶλλον, ἢ τοῦτο ποιῆσαι, ποιεῖ μ. μόνον· ἀλλὰ καὶ τὸ τῆς ὀδύνης εἰς βλασφημίαν ἐξαγούσης, ἐλέσθαι ἐγκαρτερῆσαι τῷ πόνῳ, καὶ μηδὲν ἀπηχὲς εἰπεῖν, μάρτυρα ἐργάζεται Chrys.*exp.in Ps.*127:1(5.362B); ref. Pr.3:12, Heb.12:6 πόσοι ποσάκις ἐπεθύμησαν μ. στέφανον λαβεῖν; τοῦτο ἀπηρτισμένος ἐστὶ μ. στέφανος. οὐ γὰρ τὸ κελευσθῆναι, εἶτα ἑλέσθαι μᾶλλον ἀποθανεῖν ἢ θῦσαι, ποιεῖ μάρτυρα μόνον, ἀλλὰ καὶ τὸ ὀτιοῦν φυλάττοντα μόνον δυνάμενον θάνατον ἐπισπάσασθαι, μ. ἐστι σαφές id. *Jud.*8.7(1.685E); τί πάθω, φησίν, ὅτι μ. καιρὸς οὐ πάρεστι νῦν; τί φῄς; οὐ πάρεστι μ. καιρός; οὐδέποτε...οὗτος ἄπεστιν,...οὐδὲ γὰρ τὸ ἐπὶ ξύλου κρέμασθαι μόνον, τοῦτο ποιεῖ μάρτυρα· ἐπεὶ εἰ τοῦτο ἦν, ἐκτὸς τῶν στεφάνων τούτων ὁ Ἰὼβ ἦν id.*hom.1.4 in 2Cor.*(10.424C); δεῖ οὖν εὐχαριστοῦντας ὑπομένειν τὴν βουλὴν τοῦ θεοῦ· τό τε γὰρ ἡμῖν εἰς λόγον δευτέρου μ. τό τε συνεχὲς τῶν νόσων καὶ ἡ πρὸς τοὺς δαιμονιώδεις λογισμοὺς μάχη λογισθήσεται Diad.*perf.*94(p.138.14); τὸ μ. τῆς συνειδήσεως *ib.*(p.138.26); **2.** various examples; **a.** giving one's life nursing in epidemics, Dion.Al.ap.Eus.*h.e.*7.22.8(M.20.689A); and in other ways risking one's life for one's neighbour, Chrys.*hom.9.3 in Phil.*(11.268B); **b.** defending faith against heretics οὐ γὰρ μόνον τὸ μὴ θῦσαι λίβανον δείκνυσι μάρτυρας· ἀλλὰ καὶ τὸ μὴ ἀρνήσασθαι τὴν πίστιν, ποιεῖ τὸ μ. τῆς συνειδήσεως λαμπρόν Ath.*ep.Aeg.Lib.*21(M.25.588A); τὰ γὰρ τοιαῦτα παθήματα [sc. those inflicted by heretics] μέρος ἐστὶ μ. CSard.*ep.Alex.*ap.Ath.*apol.sec.*38(p.117.16; M.25.316A); **c.** illness, loss of property, etc., Chrys.*hom.3.5 in 1Thess.*(11.447E,F); id.*hom.1.5 in 2Cor.*(10.425A); **3.** ascetical life as martyrdom ἐὰν μηδεὶς διώκῃ σε τύραννος Ἕλλην, ἀλλ' ὅμως γίνου ἕτοιμος εἰς μ. ... πάρεστι διωγμὸς διὰ παντὸς τοῦ βίου· πάρεστιν θυμός, πάρεστιν ἐπιθυμία αἰσχρά...ἀγωνίζου τοίνυν, καὶ ἀνδρίζου κατ' αὐτῶν Nil.*epp.*3.71(M.79.421B); τοὺς νηπιάζοντας παιδαγωγοῦντες, καὶ τὸν καλοῦντα περιμένοντες λόγον· ὃς ἐν τοῖς νομίμως τοὺς ὑπὲρ εὐσεβείας ὑπερμαχομένοις ἀγῶνας ἀοράτως παραγινόμενος, τὸν τῆς μαρτυρίας διέξεισι δρόμον· ὡς μόνος αἰσθησιν καὶ φύσιν νικῆσαι δυνάμενος· ἐπειδὴ σαφῶς αἰσθήσεως νίκη καὶ φύσεώς ἐστι τὸ μ., δι' οὗ πέφυκε νοῦ τε καὶ λόγου γίγνεσθαι κατὰ τῶν παθῶν ἐπανάστασις Max.*ep.*14(M.91.544B); cf. τὸ γυμνάσιον τῆς εὐσεβείας μ. ἐστι ‡Chrys.*hom.in Ps.*95:1(5.635C); τοὺς θεοφόρους ἀσκητάς, τοὺς τὸ χρονιώτερον καὶ ἐπιπονώτερον μ. τῆς συνειδήσεως διαθλήσαντας Jo.D.*f.o.*4.15(M.94.1168B).

III. *martyr's sanctuary*, hence gen. *chapel* or *church*;

A. in gen., coupled with ἐκκλησία etc. πόλιν...εὐκτηρίοις...ἐφαίδρυνεν μ. τε μεγίστοις Eus.*v.C.*3.48(p.98.2; M.20.1108C); *ib.*4.61 (p.143.2; 1213A); Didym.*Trin.*2.16(M.39.721A); Chrys.*hom.11.4 in 1Thess.*(11.507D); Jo.Ant.*relat.imp.*1(p.124.36; M.83.1441A); ἐν ἐκκλησίᾳ πόλεως...ἢ μ., ἢ μοναστηρίῳ CChalc.*can.*6; οἱ κληρικοὶ τῶν...μοναστηρίων καὶ μ. *ib.*8.

B. *martyr's shrine* δώσω ὑμῖν τὸ παλάτιόν μου εἰς μ. τοῦ Ματθαίου *A.Mt.*27(p.256.9); οἱ κατηχούμενοι ἐπὶ τοῖς μ. κατηχοῦντο Or.*hom.4.3 in Jer.*(p.25.22; M.13.289A); in Rome ἀπελθὼν εἰς τὸ μ. Πέτρου Ath. *h.Ar.*37(p.204.3; M.25.736D); οὐδὲ τὰς ἐν τοῖς μ. γινομένας ἀγοραστὰς οἰκείας ἡμῖν ὁ λόγος δείκνυσιν.' οὐ γὰρ ἄλλου τινὸς ἕνεκεν ἐν τοῖς μ., ἢ ἐν τοῖς περὶ αὐτὰ τόποις φαίνεσθαι ἐπιβάλλει Χριστιανοῖς, ἢ προσευχῆς ἕνεκεν, καὶ τοῦ εἰς ὑπόμνησιν ἐλθόντας τῆς τῶν ἁγίων ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἐνστάσεως, πρὸς τὸν ζῆλον τὸν ὅμοιον προτραπῆναι Bas.*reg.fus.*4o(2.386A,B; M.31.1020B); directions for building such, Gr.Nyss.*ep.*25(M.46.1093Cff.); τῆς γὰρ μελλούσης κρίσεως ἴχνη...τὰ μ. τῶν ἁγίων παρέχεται, δαιμόνων μαστιζομένων, ἀνθρώπων κολαζομένων καὶ ἐλευθερουμένων Chrys.*hom.26.5 in 2Cor.*(10. 626C); desecrated by Juln. Imp., id.*pan.Bab.*1.3(2.534E); ἐν τῷ μ., ἔνθα τὸ σῶμα τῆς μάρτυρος Εὐφημίας ἀπόκειται Socr.*h.e.*6.6.12(M.67. 677A); τὸ λείψανον τῆς ἁγίας Ἀναστασίας...κατετέθη ἐν τῷ μ. αὐτῆς Thdr.Lect.*h.e.*2.65(M.86.216B); ἤνεγκε τὸ λείψανον τοῦ ἁγίου Συμεῶνος ἐν Ἀντιοχείᾳ...καὶ ἐκτίσθη αὐτοῦ μ. μέγα *Chron.Pasch.*p.321(M. 92.820B); apptly. inhabited, prob. by guardians of relics Σάμος... μᾶλλον τῶν τὸ μ. οἰκούντων ἐνδιέτριβε τῷ ναῷ Bas.Sel.*v.Thecl.*2.30 (M.85.617A); legislation concerning those of heretics περὶ τοῦ μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια ἢ εἰς τὰ λεγόμενα μ. πάντων τῶν αἱρετικῶν ἀπιέναι τοὺς τῆς ἐκκλησίας εὐχῆς ἢ θεραπείας ἕνεκα CLaod.*can.*9; met., of a hermit's cell ἔσται γὰρ τὸ σπήλαιόν σου μ. τῆς ἐρήμου *V.Zos.*18(p.107.3).

C. sanctuaries in Jerusalem called μ.; **1.** Holy Sepulchre τὸ σεμνὸν καὶ πανάγιον τῆς σωτηρίου ἀναστάσεως μ. Eus.*v.C.*3.28(p.91. 1; M.20.1088D); κατ' αὐτὸ τὸ σωτήριον μ. ἡ νέα κατεσκευάζετο Ἱερουσαλὴμ *ib.*3.33(p.93.9; 1093A); id.*l.C.*11(p.225.11; M.20.1377C); *ib.*18(p.259.29; 1440B); **2.** Church of Holy Sepulchre τάς τε περὶ τὸ μ. μεγαλουργίας διεξιόντες τῷ λόγῳ id.*v.C.*4.45(p.136.13; 1196A); τῷ...θεῷ ἀμφὶ τὸ μνῆμα τὸ σωτήριον εἰρήνης ἀνάθημα τὸ μ. βασιλέως ἀφιεροῦντος *ib.*4.47(p.137.13; 1197C); id.*l.C.*9(p.221.16; 1369C); *ib.*11 (p.224.11; 1376B, v. not. ad loc.); ἐπὶ ἀφιερώσει τοῦ σωτηρίου μ. CHier.(335)*ep.*ap.Ath.*syn.*21(p.247.27; M.26.717C); Marc.Diac.*v. Porph.*5; **3.** Church of Resurrection τὸν νεὼν σωτηρίου ἀναστάσεως ἐναργὲς ἀνίστη μ. βασιλεύς Eus.*v.C.*3.40(p.94.30; 1100B).

***μαρτυρογράφη, ἡ,** = sq., Eustrat.*stat.anim.*20(p.501).

μαρτυρογράφιον, τό, *record of martyrdom* σχεδὸν πάντα τὰ μ. ἀνεπίγραφά εἰσιν Thdr.Stud.*epp.*2.42(M.99.1244D).

***μαρτυρολόγιον, τό,** *life of a martyr*, CTrull.*can.*63.

μάρτυς, ὁ, ἡ, I. *witness*;

A. ref. God μ. δέ μοι ἐν ᾧ δέδεμαι, ὅτι ἀπὸ σαρκὸς ἀνθρωπίνης οὐκ ἔγνων Ign.*Philad.*7.2; as witness to Christians θεὸν...μ. ἔχοντες τῶν τε λογισμῶν καὶ τῶν πράξεων Just.*2apol.*12.4(M.6.464B); θεὸς μ. τοῦ ἡμετέρου συνειδότος Or.*Cels.*1.46(p.96.16; M.11.745B); id.*Jo.*2.34(28; p.93.5; M.14.176C); *Const.App.*8.1.5; Proc.G.*Dt.*19:15(M.87.920D); as witness to Christ βαπτιζομένῳ τῷ κυρίῳ ἀπ' οὐρανῶν ἐπήχησε φωνὴ μ. ἠγαπημένου Clem.*paed.*1.6(p.105.5; M.8.280B); ἦν γὰρ ἐμπρεπὲς τὸν ἁπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα μόνῳ τῷ ἑαυτοῦ μείζονι πατρὶ χρήσασθαι μ. καὶ δὴ καὶ τῆς ἀγνείας οὐκ εἰς ἀνθρωπίνην ἀνοίσω κἀγὼ δόξαν τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτόν, ᾧ μέλομεν...γεωργὸν αὐτῆς...καὶ ἐραστὴν τῆς ὥρας ὄντα καὶ ἀξιόχρεω μ. Meth.*symp.*7.1 (p.71.17ff.; M.18.124B–125A); ref. H. Ghost τοῦ πνεύματος ἡ συμπαράληψις ὡς μάρτυρος *Const.App.*3.17.2; *Lit.*ap.*Const.App.*8.5.3.

B. ref. scriptures; **1.** in gen., Clem.*paed.*1.5(p.98.17; M.8.265B); λαβὼν μ. δύο ἀπὸ καινῆς καὶ παλαιᾶς διαθήκης, λαβὼν μ. τρεῖς ἀπὸ εὐαγγελίου, ἀπὸ προφήτου, ἀπὸ ἀποστόλου Or.*hom.1.7 in Jer.*(p.6. 13f.; M.13.264A); of prophets in gen. ἀξιόπιστοι μ. τῆς ἀληθείας Just. *dial.*7.2(M.6.492B); Athenag.*leg.*7.2(M.6.904C); τῶν ἑτεροδόξων τινὲς πιστεύειν φάσκοντες εἰς τὸν Χριστόν...οὐ προσιέμενοι τὴν ἐπιδημίαν αὐτοῦ ὑπὸ τῶν προφητῶν προκατηγγέλθαι, ἀνατρέπειν πειρῶνται τὰς διὰ τῶν προφητῶν περὶ Χριστοῦ μαρτυρίας, φάσκοντες μὴ δεῖσθαι μαρτύρων τὸν υἱὸν τοῦ θεοῦ...εἰ Μωσῆς πεπίστευται διὰ τὸν λόγον καὶ τὰς δυνάμεις, οὐ δεηθεὶς μαρτύρων πρὸ αὐτοῦ τινων αὐτὸν καταγγειλάντων,...πῶς οὐχὶ μᾶλλον Μωυσέως καὶ τῶν προφητῶν διαφέρων δύναται χωρὶς προφητῶν μαρτυρούντων τὰ περὶ αὐτοῦ ἀνῦσαι ὃ βούλεται; Or.*Jo.*2.34(28; p.91.13; M.14.173A); ref. OT saints in gen. [cf.Mt.13:17] τοιαῦτα νῦν ὁρᾶν...ἠμιώθημεν, οἷα τῶν πρὸ ἡμῶν πολλοὶ...θεοῦ μ. ἐπεθύμησαν ἐπὶ γῆς ἰδεῖν Eus.*h.e.*10.1.4(M. 20.844A); **2.** of individuals, Isaiah, Clem.*paed.*1.5(p.99.14; M.8. 268B); Jeremiah, Meth.*symp.*3.5(p.31.10; M.18.68B); David, *Const. App.*2.41.4; Jo. Bapt. μ. ... Ἰησοῦ ἐστιν ὁ Ἰωάννης Or.*Jo.*2.37 (30; p.96.9; M.14.181B); S. Paul (ref. Eph.4:17ff.) τοιούτου μ. ἐλέγχοντος τὴν τῶν ἀνθρώπων ἄνοιαν Clem.*prot.*9(p.63.13; M.8.196A); id.*str.*5.1.(p.327.3; M.9.12A); Meth.*symp.*2.7(p.25.9; M.18.60A); S. John (but may also mean *martyr* here) Ἰωάννης...μ. καὶ διδάσκαλος Polycr.ap.Eus.*h.e.*5.24.3(M.20.493C); ref. relatives of Christ προηγοῦνται πάσης ἐκκλησίας ὡς μ. καὶ ἀπὸ γένους τοῦ κυρίου Heges.*ib.*3.32.6(284B); S. Barnabas (ref. *Barn.*) οὗ μοι δεῖ πλειόνων λόγων παραθεμένῳ μ. τὸν ἀποστολικὸν Βαρνάβαν Clem. *str.*2.20(p.176.6; M.8.1060B); 'authors' of *Const.App.* referring to themselves ἡμεῖς...μ. τῆς παρουσίας αὐτοῦ σὺν Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ καὶ ἑτέροις ἑβδομήκοντα δύο μαθηταῖς *Const.App.*2.55. 2; ref. Transfiguration Μωσῆς...καὶ Ἠλίας...συνῆσαν ἐν τῇ μεταμορφώσει τοῦ κυρίου ἐν τῷ ὄρει μάρτυρες αὐτοῦ τῆς ἐνανθρωπήσεως καὶ τῶν παθημάτων *ib.*6.19.4.

C. ref. Christians, ref. 'Νατάλιος ὁμολογητής': Χριστὸς οὐκ ἐβούλετο ἔξω ἐκκλησίας γενόμενον ἀπολέσθαι μάρτυρα τῶν ἰδίων παθῶν †Hipp.*Artem.*ap.Eus.*h.e.*5.28.11(M.20.513C); ἐπίσκοποι... φθόγγοι τοῦ θεοῦ καὶ μ. τοῦ θελήματος αὐτοῦ *Const.App.*2.25.7; with play on double meaning of *witness* and *martyr* τὸ δὲ σωμάτιον μ. ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ *Ep.Lugd.*ap.Eus.*h.e.*5.1. 23(417A); οἱ μακάριοι μ. ἑκόντες ἠγέρθησαν· ἠσχύνοντο γὰρ ὀλίγους μ. ἔχειν ἐπὶ τῷ μακαρίῳ θανάτῳ αὐτῶν *M.Perp.*21(p.93.23f.); μάρτυρας δέχου τοὺς μ., τοὺς καθάπερ προοίμιον ἀθανασίας τὸν θάνατον ἀσπασαμένους Isid.Pel.*epp.*4.52(M.78.1104A).

D. ref. abstracts ἐχρῆν μὲν ὑμᾶς, ὦ ἄνθρωποι, αὐτοῦ πέρι ἐννοουμένους τοῦ ἀγαθοῦ ἔμφυτον ἐπάγεσθαι πίστιν, μάρτυρα ἀξιόχρεων αὐτόθεν οἰκοθεν Clem.*prot.*10(p.70.6; M.8.209A).

E. Gnost., of the 'seven witnesses' of baptismal formula of Elchezaites ἀγνευσάτω καὶ ἐπιμαρτυρησάσθω αὐτῷ τοὺς ἑπτὰ μ. γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ, τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ

τὸ ἅλας καὶ τὴν γῆν Hipp.*haer.*9.15(p.253.17; M.16.3391A); Epiph. *haer.*19.1(p.218.12; M.41.261B).

F. of witnesses of baptism ἦρεσε περὶ τῶν νηπίων, ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μ., οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες *Cod.Afr.*72.

II. *martyr*;

A. def. and descriptions, cf. *martyres testantur et contemnunt mortem, non secundum infirmitatem carnis, sed secundum quod promptus est spiritus,* Iren.*haer.*5.9.2(M.7.1145A); ὁ μ. ἡδονὴν τὴν δι' ἐλπίδος διὰ τῆς παρούσης ἀλγηδόνος αἱρεῖται Clem.*str.*4.5(p.258.8; M.8.1233D); εἰ δὲ καὶ πολιτεύσαιτο ὀρθῶς...μ. τε ἐπὶ τοῖσδε ὀρθότατα ὁμολογήσας δι' ἀγάπην γένοιτο...οὐδ' οὕτως φθάσει τέλειος ἐν σαρκὶ κληθείς, ἐπεὶ τὴν προσηγορίαν ταύτην προείληφεν ἡ συμπεραίωσις τοῦ βίου, φθάσαντος ἤδη τοῦ γνωστικοῦ μ. τὸ τέλειον ἔργον ἐνδείξασθαι καὶ παραστῆσαι κυρίως δι' ἀγάπης γνωστικῆς εὐχαριστηθέντος αἵματος παραπεμπομένου τὸ πνεῦμα *ib.*4.21(p.305.32–306.3; 1341A); οἱ μ., τὰ πρόσωπα μὲν τοῦ σώματος πρὸς τοὺς δικαστὰς ἐξ ἀνάγκης ἔχοντες, τῇ δὲ δυνάμει λοιπὸν ὄντες ἐν παραδείσῳ Cyr.H.*catech.*16.20; ὁ γὰρ διὰ τὸ ὄνομα κυρίου τοῦ θεοῦ καταδικαζόμενος, οὗτος μ. ἅγιος *Const.App.* 5.1.2; ὁ γὰρ ἐν μαρτυρίῳ ἐξελθὼν ἀψευδῶς ὑπὲρ τῆς ἀληθείας, οὗτος ἀληθινός μ. *ib.*5.9.2.

B. in relation to God; **1.** to Father καὶ ἐν ἀνθρώποις εὑρεθήσονται πολλοὶ ὅμοιοι τῷ πατρί, πλεῖστοι μὲν μ. γενόμενοι Ath.*Ar.*3.10(M.26.341C); **2.** to Christ ἐκείνῃ τῇ ὥρᾳ βασανιζόμενοι τῆς σαρκὸς ἀπεδήμουν οἱ...μ. τοῦ Χριστοῦ, μᾶλλον δέ, ὅτι παρεστὼς ὁ κύριος ὡμίλει αὐτοῖς *M.Polyc.*2.2; Χριστέ...γένωμαι κἀγὼ μ. ἀληθὴς τῆς σῆς θεότητος *A. Andr.*A 16(p.57.2); οὗτος οὖν ⟨οὐ⟩ φόβῳ τὸ ἀρνεῖσθαι Χριστὸν διὰ τὴν ἐντολὴν ἐκκλινεῖ, ἵνα δὴ φόβῳ μ. γένηται· οὐ μὴν οὐδὲ ἐλπίδι δωρεῶν ἡτοιμασμένων πιπράσκων τὴν πίστιν, ἀγάπῃ δὲ πρὸς τὸν κύριον ἀσμενέστατα τοῦδε τοῦ βίου ἀπολυθήσεται Clem.*str.*4.4(p.254.20; M.8.1228A); γενέσθαι μ. ἐν Χριστῷ Or.*mart.*14(p.14.18; M.11.581C); οἱ μ. ὁμολογοῦσι τὸν υἱὸν τοῦ θεοῦ *ib.*35(p.32.11; 609A); *ib.*42(p.39.23; 617C); ἐὰν ἴδῃς μοι τοὺς πανταχοῦ μ. δικαζομένους ⟨καὶ⟩ καθ' ἑκάστην ἐκκλησίαν παρισταμένους τοῖς δικασταῖς, ὅπου τίνα τρόπον Ἰησοῦς Χριστὸς ἐν ἑκάστῳ τῶν μ. δικάζεται id.*hom.14.7 in Jer.*(p.112.15,17; M.13.412C,D); hence called Χριστοφόροι μ. Phil.Thm.*ep.*ap.Eus.*h.e.* 8.10.3(M.20.764B); πάντες μ. τῷ εὐαγγελικῷ γράμματι προσέχοντες τὸν νοῦν, ἐν ᾧ προτρέπων τοὺς ἱεροὺς ἀθλητὰς...ὁ κύριος λέγει· [Mt.10:32] ὑπὲρ ταύτης τῆς ὁμολογίας ἤνεγκαν ἀτρέπτοις τοῖς λογισμοῖς οἴδηρον τεθηγμένον, καὶ πυρκαιᾶς ἐπέβησαν Ast.Am.*hom.*10(M.40.317A); ζῇ καὶ ἐνεργεῖ ταῖς τῶν μ. ψυχαῖς ὁ Χριστός Chrys.*pan.Dros.*2(2.691B); τούς τε κυρίου μ. ἐκ παντὸς τάγματος ἐκλελεγμένους, ὡς στρατιώτας Χριστοῦ, καὶ τὸ αὐτοῦ πεπωκότας ποτήριον, τότε ζωοποιοῦν αὐτοῦ θανάτου βαπτισθέντας βάπτισμα ὡς κοινωνοὺς τῶν παθημάτων αὐτοῦ καὶ τῆς δόξης Jo.D.*f.o.*4.15(M.94.1168B); also called αὐτοῦ τῆς βασιλείας μ. Dion.Al.ap.Eus.*h.e.*6.41.14(609A); **3.** to H. Ghost ὁρᾷς πῶς τὸ πνεῦμα τοῦ πατρὸς μελετᾶν τοὺς μ. ⟨δι⟩δάσκει Hipp.*Dan.* 2.21.1; οἱ μακάριοι μ. ἐν τοῖς κατὰ καιροὺς διωγμοῖς...διωκόμενοι μὲν ἔφευγον,...εὑρισκόμενοι δὲ ἐμαρτύρουν. εἰ δὲ καί τινες ἐξ αὐτῶν αὐτοῖς προσήρχοντο τοῖς διώκουσι, καὶ τοῦτο οὐχ ἁπλῶς ἔπραττον· ἐμαρτύρουν γὰρ εὐθὺς καὶ πᾶσιν ἐγίνετο φανερόν, ὅτι παρὰ τοῦ πνεύματος ἦν...ἡ τοσαύτη πρόσοδος Ath.*fug.*22(p.83.19; M.25.673A); τῇ δυνάμει τοῦ ἁγίου πνεύματος οἱ μ. μαρτυροῦσι...ἀδύνατον γὰρ μαρτυρῆσαι περὶ τοῦ Χριστοῦ, ἐὰν μή τις διὰ πνεύματος ἁγίου μαρτυρήσῃ Cyr.H.*catech.*16.21; πνεῦμα τοῦ θεοῦ...τὸ...μάρτυρας ἀντιστῆναι τυραννικῇ ὠμότητι ἐνισχύσαν Didym.*Trin.*2.1(M.39.452B); ref. Lc.24:49 καὶ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος· δύναμιν ἦν τινα οὐχ οἷόν τέ ἐστι μάρτυρας γενέσθαι μὴ δεξαμένους ‡Chrys.*ascens.Ac.* 4(3.762B); number of martyrs claimed as criterion of Montanists' possession of H. Ghost, Eus.*h.e.*5.16.20(M.20.472B).

C. martyr's power; **1.** martyrs as true conquerors δύο παρατάξεις, ἡ μὲν τῶν μ., ἡ δὲ τῶν τυράννων· ἀλλ' οἱ μὲν τύραννοί εἰσι καθωπλισμένοι, οἱ δὲ μ. γυμνῷ τῷ σώματι μάχονται, καὶ ἡ νίκη τῶν γυμνῶν οὐ τῶν καθωπλισμένων γίνεται Chrys.*pan.mart.*3.1(2.712C); τοὺς μ. γυμνοὺς ἄγοντες, καὶ τὰς χεῖρας ὀπίσω δήσαντες καὶ πάντοθεν παίοντες οὕτως ἤττωντο· οἱ δὲ τὰ τραύματα δεχόμενοι, τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἔστησαν. καὶ καθάπερ ἀδάμας πληττόμενος αὐτὸς μὲν οὐκ ἐνδίδωσιν...οὕτω δὴ καὶ αἱ ψυχαὶ τῶν ἁγίων, τοσούτων ἐπαγομένων βασάνων, αὐταὶ μὲν οὐδὲν ἔπασχον δεινόν, τῶν δὲ παιόντων τὴν δύναμιν καταλύουσαι, αἰσχρῶς...ἡττηθέντας ἐκ τῶν ἀγώνων ἐξέπεμπον μετὰ πολλὰς...πληγάς *ib.*(713A); δι' ἣν αἰτίαν νομίζεις τοὺς μ. τῷ τεθνάναι ἡττᾶσθαι, καὶ μὴ διὰ τοῦτο μᾶλλον ἀνακηρύττεις; τέλος γάρ ἐστι τῆς μάχης ταύτης οὐ τὸ σῶμα...ἀλλὰ τὸ μὴ διαφθεῖραι τὸ τῆς ἀρετῆς κλέος Isid.Pel.*epp.*5.5(M.78.1328C); **2.** breaking powers of evil τῇ πείρᾳ μαθόντες οἱ δαίμονες ἑαυτοὺς ἡττωμένους καὶ κρατουμένους ὑπὸ τῶν μ. Or.*Cels.*8.44(p.258.31; M.11.1581C); κατάλυσιν οὖν νομιστέον γίνεσθαι δυνάμεων κακοποιῶν διὰ τοῦ θανάτου τῶν ἁγίων μ., οἷον τῆς ὑπομονῆς αὐτῶν καὶ τῆς ὁμολογίας τῆς μέχρι θανάτου καὶ τῆς εἰς τὸ εὐσεβὲς προθυμίας ἀμβλυνούσης τὸ ὀξὺ τῆς ἐκείνων κατὰ τοῦ πάσχοντος ἐπιβουλῆς, ὥστε ἀμβλυνομένης καὶ ἀτονησάσης τῆς δυνάμεως αὐτῶν καὶ ἑτέρους πλείονας τῶν νενικημένων ἀνίεσθαι ἐλευθερουμένους τοῦ βάρους, οὗ αἱ πονηραὶ δυνάμεις ἐπικείμεναι ἐφόρτιζον καὶ ἔβλαπτον... τῷ θανάτῳ τῶν εὐσεβεστάτων μ. γίνεσθαι, πολλῶν ἀφάτῳ τινὶ δυνάμει ὠφελουμένων ἀπὸ τοῦ θανάτου αὐτῶν id.*Jo.*6.54(36; p.163.14ff.; M.14. 293D–296B); **3.** a certain redemptive power therefore attributed to them τάχα δὲ καὶ ὥσπερ 'τιμίῳ αἵματι' τῷ τοῦ Ἰησοῦ ἠγοράσθημεν... οὕτως τῷ 'τιμίῳ αἵματι' τῶν μ. ἀγορασθήσονται τινες id.*mart.*50(p.46. 27; M.11.636A); which is sacrificial, id.*Jo.*6.54(36; p.162.15; M.14. 293A) cit. s. αἷμα; and priestly, cf. *hostia autem cum immolatur, ad hoc immolatur, ut eorum, pro quibus jugulatur, peccata purgentur. de martyribus autem scribit Johannes apostolus in Apocalypsi quia 'animae eorum, qui jugulati sunt propter nomen domini Jesu, adsistant altari'; qui autem 'adsistit altari', ostenditur fungi sacerdotis officio; sacerdotis autem officium est pro populi supplicare peccatis. unde ego vereor, ne forte, ex quo martyres non fiunt et hostiae sanctorum non offeruntur pro peccatis nostris, peccatorum nostrorum remissio non fiat...quia hostiae martyrum non offeruntur pro nobis, idcirco manent in nobis peccata nostra,* id.*hom.*10.2 *in Num.* (pp.72.25–73.9; M.12.638B,C); martyrs as mediators κοινωνίαν ἔχητε μετὰ τῶν ἁγίων μ., καὶ δι' αὐτῶν μετὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ *M.Perp.*1(p.63.16); **4.** efficacy of their intercession μάρτυρες τοῖς μὴ μάρτυσιν ἐχαρίζοντο *Ep.Lugd* ap.Eus.*h.e.*5.1.45(M.20.425B); ἀφέντες καὶ πόνους χειρῶν ἡμῶν καὶ ἐλπίδας, καὶ πολλὰ τοῖς ἁγίοις ἀπολογησάμενοι μ. Gr.Naz.*ep.*203(M.37.336B); μήτηρ ἀραμένη τὸν ἄρρωστον παῖδα...πρὸς ἕνα τῶν μ. ἐλθοῦσα, δι' ἐκείνου τῷ δεσπότῃ προσάγει τὴν αἴτησιν Ast.Am.*hom.*10(M.40.317D); τίς εἰς πλοῦν ἐπειγόμενος, οὐ πρότερον τῆς νεὼς λύει τὰ πείσματα, πρὶν ἂν τὸν τῆς θαλάσσης δεσπότην διὰ τῶν μ. ἐπικαλέσηται; πτωχῶν δὲ φυλαὶ... κοινὴν ἑστίαν κέκτηνται τὴν τῶν μ. ἀνάπαυσιν· ᾄδονται δὲ πανταχοῦ γῆς καὶ θαλάττης οἱ μ. *ib.*(320A); prayer to martyrs defended ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ ἡ ἡμετέρα εὐχὴ δυσωπῆσαι θεὸν ἐν καιρῷ ἀνάγκης...διὰ τοῦτο τοῖς ἀγαπωμένοις παρὰ τοῦ δεσπότου ὁμοδούλοις προσφεύγομεν, ἵνα ἐκεῖνοι ἐν τοῖς ἰδίοις κατορθώμασι τὰ ἡμέτερα θεραπεύσωσι πλημμελήματα. ποῖον οὖν ἔγκλημα, ὅτι τιμῶντες μ. καὶ αὐτοὶ σπουδάζομεν ἀρέσκειν θεῷ; *ib.*(324A); ὅταν ἴδῃς τὸν θεόν σε κολάζοντα,...καταφύγῃς...πρὸς τοὺς φίλους αὐτοῦ, τοὺς μ., τοὺς ἁγίους, καὶ εὐηρεστηκότας αὐτῷ, καὶ πολλὴν ἔχοντας παρρησίαν Chrys.*Jud.*8.6 (1.683B); **5.** procuring moral improvement ἔχομεν τοίνυν τοὺς μ., οὐ διδασκάλους μόνον ἀγαθῆς πολιτείας, ἀλλὰ καὶ κατηγόρους τῆς ἁμαρτίας. πῶς δ' ἂν γένοιτο μ. κατήγορος, ἄκουσον· εἰ ἐκεῖνος ἐνίκησε φλόγα πυρὸς τῇ καρτερίᾳ, οὐ πῶς πορνείαν οὐ δαμάζεις τῇ σωφροσύνῃ; εἰ ὁ μ. οὐκ ἐλέησε πλοῦτον ὃν ἠφίει...διὰ τί σὺ ὀλίγου οὐ καταφρονεῖς ἀργυρίου ὑπὲρ δικαιοσύνης;...εἰ ὁ μ. τὸ σῶμα διὰ θεὸν ἐξεδύσατο, πῶς αὐτὸς ἑνὸς οὐ καταφρονεῖς χιτωνίσκου εἰς σκέπην γυμνοῦ;...ἢ τοίνυν ὡς διδασκάλους τοὺς ἁγίους αἰδεσθῶμεν, ἢ ὡς κατηγόρους φοβηθῶμεν Ast.Am.*hom.*10(M.40.316B,C); τοῦ φωτὸς τῶν μ. εἰς τὰς ὑμετέρας καταλάμποντος διανοίας, ἅπαντα κατορύττεται τὰ νοσήματα, καὶ ἡ λαμπρὰ τῆς φιλοσοφίας ἀνάπτεται φλόξ Chrys.*mart.*2(2.668C); id.*pan. Phoc.*1(2.704C).

D. martyr's eternal reward εὐλογῶ σε, ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν μέρος ἐν ἀριθμῷ τῶν μ. ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου 'εἰς ἀνάστασιν ζωῆς' αἰωνίου ψυχῆς τε καὶ σώματος ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου *M.Polyc.*14.2; οἱ θεῖοι μ. ... οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ Dion.Al.ap.Eus.*h.e.*6.42.5(M. 20.613B); *ib.*7.22.4(688B); ref. 1Cor.2:9 οὐδεὶς δὲ ἀνθρώπων οὕτως αὐτὸν [sc. θεόν] ἠγάπησεν ὡς οἱ μ. οὐ μὴν ἐπειδὴ καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει τῶν ἀποκειμένων ἀγαθῶν τὸ μέγεθος, διὰ τοῦτο σιγήσομεν, ἀλλ' ὡς οἷόν τε καὶ εἰπεῖν ἡμῖν καὶ ὑμῖν ἀκοῦσαι, πειρασόμεθα ὑμῖν ἀμυδρῶς ἐνδείξασθαι τὴν ἐκεῖ διαδεξομένην αὐτοὺς μακαριότητα...τὰ μὲν γὰρ δεινὰ ταῦτα καὶ ἀφόρητα ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάσχουσιν οἱ μ.· μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εἰς οὐρανοὺς ἀναβαίνουσιν, ἀγγέλων αὐτοῖς προηγουμένων, καὶ ἀρχαγγέλων δορυφορούντων· οὐ γὰρ αἰσχύνονται τοὺς συνδούλους Chrys.*pan.mart.*3.2(2.714C,D); counted with prophets and apostles, Hipp.*antichr.*59(p.40.8; M.10.780A); id.*Dan.*4.14.3; Or.*hom.*10.2 *in Num.*(p.71.15; M.12.638A); Ath.*Ar.* 3.10(M.26.341C); Evagr.*h.e.*1 proem.(M.86.2420A); only martyrs saved without baptism, Cyr.H.*catech.*3.10.

E. martyr's place in Church; **1.** in gen., place of honour, *M. Polyc.*19.1; ἥτις [sc. Church]...ἐν διωγμοῖς...τοὺς ἁγίους μ. τοῖς τῆς ὑπομονῆς...ἔστεψε στεφάνοις Cyr.H.*catech.*18.27; μέλη ἡμῶν εἶσιν οἱ μ. εἴτε δὲ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται

ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. ἡ κεφαλὴ στεφανοῦται, καὶ τὸ λοιπὸν σῶμα ἀγάλλεται...πόδες ἐσμὲν ἡμεῖς, οἱ μ. κεφαλή Chrys.*pan. Rom.*1.1(2.611A,B); marriage honourable if only because without it there would be no saints and martyrs, Meth.*symp.*2.2(p.17.13; M. 18.49C); special veneration of women martyrs, Chrys.*pan.Dros.*3(2. 692C); **2.** as proving truth of Christianity, Ath.*inc.*28.4(M.25.144D); ὅταν οὖν πρὸς Ἕλληνας ἡμῖν ἀγῶνες κινῶνται καὶ μάχαι περὶ δογμάτων...μετὰ τῶν ἄλλων καὶ τοῦτο προβαλλώμεθα πρὸς ἐκείνους, τῶν μ. φημὶ τὸν θάνατον, λέγοντες, τίς τούτους ἔπεισε τῆς παρούσης καταφρονῆσαι ζωῆς; Chrys.*pan.Dros.*2(2.690D); **3.** reasons for veneration περὶ δὲ τῶν μ. λέγομεν ὑμῖν, ὅπως πάσῃ τιμῇ ὦσιν παρ' ὑμῖν...οὗτοι γάρ εἰσιν καὶ ὑπὸ θεοῦ μεμακαρισμένοι καὶ ὑπὸ ὁσίων ἀνδρῶν τετιμημένοι *Const.App.*5.8.1; τοὺς ἁγίους μ. ὅταν μακαρίζωμεν, ἀπὸ τῶν τραυμάτων πρότερον μακαρίζομεν, καὶ τότε ἀπὸ τῶν βραβείων· ἀπὸ τῶν πληγῶν, καὶ τότε ἀπὸ τῶν ἀποκειμένων στεφάνων Chrys.*Anna* 5.2(4. 742E); ἀνθρώπου...ἁπλῶς οὐκ ἂν γένοιτο κατορθώματα μετὰ τελευτὴν· μάρτυρος δὲ γένοιτ' ἂν πολλὰ καὶ μεγάλα, οὐχ ἵνα ἐκεῖνος λαμπρότερος γένηται...ἀλλ' ἵνα σὺ μάθῃς...ὅτι θάνατος μαρτύρων οὐκ ἔστι θάνατος, ἀλλὰ ζωῆς βελτίονος ἀρχή...μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι γυμνὸν τοῦ μ. τὸ σῶμα πρόκειται τῆς ψυχικῆς ἐνεργείας ἔρημον· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τῆς ψυχῆς αὐτῆς ἑτέρα παρακάθηται μείζων αὐτῷ δύναμις, ἡ τοῦ ἁγίου πνεύματος χάρις...δι' ὧν θαυματοποιεῖ id.*pan.Bab.*1(2.531D); μαρτύρων γὰρ θάνατος πιστῶν ἐστι παράκλησις, ἐκκλησιῶν παρρησία, Χριστιανισμοῦ σύστασις, θανάτου κατάλυσις, ἀναστάσεως ἀπόδειξις, δαιμόνων γέλως, διαβόλου κατηγορία, φιλοσοφίας διδασκαλία,...καὶ πάντων τῶν ἀγαθῶν ῥίζα id.*pan.Dros.*2(2.690B); id.*Jud.et gent.*15(1. 578D); τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν μ. γινόμενα θαύματα †Chrys. *pan.Bab.*2(2.555D); **4.** their sanctity in proportion to their sacrifice ἐὰν δέ τις μακαρίζων πλουσίους μ. ... 'ἑκατονταπλασίονα' γεννήσοντας τέκνα καὶ ἑκατονταπλασίονας ἀγροὺς καὶ οἰκίας ληψομένους ζητῇ...παρὰ τοὺς ἐν βίῳ πένητας μ. Or.*mart.*15(p.15.2,4; M.11.581D); ὑπὲρ γὰρ πάντας μ. ἐγώ φημι εἶναι τοὺς τότε [sc. in times of antichrist] μ.· οἱ μὲν γὰρ πρὸ τούτου, μόνοις ἀνθρώποις ἐπάλαισαν, οἱ δὲ ἐπὶ τοῦ ἀντιχρίστου, αὐτῷ σατανᾷ...πολεμήσουσιν Cyr.H.*catech.*15.17; **5.** public veneration; **a.** dist. from worship of God τοῦτον [sc. Χριστόν] μὲν γὰρ υἱὸν ὄντα τοῦ θεοῦ προσκυνοῦμεν, τοὺς δὲ μ. ὡς μαθητὰς καὶ μιμητὰς τοῦ κυρίου ἀγαπῶμεν ἀξίως ἕνεκα εὐνοίας ἀνυπερβλήτου τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον *M.Polyc.*17.3; ἡμεῖς μ. οὐ προσκυνοῦμεν, ἀλλὰ τιμῶμεν, ὡς γνησίους προσκυνητὰς θεοῦ· οὐ σέβομεν ἀνθρώπους, θαυμάζομεν δὲ τοὺς ἐν καιρῷ πειρασμῶν καλῶς σεβασθέντας θεῷ Ast.Am.*hom.*10(M.40.321D); **b.** keeping of their feasts νεύματι βασιλέως καὶ μαρτύρων ἡμέρας ἐτίμων καιρούς τε ἑορτῶν ἐκκλησίαις ἐδόξαζον Eus.*v.C.*4.23(p.126.4; M.20.1172A); τὴν ἡμέραν Στεφάνου τοῦ πρωτομάρτυρος ἀργείτωσαν καὶ τῶν λοιπῶν ἁγίων μ. τῶν προτιμησάντων Χριστὸν τῆς ἑαυτῶν ζωῆς *Const.App.*8.33. 9; εἰ μὴ γὰρ ἐδίωξεν Χριστιανοὺς ὁ διάβολος,...οὐκ ἂν εἴχομεν μ.· μ. δὲ μὴ ὄντων, σκυθρωπὸς ἡμῶν ὁ βίος καὶ ἀνέορτος Ast.Am.*hom.*10(M. 40.316A); πολλὰς ἡμέρας τῆς τῶν μ. ἀπελαύσαμεν πανηγύρεως, καὶ ἄκαιρον ἦν ἐν τάφοις μαρτύρων διατρίβοντας, τῶν τοῖς μ. πρεπόντων ἐγκωμίων ἀμοίρους ἀπελθεῖν Chrys.*Anna* 1.1(4.701A,B); μνήμην μ. ἐπιτελοῦμεν, καὶ οὐδεὶς ἀπήντησεν...οἱ μ. τὸ ἴδιον αἷμα ἐξέχεαν ὑπὲρ τῆς ἀληθείας, σὺ δὲ οὐδὲ βραχείας ὁδοῦ καταφρονεῖς;...μνήμη μαρτύρων, καὶ σὺ ἀθυμεῖς καὶ ἀναπέπτωκας; δέον ἐστὶ σε παραγενέσθαι, καὶ ἰδεῖν τὸν διάβολον ἡττώμενον, καὶ μ. νικῶντα †Chrys.*Petr.et El.*1 (2.730A,B); **c.** liturg., ref. Feast of Martyrs παρακαλοῦμεν νῦν ἐπιφανῆσαί σε ἡμῶν τῇ πόλει, ἐπὶ τῷ σεμνοτέραν γενέσθαι τὴν πανήγυριν, ἣν δι' ἔτους ἄγειν ἐπὶ τοῖς μ. ἔθος ἐστὶν ἡμῶν τῇ ἐκκλησίᾳ Bas.*ep.*176 (3.263B; M.32.653B); date of its celebration ἐξ οὗ τὴν ἱερὰν πανήγυριν τῆς πεντηκοστῆς ἐπετελέσαμεν, οὔπω παρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμός, καὶ πάλιν κατέλαβεν ἡμᾶς μαρτύρων χορός Chrys.*pan.mart.*3.1(2. 711A); feasts of individual martyrs not permitted in Lent, CLaod. *can.*51; mentioned individually in liturgy, *Lit.*ap.*Const.App.*8.13.6 cit. s. ἄθλησις; τί οἴει τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι, τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ; κἂν μ. ὦσι, κἂν ὑπὲρ μ., μεγάλη τιμὴ τὸ ὀνομασθῆναι τοῦ δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας Chrys.*hom.21.4 in Ac.*(9.176B); in preface ψυχαὶ μαρτύρων καὶ ἀποστόλων *Lit.Jac.*(p.198.27); in commemoration of living, *ib.*(p.212.17); **d.** as patrons of cities προνοοῦσιν οἱ πολιοῦχοι μ. τῆς ταλαίνης [sc. Πηλουσίου] Isid.Pel.*epp.*1.226(M.78.324B); **6.** veneration by imitation of their virtues ἐτίμησας τὴν μ. τῇ παρουσίᾳ [sc. at celebration]; τίμησον αὐτὴν καὶ τῇ διορθώσει τῶν οἰκείων μελῶν Chrys.*pan.Pelag.Ant.*4(2.589D); αἱ τῶν μ. ἑορταὶ οὐκ ἐν τῇ περιόδῳ τῶν ἡμερῶν μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ τῶν ἐπιτελούντων κρίνονται. ... ἐμιμήσω μάρτυρα; ἐζήλωσας αὐτοῦ τὴν ἀρετήν; κατ' ἴχνος αὐτοῦ τῆς φιλοσοφίας ἔδραμες; καὶ οὐκ οὖσης ἡμέρας μάρτυρος, ἑορτὴν μ. ἐπετέλεσας. τιμὴ γὰρ μάρτυρος, μίμησις μ. id.*pan.mart.*2 (2.667C); *ib.*(668A,B); ἐτίμησας τοὺς μ. τῇ παρουσίᾳ...τίμησον αὐτοὺς καὶ τῇ κοσμίῳ ἀναχωρήσει *ib.*(668E); id.*pan.Juln.*4(2.677C); †Chrys. *mart.*4(3.818E); καλὸν μὲν τὸ τιμᾶν τοὺς μ. τῆς εὐσεβείας τοῖς ἀναθήμασιν...κρεῖττον δὲ τὸ θεραπεύειν αὐτοὺς οἷς ἐποίησαν κατορθώμασιν Isid.Pel.*epp.*1.189(M.78.304C).

F. true and false martyrs, cf. *ecclesia omni in loco ob eam quam habet erga deum dilectionem, multitudinem martyrum in omni tempore praemittit ad patrem; reliquis autem omnibus non tantum non habentibus hanc rem ostendere apud se, nec quidem necessarium esse dicentibus tale martyrium; esse enim martyrium verum sententiam eorum: nisi si unus, aut duo aliquando, per omne tempus ex quo dominus apparuit in terris, cum martyribus nostris, quasi et ipse misericordiam consecutus, opprobrium simul bajulavit nominis, et cum eis ductus est, velut adjecto quaedam donata eis. opprobrium enim eorum, qui persecutionem patiuntur propter justitiam, et omnes poenas sustinent, et mortificaniur propter eam quae est erga deum dilectionem, et confessionem filii ejus, sola ecclesia pure sustinet,* Iren.*haer.*4.33.9(M.7.1078A,B); ref. Montanists ὅταν τοίνυν ἐν πᾶσι τοῖς εἰρημένοις ἐλεγχθέντες ἀπορήσωσιν, ἐπὶ τοὺς μ. καταφεύγειν πείρωνται, λέγοντες πολλοὺς ἔχειν μ., καὶ τοῦτ' εἶναι τεκμήριον τῆς δυνάμεως τοῦ...προφητικοῦ πνεύματος...καὶ γὰρ τῶν αἱρέσεών τινες πλείστους ὅσους ἔχουσι μ. ... οὐδὲ ἀληθειαν ἔχειν αὐτοὺς ὁμολογήσομεν. καὶ πρῶτοί γε...Μαρκιωνισταὶ...πλείστους ὅσους ἔχειν Χριστοῦ μ. λέγουσιν, ἀλλὰ τόν γε Χριστὸν αὐτὸν κατ' ἀλήθειαν οὐχ ὁμολογοῦσιν Anon.ap.Eus.*h.e.*5.16.20f.(M.20.472B,C); Θεμίσων...ὁ μὴ βαστάσας τῆς ὁμολογίας τὸ σημεῖον, ἀλλὰ πλῆθει χρημάτων ἀποθέμενος τὰ δεσμά,...ὡς μ. καυχώμενος Apollon.ap.Eus.*h.e.*5.18.5(M.20.477A); *ib.*5.18.6(477B).

G. exeg.: Gen.4:10 τὸ γάρ· 'φωνὴ αἵματος...' νομίσωμεν λέγεσθαι καὶ περὶ ἑκάστου τῶν μ., ὧν ἡ φωνὴ τοῦ αἵματος βοᾷ πρὸς τὸν θεόν Or.*mart.*50(p.46.23; M.11.636A); Ps.115:4 σωτηρίου ποτήριον ὁ τῶν μ. ἐστὶ θάνατος *ib.*29(p.26.14; 600H); Ps.78:11 ὑπομιμνήσκου τοῦ εὐξαμένου ἐν πνεύματι περὶ τέκνων μαρτύρων διὰ τὴν πρὸς θεὸν ἀγάπην αὐτῶν καταλελειμμένων καὶ φήσαντος· 'περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων' *ib.*38(p.35.27; 613B); Is.43:10 'γένεσθέ μοι μ., κἀγὼ μάρτυς...'. πᾶς δὲ ὁ μαρτυρῶν τῇ ἀληθείᾳ, εἴτε λόγοις εἴτε ἔργοις... μ. εὐλόγως ἂν χρηματίζοι. ἀλλ' ἤδη κυρίως ⟨ὡς⟩ τὸ τῆς ἀδελφότητος ἔθος ἐκπλαγέντες διάθεσιν τῶν ἕως θανάτου ἀγωνισαμένων ὑπὲρ ἀληθείας ...κυρίως μόνους μ. ὠνόμασαν τοὺς τῇ ἐκχύσει τοῦ ἑαυτῶν αἵματος μαρτυρήσαντας τῷ τῆς θεοσεβείας μυστηρίῳ, τοῦ σωτῆρος πάντα τὸν μαρτυροῦντα τοῖς περὶ αὐτοῦ καταγγελλομένοις μ. ὀνομάζοντος id.*Jo.* 2.34(28; p.93.8ff.; M.14.176C,D); Ps.65:10 δοκιμασθέντες διαρκῶς οἱ μ. ἐν ταῖς κατὰ τοὺς πειρασμοὺς τῶν βασάνων προσβολαῖς Meth.*res.*1.56 (p.315.7; M.41.1149A); Ps.123:2–7 οἱ μ. εἰσιν οἱ ψάλλοντες. δύο δὲ τῶν καλλινίκων οἱ χοροὶ μαρτύρων. εἷς μὲν τῆς διαθήκης τῆς καινῆς, θάτερος δὲ τῆς παλαιᾶς *ib.*(p.316.8f.; M.41.1149Cf.).

H. Constantine's legislation concerning their property τῶν...μ. τῶν ἐν ὁμολογίᾳ τὴν τελευτὴν ἀποθεμένων τοῦ βίου τὰς οὐσίας ἐκέλευε τοὺς τῷ γένει προσήκοντας ἀπολαμβάνειν, εἰ δὲ μὴ τούτων τις εἴη, τὰς ἐκκλησίας ὑποδέχεσθαι τοὺς κλήρους Eus.*v.C.*2.21(p.49.31; M.20. 1000A).

I. refutation of Basilides' theory (v. μαρτύριον) εἰ...τις αὐτῶν λέγοι κολάζεσθαι μὲν τὸν μ. διὰ τὰς πρὸ τῇδε τῆς ἐνσωματώσεως ἁμαρτίας, τὸν καρπὸν δὲ τῆς κατὰ τόνδε τὸν βίον πολιτείας αὖθις ἀπολήψεσθαι, οὕτω γὰρ διατετάχθαι τὴν διοίκησιν, πευσόμεθα αὐτοῦ, εἰ ἐκ προνοίας γίνεται ἡ ἀνταπόδοσις· εἰ μὲν γὰρ μὴ εἴη τῆς θείας διοικήσεως, οἴχεται ἡ οἰκονομία τῶν καθαρσίων καὶ πέπτωκεν ἡ ὑπόθεσις αὐτοῖς, εἰ δὲ ἐκ προνοίας τὰ καθάρσια, ἐκ προνοίας καὶ αἱ κολάσεις. ἡ πρόνοια δὲ εἰ καὶ ἀπὸ τοῦ Ἄρχοντος, ὥς φασιν, κινεῖσθαι ἄρχεται, ἀλλ' ἐγκατεσπάρη ταῖς οὐσίαις καὶ τῇ τῶν οὐσιῶν γενέσει πρὸς τοῦ θεοῦ τῶν ὅλων. ὧν οὕτως ἐχόντων ἀνάγκη ὁμολογεῖν αὐτοὺς ἢ τὴν κόλασιν μὴ εἶναι ἄδικον (καὶ δικαιοπραγοῦσιν οἱ καταδικάζοντες...τοὺς μ.) ἢ ἐκ θελήματος ἐνεργεῖσθαι τοῦ θεοῦ καὶ τοὺς διωγμούς Clem.*str.*4.12 (pp.286.31–287.5; M.8.1296A,B).

J. veneration of martyr's relics; **1.** their power τοσοῦτο δ' ἐστὶν τῆς ἀθλήσεως σέβας, ὡς καὶ κόνιν βραχεῖαν, ἤ τι λείψανον ὁστῶν παλαιῶν, ἢ τριχῶν μικρὸν μέρος...ἀρκεῖν εἰς ὅλου τιμήν ποτε. καὶ κλῆσιν ἔγνων, ἔστιν ὧν ἀλείψανον, τόποις δοθεῖσαν ἀνθ' ὅλου τοῦ μ., ἰσχύν τ' ἴσην λαβοῦσαν, ὧ τοῦ θαύματος Gr.Naz.*carm.*1.2.10.750(M.37. 734); τῶν ἁγίων μ. τὰ σώματα...φυλακτικὰ ὄντα ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς, καὶ ἰαματικὰ νοσημάτων τῶν κατὰ τὴν ἰατρικὴν τέχνην ἀνιάτων †Just.*qu.et resp.*28(M.6.1276C); τὰ εὐσεβῆ σώματα...φυλάσσομεν, φρουροῦμεν δὲ αὐτοῖς ὡς ἡμετέροις πλεονεκτήμασιν, καὶ τοῖς μ. ἡ ἐκκλησία τετείχισται ὡς πόλις ὁπλίταις γενναίοις...πρεσβευτὰς αὐτοὺς τῶν εὐχῶν καὶ αἰτημάτων, διὰ τὸ ὑπερβάλλον τῆς παρρησίας, ποιοῦμεν. ἐντεῦθεν πενίαι λύονται, καὶ ἰατρεύονται νόσοι, καὶ ἀρχόντων

ἀπειλαὶ κοιμίζονται· πασῶν δὲ τῶν ταραχῶν καὶ χειμώνων τοῦ βίου λιμένες εἰσὶν εὔδιοι, οἱ ἱεροὶ τῶν μ. σηκοί Ast.Am.*hom.*10(M.40.317B,C); esp. over demons, Chrys.*pan.Macc.*1.1(2.623A); λαβὼν γάρ τινα δαιμονῶντα...εἰσάγαγε πρὸς τὸν ἅγιον τάφον ἐκεῖνον, ἔνθα τοῦ μ. τὰ λείψανα, καὶ ὄψει πάντως ἀποπηδῶντα id.*pan.Juln.*2(2.674D); σκηνὴ γάρ ἐστι στρατιωτικὴ τῶν μ. ὁ τάφος· κἂν ἀνοίξῃς τοὺς τῆς πίστεως ὀφθαλμούς, ὄψει τὸν θώρακα τῆς δικαιοσύνης ἐνταῦθα κείμενον...τὴν μάχαιραν τοῦ πνεύματος, αὐτὴν τοῦ διαβόλου τὴν κεφαλὴν ἀπερριμμένην χαμαί. ὅταν γὰρ ἴδῃς δαιμονῶντα ἄνθρωπον παρὰ τὸν τάφον τοῦ μ. κείμενον ὕπτιον...οὐδὲν ἕτερον ἀλλ' ἢ τὴν κεφαλὴν τοῦ πονηροῦ τετμημένην ὁρᾷς id.*pan.Barl.*4(2.686A,B); id.*stat.*8.2(2.933B); δύνανται γὰρ καὶ θῆκαι μαρτύρων πολλὴν ἔχειν δύναμιν, ὥσπερ οὖν καὶ τὰ ὀστᾶ τῶν μ. πολλὴν ἔχει τὴν ἰσχύν id.*pan.Barn.*7(2.645C); **2.** its causes εἴδετε πῶς δυνατωτέρα καὶ σιγώντων ἡ φωνὴ τῶν μ.; διὰ τοῦτο ἀφῆκεν ἡμῖν τὰ σώματα αὐτῶν ὁ θεός· διὰ τοῦτο πάλαι νικήσαντες, οὐδέπω καὶ νῦν ἀνέστησαν, ἀλλὰ τοὺς μὲν ἄθλους ὑπέμειναν πρὸ τοσούτου χρόνου, τῆς δὲ ἀναστάσεως οὐδέπω ἐπέτυχον, οὐδέπω διὰ σὲ καὶ τὴν ὠφέλειαν τὴν σήν, ἵνα καὶ σὺ ἐκεῖνον τὸν ἀθλητὴν ἐννοῶν πρὸς τὸν αὐτὸν δρόμον διεγερθῇς...καίτοι γε ἄφωνος ὁ μ. κεῖται ἐν πολλῇ τῇ σιγῇ. τί ποτ' οὖν ἐστι τὸ κεντοῦν τὸ συνειδός, καὶ ποιοῦν ὥσπερ ἐκ πηγῆς ἀναβλύζειν τοὺς τῶν δακρύων κρουνούς; αὐτὴ τοῦ μ. ἡ φαντασία, καὶ τῶν κατορθωθέντων πάντων ἡ μνήμη id.*pan.mart.*1.2(2.652E–653B); power as proof of truth of the faith, id.*pan.Dros.*2(2.691C,D); ἀπέδωκεν ἡμῖν τὴν ἁγίαν ταύτην κιβωτὸν τὸ σῶμα τοῦ μ.· ταύτην κατέχομεν μέχρι τῆς παρούσης ἡμέρας μυρίων οὖσαν ἀγαθῶν θησαυρόν. καὶ γὰρ ἐμερίσατο ὁ θεὸς πρὸς ἡμᾶς τοὺς μ., τὰς ψυχὰς λαβὼν αὐτός, τὰ σώματά πως ἡμῖν ἔδωκεν, ἵνα ἔχωμεν ὑπόμνησιν ἀρετῆς διηνεκῶς τὰ ἅγια τούτων ὀστέα id.*pan.Juln.*4(2.676E); **3.** relics honoured τοὺς τόπους αὐτούς, οἳ τοῖς σώμασι τῶν μ. τετίμηνται καὶ τῆς ἀναχωρήσεως τῆς ἐνδόξου ὑπομνήματα καθεστᾶσιν, τίς ἂν ἀμφιβάλοι μὴ οὐχὶ ταῖς ἐκκλησίαις προσήκειν, ἢ οὐχὶ καὶ προστάξειεν ἄν; Const.ap.Eus.*v.C.*2.40(p.58.15; M.20.1017A); εἰς δόξαν τοῦ ὀνόματος τοῦ Χριστοῦ οἶκον ἠγείρατε...ἐὰν δὲ δυνηθῶμεν περιοῆσαι λείψανα μαρτύρων, εὐχόμεθα καὶ αὐτοὶ συμβαλέσθαι ὑμῶν τῇ σπουδῇ Bas.*ep.*49(3.142C; M.32.385C); τιμῆσαι τοὺς μ. σπεύδοντες...εἰ γὰρ καὶ πρὸ τούτου ἔδει πρὸς τοὺς...τῆς εὐσεβείας ἀθλητὰς τρέχειν, ὅτε ὑπὸ τὸ ἔδαφος ἔκειντο· πολλῷ μᾶλλον νῦν τοῦτο ποιεῖν χρή, ὅτε καθ' ἑαυτοὺς οἱ μαργαρῖται, ὅτε ἀπηλλάγη τῶν λύκων τὰ πρόβατα...αὐτοῖς...οὐδεμία βλάβη ἦν, οὐδὲ πρὸ τούτου· ὁ δὲ λαὸς ἡμῖν οὐ τὴν τυχοῦσαν ζημίαν ὑπέμεινεν ἀπὸ τῶν τόπων, τρέχων μὲν πρὸς τὰ λείψανα τῶν μ., μετὰ δὲ ἀμφιβολίας...ποιούμενος τὰς εὐχὰς διὰ τὸ ἀγνοεῖσθαι τὰς θήκας τῶν ἁγίων...ἐβάδιζε μὲν ὁ λαὸς πρὸς τὰς καθαρὰς τῶν μ. πηγάς· αἰσθανόμενος δὲ δυσωδίας αἱρετικῆς ἐγγύθεν ἀνιούσης, ἀνεχαιτίζετο πάλιν. ὅπερ οὖν συνειδὼς ὁ σοφὸς οὗτος ποιμὴν [i.e. Flavian]...οὐκ ἠνέσχετο μέχρι πολλοῦ ταύτην τὴν ζημίαν περιϊδεῖν οὗτος...ζηλωτὴς τῶν μ. ἀλλὰ τί ποιεῖ;...τὰ μὲν θολερὰ...ῥεύματα κατέχωσε...τὰς δὲ καθαρὰς τῶν μ. πηγὰς ἐν καθαρῷ χωρίῳ κατέστησε...ἐπεδείξατο καὶ περὶ τοὺς μ. τὴν τιμήν, καὶ περὶ τὸν λαὸν τὴν κηδεμονίαν...περὶ δὲ τοὺς μ. τιμήν, ἀπαλλάξας αὐτοὺς τοῦ πονηροῦ γειτονήματος Chrys.*ascens.*1(2.447A–448B); Philost.*h.e.*7.12(M.65.549B); εἴσω δὲ τοῦ θόλου πρὸς τὰ ἑῷα εὐπρεπής ἐστι σηκός, ἔνθα τὰ...τῆς μ. ἀπόκειται λείψανα ἔν τινι σορῷ τῶν ἐπιμήκων...ἐξ ἀργύρου εὖ μάλα σοφῶς ἠσκημένῃ Evagr.*h.e.*2.3(p.40.25ff.; M.86.2493B); **4.** eccl. legislation εἴ τις αἰτιῷτο, ὑπερηφάνῳ διαθέσει κεχρημένος καὶ βδελυττόμενος τὰς συνάξεις τῶν μ. ἢ τὰς ἐν αὐτοῖς γινομένας λειτουργίας καὶ τὰς μνήμας αὐτῶν CGangr.*can.*20; faithful forbidden to venerate relics of heretics, CLaod.*can.*34; ref. non-authentic sanctuaries ἤρεσεν, ἵνα πανταχοῦ ἀνὰ τοὺς ἀγροὺς... θυσιαστήρια, ὡσανεὶ εἰς μνήμην μ. καθιστάμενα, ἐν οἷς οὐδὲ ἓν σῶμα ἢ λείψανον μ. ... δείκνυνται, ἀπὸ τῶν ἐντοπίων ἐπισκόπων, εἰ ἔστι δυνατόν, καταστρέφωνται...καὶ παντελῶς μηδὲ μνήμη μ. ἐπιτελεσθῇ, εἰ μή που ἢ σῶμα ἢ τινα λείψανα ὦσιν, ἢ ἀρχαιότητι παραδιδῶνται *Cod.Afr.*83.

III. *confessor*;

A. of those who survived tortures; designation at first rejected from humility, *Ep.Lugd.*ap.Eus.*h.e.*5.2.2,3(M.20.433A,B); but soon gen. applied, Hipp.*haer.*9.12(p.247.27; M.16.3382C); Αὐρήλιος Κυρίνιος μ. ἐρρῶσθαι ὑμᾶς εὔχομαι in signature appended to a letter (but sometimes interpreted as *witness*), Serap.Ant.ap.Eus.*h.e.*5.19.3(M.20.481B); ζῶντες μ., ἔμπνοοι στῆλαι Gr.Naz.*or.*43.5(M.36.500C); Philost.*h.e.*3.12(M.65.501A); Γολιανδοὺχ μ. ζῶσα παρ' ἡμῖν ἦν, ἡ διὰ πολλῶν μὲν πόνων τὸ μαρτύριον διενέγκασα Evagr.*h.e.*6.20(p.235.5; M.86.2872D).

B. hence of any true Christian εἰ τοίνυν ἡ πρὸς θεὸν ὁμολογία μαρτυρία ἐστί, πᾶσα ἡ καθαρῶς πολιτευσαμένη ψυχὴ μετ' ἐπιγνώσεως τοῦ θεοῦ, ἡ ταῖς ἐντολαῖς ὑπακηκυῖα, μ. ἐστι καὶ βίῳ καὶ λόγῳ, ὅπως ποτὲ τοῦ σώματος ἀπαλλάττεται, οἷον αἷμα τὴν πίστιν ἀνὰ τὸν βίον ἅπαντα, πρὸς δὲ καὶ τὴν ἔξοδον προχέουσα Clem.*str.*4.4(p.255.15; M.8.1228C); *ib.*4.14(p.290.27; 1304A); *ib.*4.21(p.305.21; 1340B); ἀνελάμβανεν δὲ ἐνθέου καὶ προφητικοῦ βίου τρόπον καὶ θεοῦ μ. ἀληθῆ αὐτὸς ἑαυτὸν καὶ πρὸ τῆς ὑστάτης τελευτῆς τοῦ βίου παρίστη Eus.*m.P.*11(p.934.30; M.10.1540B); cf. *non dubito et in hoc conventu esse aliquos ipsi* [sc. *deo*] *soli cognitos, qui jam apud eum martyres sint testimonio conscientiae, parati, si quis exposcat, effundere sanguinem suum pro nomine domini,* Or.*hom.*10.2 *in Num.*(p.72.22; M.12.639A); Meth.*symp.*8.17(p.112.10; M.18.176A); *Const.App.*5.2.3; τοὺς διωκομένους δὲ διὰ τὴν πίστιν...προσλαμβάνεσθε...ὡς μ. *ib.*5.3.1; ref. Bas. προστίθεται τοῖς ἱερεῦσιν ὁ ἀρχιερεύς...ὁ μ. τοῖς μ. καὶ νῦν, ὁ μέν ἐστιν ἐν οὐρανοῖς, κἀκεῖ τὰς ὑπὲρ ἡμῶν, ὡς οἶμαι, προσφέρων θυσίας, καὶ τοῦ λαοῦ προσευχόμενος [? l. προευχ-] Gr.Naz.*or.*43.80(M.36.601C); ἐν γάρ ἐστιν τῶν ἀμηχάνων, ἢ μαρτυρῆσαι γενναίως, ἢ κηρῦξαι σπουδαίως...ἐὰν μὴ πνεύματος ἁγίου δύναμις νευρώσῃ τὸν τόνον τοῦ μ.· ἄλλως γὰρ οὐ δύνανται μ. εἶναι. μ. δὲ λέγω νῦν, οὐ μόνον τὸν διὰ παθῶν τελειούμενον, ἀλλὰ καὶ τὸν τῷ λόγῳ μαρτυροῦντα τῆς χάριτος. πᾶς γὰρ κῆρυξ ἀληθείας, μ. ἐστὶ τοῦ θεοῦ ‡Chrys.*ascens.Ac.*4(3.702A).

C. of ascetics, ref. Symeon Stylites ὁ πανάγιος καὶ ἀέριος μ. Evagr.*h.e.*1.13(p.22.20; M.86.2456C); οὐ μόνον οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον, μ. εἰσιν, ἀλλὰ καὶ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες *Schol.*13 in Jo.Clim.*scal.*4(M.88.733C).

[*]**μαρυκάζω,** v. *μηρυκάζω.*

***Μαρωνίζω,** *play the Maronite heretic,* Jo.D.*trisag.*5(M.95.33B, v.l. παροινήσομεν).

***μαρώνιον, τό,** *wine-cask, M.Thdot.*1 33(p.82.6).

[*]**μάσαι,** = *μάσσαι,* aor. infin., *seek, inquire*; *Musae...appellatae ἀπὸ τοῦ μ. id est a quaerendo, quod per eas...vis carminum et vocis modulatio quaereretur,* Isid.H.*etym.*3.15.1.

μασάομαι, *chew,* Pall.*h.Laus.*32(p.92.1; M.34.1100B) cit. s. *κουκούλλιον*; in punishment of blasphemers and false witnesses γυναῖκες καὶ ἄνδρες μασώμενοι αὐτῶν τὰ χείλη...ἄλλοι...τὰς γλώσσας αὐτῶν μ. *Apoc.Petr.*28f.; fig., of Satan τὸν πτωχὸν τῇ ἀρετῇ καὶ ἀσύνετον... εἰς τὸ σπήλαιον τῆς κακίας λαβὼν μασᾶται, καθάπερ λέων Cyr.*Ps.*9:30(M.69.784B); τοῦτο [sc. Christ's body] μ. τοῖς ὀδοῦσιν τῆς διαφθορᾶς θέλων, οὐκ ἴσχυσε [sc. ὁ θάνατος] Gr.Ant.*mul.ung.*5(M.88.1853A); met., *chew* one's words, *mumble,* Mac.Mgn.*apocr.*2.17(p.30.10).

***μαστητικός, 1.** *able to masticate,* met. ἡ ψυχὴ μ. ... τῶν ἰδίων τροφῶν Or.*fr.in Mt.*13:42(p.136); **2.** *of mastication* δύναμιν μ., met., Meth.*res.*1.24(p.248.19; M.41.1093C).

μασθός, ὁ, v. μαστός.

***μάσσα, ἡ,** (Lat. *massa*) a named *plot of ground, A.Petr.et Paul.*80(p.214.8).

***Μασσαλιανοί, οἱ,** (Syriac) ; **1.** a pagan sect ἦσαν δὲ πρὸ χρόνου τινός, ὡς ἀπὸ τῶν καιρῶν Κωνσταντίου...εὐφημῖται εἶτ' οὖν *M.* καλούμενοι...ἀλλ' ἐκεῖνοι μὲν ἐξ Ἑλλήνων ὡρμῶντο, οὔτε Ἰουδαϊσμῷ προσανέχοντες οὔτε Χριστιανοὶ ὑπάρχοντες οὔτε ἀπὸ Σαμαρειτῶν, ἀλλὰ μόνον Ἕλληνες ὄντες...καὶ θεοὺς μὲν λέγοντες, μηδενὶ δὲ ⟨τούτων⟩ προσκυνοῦντες, ἑνὶ δὲ μόνῳ δῆθεν τὸ σέβας νέμοντες καὶ καλοῦντες Παντοκράτορα Epiph.*haer.*80.1(p.485.7; M.42.756B); assemblies for worship, *ib.*80.2(p.486.1ff.; 757B); said to worship Satan; hence known as σατανιανοί, *ib.*80.3(p.486.29; 760C); also called μαρτυριανοί from their veneration of members of the sect slain by Lupicianus [perh. Lucillianus, governor of Mesopotamia], *ib.*80.2(p.486.20; 760B); perh. identical with ὑψιστάριοι, cf.Gr.Naz.*or.*18.5(M.35.989D–992A); **2.** (also ***Μεσσαλιανοί, *Μεσσαλῖται**) an heret. sect also called εὐχῖται (q.v.), Epiph.*haer.*80.3(p.487.7ff.; M.42.760C); *Μεσσαλιανοί*: condemned by synods at Side under Amphilochius and at CP under Flavian, Thdt.*h.e.*4.10(3.964–966); id.*haer.*4.11(4.367–368); cf.Phot.*cod.*52(M.103.88B); *Μεσσαλῖται*: Cyr.*ep.*82(p.20.14; M.77.376A); also called *Μαρκιανισταί* (q.v.), Tim.CP *haer.*(M.86.45C); apptly. confused with 1 supra, Jo.D. *haer.*80(M.94.728A).

***μάσσινος,** sens. dub.; epithet of a rope, Jo.Mal.*chron.*7 p.186(M.97.296D).

μαστεύω, *seek, search after* ἡμῖν αὐτὸς ὁ Χριστὸς ἡ τροφὴ τοῖς νηπίοις...ἐντεῦθεν τὸ ζητῆσαι μ. καλεῖται, ὅτι τοῖς ζητοῦσιν νηπίοις τὸν λόγον αἱ πατρικαὶ τῆς φιλανθρωπίας θηλαὶ χορηγοῦσι τὸ γάλα Clem. *paed.*1.6(p.117.21; M.8.304C).

***μαστιγόπληκτος,** *scourged, lashed,* Jo.Mal.*chron.*5 p.123(M.97.217B).

μαστιγ-όω, *whip*; fig., ref. Ex.14:21 τὴν Ἐρυθρὰν θάλασσαν... νότῳ βιαίῳ μ. Philost.*h.e.*12.10(M.65.620B); met., *be a scourge,* Ign. *Trall.*4.1; of a plague of locusts, *Apoc.Dan.*C(p.116); *afflict* ὅλην τὴν ἡμέραν τοῦ βίου τούτου ὁ δίκαιος ~οῦται ἐν λύπαις...ἐν ὀνειδισμοῖς Nil.*epp.*1.37(M.79.100C).

μαστίζω, = foreg., fig., ref. Eccl.2:22 *οἷόν τισι κέντροις, ταῖς... ἐπιθυμίαις τὴν καρδίαν μ.* †Dion.Al.*fr.Eccl.*2:22(p.223.7; M.10.1585C); *διὰ πυρετῶν καὶ νόσων...τὸ δοῦλον σῶμα τὴν δέσποιναν ψυχὴν μ. ἁμαρτήσασαν* Chrys.*exp.in Ps.*3:1(5.4C); of conscience, Zach.H.*ep.* (M.86.3233B); *οὐ δύνασαι ἀκούειν τοῦ φοβεροῦ ὀνόματος* [sc. *Χριστοῦ*] *καὶ διὰ τοῦτο μαστίζῃ τὴν διάνοιαν M.Thdot.*3(p.37.7); met., *afflict πλεῖον τῆς νηστείας ἡ καθ' ὑπακοὴν μετάληψις μ. τοὺς δαίμονας* Nil. *epp.*1.307(M.79.193C); Isid.Pel.*epp.*1.39(M.78.208A); Bas.Sel.*or.*26.2 (M.85.308B); Nonn.*par.Jo.*11:20(M.43.841C).

μαστικτήρ, ό, *scourger, Orac.Sib.*2.344.

μάστιξ, ἡ, *scourge, rod*; met., of chastening *μ. παιδείας σου Pss. Sal.*7.8; *μακάριος ἀνὴρ οὗ ὁ κύριος ἐμνήσθη ἐν ἐλέγχῳ, καὶ ἐκυκλώθη ἀπὸ ὁδοῦ πονηρᾶς ἐν μ. ib.*10.1.

***μαστίχημα, τό,** *plaster,* Leont.H.*monoph.*(M.86.1816A,B).

μαστός (μασθός), ὁ, *breast*; fig., ref. 1Cor.3:2 *ἡ τοῦ γάλακτος ζωοτρόφος οὐσία, φιλοστόργοις πηγάζουσα μ.* Clem.*paed.*1.6(p.111.7; M.8.292C); ref. 1Pet1.2:2 *μακάριοι...ὅσοι τοῦτον θηλάζουσι τὸν μ. ib.* (p.116.10; 301B); *τῶν τοῦ νυμφίου μ. δηλούντων τὰ ὑψώματα* Or.*Cant.* 7:8(M.13.213B); cf. *τῶν...μασθῶν δηλούντων τὰ πυκνώματα* id.*schol. in Cant.*7:8(M.17.284C); *τοὺς τοῦ νυμφίου μ. ... προτιμῶσα...οἴνου τοῦ ἐν νόμῳ τε καὶ προφήταις* Apoll.ap.Proc.G.*Cant.*1:2(M.87.1549A).

***μαστοφαγής, ὁ,** a bird of prey *ὠκύπτερον μ.* Clem.*paed.*3.11 (p.278.10; M.8.653A).

[*]μαστροπέω, *flatter, pander,* Thdr.Stud.*epp.*1.31(M.99.1012A).

***μαστροπότης, ἡ,** *pandering,* Leont.B.*mesopent.*(M.86.1980C).

[*]μαστυγίας, ὁ, for *μαστιγίας, one that deserves a whipping,* Jo. Mon.*hymn.Geo.*8(M.96.1400B).

μαστώδης, *rounded,* Herm.*sim.*9.1.4.

μασχάλη, ἡ, *armhole στιχάριον...τύπος...τῆς σαρκὸς τοῦ Χριστοῦ... ἔχει...μασχάλας διὰ τὴν ἐκ λόγχης κεντηθεῖσαν πλευράν* ‡Sophr.H. *liturg.*7(M.87.3988B); cf.‡Germ.CP *contempl.*(M.98.393C).

***ματαιεργία, ἡ,** *vain labour,* Epiph.*haer.*30.7(p.343.4; M.41.417A).

***ματαιοκόπος, ὁ,** *fruitless toiler,* Ant.Mon.*hom.*13(M.89.1469A).

***ματαιοκοσμία, ἡ,** *worldly triviality,* Thdr.Stud.*iamb.*28(M.99. 1792A).

ματαιολογία, ἡ, *idle talk*; of pagan and heret. teaching, Ath.*inc.* 3.1(M.25.101A); id.*ep.Epict.*1(p.3.1; M.26.1049A); of casting horoscopes, Thdt.*qu.15 in Gen.*(1.18).

ματαιοπονέω, *labour in vain upon τόμοι οὓς ἐματαιοπόνησεν εἰς τὴν πρὸς Ῥωμαίους τοῦ ἀποστόλου ἐπιστολήν* Socr.*h.e.*4.7.7(M.67.473A).

ματαιοπονία, ἡ, *labour in vain*; of resistance to God's will, 1*Clem.*9.1; of pursuit of wealth, Clem.*str.*4.7(p.271.24; M.8.1264A); of heresy, Hipp.*haer.*6.43(p.176.12; M.16.3266B); Hegem.*Arch.*5(p.7. 9; M.10.1436A); of pursuit of secular learning, Chrys.*sac.*2.7(p.45.9; 1.379D); *ὁ ὀργῆς καθαρεύων...οὐκ ἀναλώσει τὸν βίον εἰς μ. καὶ ὀδύνας* id.*hom.61.5 in Mt.*(7.618A).

***ματαιοσκόπος,** *studying vanity μετεωρολόγων ἢ μ. ἀνθρώπων* Meth.*symp.*8.17(p.111.10; M.18.173C).

***ματαιοσπουδέω,** *be devoted to trifles,* Philost.*h.e.*11.1(M.65.593B).

***ματαιοσπουδία, ἡ,** *exertion in vain, devotion to trifles,* Olymp. *Eccl.*5:6(M.93.541C).

***ματαιοσυκοφαντία, ἡ,** for *μάταιος συκοφαντία,* Epiph.*haer.*51.4 (M.41.892C; *divisim* p.251.17).

***ματαιοσυμβουλία, ἡ,** *false counsel,* ‡Chrys.*Marth.*(10.753B).

ματαιοσύνη, ἡ, = sq., Ant.Mon.*hom.*18(M.89.1485A).

ματαιότης, ἡ, 1. *vanity, purposelessness πάσης μ. νοημάτων καὶ λέξεων* Or.*Cels.*5.46(p.50.15; M.11.1253B); ref. Rom.8:20 *ἐλευθερωθήσονται* [sc. *ἄγγελοι καὶ ἀρχαὶ καὶ ἐξουσίαι*] *ἀπὸ τῆς μ. τοῦ κόσμου παρὰ τὴν ἀποκάλυψιν τῆς δόξης τῶν υἱῶν τοῦ θεοῦ* Clem.*q.d.s.*29(p.179. 16; M.9.636A); *ἡ κτίσις...μηκέτι τῇ μ. δουλεύουσα ἀλλὰ τῇ δικαιοσύνῃ* Meth.*res.*1.47(p.299.6; M.18.276A); *ἡ κτίσις...συνωδίνει τῇ καθ' ἡμᾶς μ.* Gr.Nyss.*Eun.*4(2 p.63.28; M.45.636B); *μ. λέγει τὸν ψευστὸν τοῦτον καὶ φθαρτὸν βίον ἡμῶν* Gennad.*fr.Rom.*8:20(p.330.17; M.85.1696C); of idolatry, Eus.*v.C.*3.57(p.104.15; M.20.1124B); of heresy, *ib.*3.64 (p.111.20; 1140B); of a fallacious argument *ἐπὶ τοῦ θεοῦ...μετακομίζειν τὴν μ.* Bas.*Eun.*2.2(1.246D; M.29.592C); of rhetoric or secular education in gen. *πλάσματος οἷα ἐν τοῖς διδασκαλείοις τῆς μ. ... τοῖς μειρακίοις προβάλλεται ib.*2.1(1.238D; M.537B); of astronomy, id. *hex.*1.3(1.4C; M.29.9C); of pomps of Devil *διαβόλου ἐστὶ...ἱπποδρομίαι, κυνηγεσία καὶ πᾶσα τοιαύτη μ.* Cyr.H.*catech.*19.6; **2.** *folly*; of men, *Const.App.*8.46.4; of Devil *ὑμᾶς ἀποστάντας αὐτοῦ τῆς μ. ἄλλοτε ἄλλως πειράζει ib.*6.5.5.

***ματαιοφιλοτιμέομαι,** *be ostentatious,* ‡Chrys.*hom.in Mt.*6:1(8. 92A).

ματαιοφρονέω, *have vain thoughts,* Epiph.*haer.*30.34(p.380.27, v.l. *ματαίως φρονεῖς* M.41.469D); Marc.Er.*opusc.*7.10(M.65.1084C).

μεταμορφ-όω, 1. *transform, A.Phil.*60(p.25.18); prayer of the dying apostle κύριέ μου...~ωσον τὴν μορφὴν τοῦ σώματός μου ἐν ἀγγελικῇ δόξῃ *ib.*144(p.87.1); ref. Inc. ἡ μεταμόρφωσις αὐτοῦ, καὶ ἡ κατάβασις αὐτοῦ, καὶ ἡ ἰδέα ἣν δεῖ αὐτὸν ~ωθῆναι, ἐν εἴδει ἀνθρώπου *Ascens.Is.*A 3.13(p.92); διὰ ἡμερότητα καὶ φιλανθρωπίαν ~ούμενος σωματοποιεῖ ἑαυτόν Mac.Aeg.*hom.*4.10(M.34.480B); met., *change* character πρὸς τὴν κακίαν μετεμορφώθημεν Gr.Nyss.*or.catech.*8(p.42. 10; M.45.33B); δυνατὸν ἐκ δικαιοσύνης εἰς ἁμαρτίαν μεταπεσεῖν, καὶ ἀπὸ τοῦ πάθους εἰς τὸ ἐμπαθὲς ~ωθῆναι Nil.*epp.*2.140(M.79.261D); τῆς ἁμαρτίας ὁ ῥύπος τὸ τοιοῦτον [i.e. of image of God] ἡμαύρωσε κάλλος· καὶ πρὸς τὸ κτηνῶδες ἡμᾶς μ. εἴδους Procl.CP *annunt.*2(M.85. 432A); ~οῦν καὶ μεταρρυθμίζειν πρὸς τὸ βέλτιον τὴν ψυχήν Thdt.*affect.* 4(p.100.7; 4.792); τέκνα καλοῦσιν οἱ ἅγιοι τοὺς διὰ τοῦ λόγου αὐτῶν ~ουμένους Dor.*doct.*4.3(M.88.1661B); ὁ ἄνθρωπος...τῷ μὲν θεοειδεῖ τοῦ νοῦ πρὸς τὸ θεῖον κάλλος ~ούμενος Melet.*nat.hom.*synops.(M.64. 1101B); **2.** *disguise* oneself ὁ κύριος ἦν μεθ' ἡμῶν ἐν τῷ πλοίῳ καὶ οὐκ ἔγνωμεν αὐτόν· μετεμόρφωσεν γὰρ ἑαυτὸν ὥσπερ πρωρεύς *A.Andr. et Mt.*17(p.85.6); med. ὁ Ζεὺς...μετεμορφοῦτο τὴν ἰδέαν *Hom.Clem.* 5.11; **3.** pass., *be transfigured*; of Christ τί ἐστι, μετεμορφώθη; παρήνοιξεν ὀλίγον τῆς θεότητος. καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα θεόν Chrys.*ecl.*21(12.566C); μετεμορφώθη γὰρ Χριστός, οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἡμῖν ἀποδείξῃ τὴν μέλλουσαν τῆς φύσεως μεταμόρφωσιν, καὶ τὴν...δευτέραν ἔλευσιν Procl.CP *or.*8.2(M.65.768B); ~οῦται τοίνυν οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος Jo.D.*hom.*1.12(M.96.564C); various spiritual interprn. ὁ πάντα τὰ τοῦ κόσμου ὑπερβαίνων πράγματα...βλέπει τὸν 'Ἰησοῦν τόνδ' οὐδενὶ τῶν κάτω ~ούμενον, ~ωθέντα ἔμπροσθεν αὐτοῦ Or.*schol.in Lc.*9:31(M. 17.344C); τότε δέ τις ὁρᾷ τὸν λόγον ~ούμενον ἐνδόξως, ὅτε συνάνεισί τε αὐτῷ καὶ συνυψοῦται καὶ ὁρᾷ αὐτὸν ὡς αὐτολόγον καὶ ὡς ἀρχιερέα κοινολογούμενον καὶ εὐχόμενον τῷ πατρί id.*fr.22 in Lc.*9:28(p.243.10); cf.id.*comm.in Mt.*12.39(p.156.4; M.13.1072B); ὅταν ~ώθωσιν αὐτῶν [sc. τοῦ νόμου καὶ τῶν προφητῶν] οἱ λόγοι, καὶ κινηθῶσιν αἱ τοῦ νόμου σκιαί, τότε καὶ πιστευθήσεται Μωϋσῆς ὁ θεράπων ὁ πιστὸς περὶ Χριστοῦ γράψας πάντα Anast.Ant.*serm.*1.4(M.89.1369A); ref. post-resurrection appearances μετεμορφώθη ὁ Ἰησοῦς καὶ οὐκ ἦν ὡς τὸ πρότερον πρὶν σταυρωθῆναι αὐτόν, ἀλλ' ἦν διὰ παντὸς φῶς *Narr.Jos.*5 (p.469).

μεταμόρφωσις, ἡ, 1. *transformation,* ref. Christ ἡ ἐξέλευσις τοῦ ἀγαπητοῦ...καὶ ἡ μ. αὐτοῦ *Ascens.Is.*3.13(p.92); of saints into Christ's likeness συμβαλλούσης...τὴν ἐν τῷ λόγῳ τράνωσιν αὐτῶν καὶ μ. τῆς ἐκκλησίας Meth.*symp.*8.8(p.90.19; M.18.149C); **2.** *transfiguration* σώμασι πνευματικοῖς, οὐχὶ τοῦ εἴδους τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται αὐτοῦ ἡ τροπή, ὥσπερ ἦν τὸ Ἰησοῦ εἶδος...οὐχ ἕτερον ἐν τῇ μ. παρ' ὃ ἦν Meth.*res.*1.22(p.246.11; M.41. 1092B); μ. φρίκης γέμουσα καὶ φῶς ἄκρατον Chrys.*hom.*56.4 *in Mt.*(7. 570D); ἡ δὲ λεγομένη μ. κατὰ τὴν ἔκλαμψιν ἦν...οὐ δὴ τοῦ χαρακτῆρος μεταβολήν τινα προσδοκητέον ἐν τῇ βασιλείᾳ...ἀλλὰ φωτὸς προσθήκην ὑπερλάμπρου Vict.*Mc.*9:3(p.353.8); ἡ μ. καθ' ἣν ὁ ἀναλλοίωτος ὑπὲρ τὸν ἥλιον ἔλαμψε τὸ ὑπὲρ ἡμᾶς καὶ ἡμέτερον Andr.Cr.*or.*7(M.97. 941C); ἐν τῷ δὲ ἱστάναι αὐτοὺς [sc. τοὺς ἱερεῖς] ἐν τῷ συνθρόνῳ δεικνύων ὁ ἀρχιερεὺς τῷ λαῷ τὴν θείαν μ. ‡Sophr.H.*liturg.*16(M.87. 3997A); *ib.*7(3988C); **3.** *figure* εἰκὼν δὲ τῆς ἀληθείας ἦν [sc. ὁ νόμος] καὶ οἱονεί τις μ. εὐσεβείας διὰ τύπου καὶ σκιᾶς ἀποφέρουσα πρὸς αὐτήν Cyr.*hom.pasch.*30(5².339A).

μεταμοσχεύ-ω, *transplant,* Clem.*str.*7.18(p.79.1; M.9.557A); Chrys. *Anna* 3.3(4.725C); Cyr.*Is.*2.3(2.280C); fig. ὁ παράδεισος ὁ πνευματικὸς αὐτὸς ἡμῶν ὁ σωτὴρ ὑπάρχει, εἰς ὃν καταφυτευόμεθα, μετατεθέντες καὶ ~θέντες εἰς τὴν γῆν τὴν ἀγαθὴν ἐκ βίου τοῦ παλαιοῦ Clem.*str.*6.1 (p.423.13; M.9.209B); ἔξει...ὁ Ἰσραὴλ τὰ τῆς ἀπονοίας ὀφώνια...τὰ ἔθνη...πρὸς τὸν ἐκείνου ~θήσεται τόπον Cyr.*Jo.*1.9(4.90E); χρῆναι δικαίως ἀπορρίπτεσθαι μὲν τῆς ἐλπίδος τὸν Ἰσραήλ, ~εσθαι δὲ τοὺς ἀλλογενεῖς ἐπ' αὐτήν *ib.*2.5(201C).

***μεταμυέομαι,** s.v.l., *be initiated into new beliefs,* Jo.D.*hom.*8.4 (M.96.705C v.l. μεμυη-).

μεταμφιάζομαι, abs., *change one's clothes*; fig. πονηροὺς καὶ ἀγαθοὺς καλεῖσθαι ‹μὲν ἔ›δει, οὐ μὴν ὥστε τοὺς πονηροὺς μένειν πονηρούς, ἀλλὰ μεταμφιασαμένους καὶ ἀποθεμένους τὰ ἀλλότρια τοῦ γαμοῦ ἐνδύματα ἐνδύσασθαι τὰ τοῦ γάμου ὁπλάγχνα οἰκτιρμοῦ Or. *comm.in Mt.*17.16(p.631.27; M.13.1528B); trans., *put on new* or *different* clothes; fig., of Fall ὁ ἄνθρωπος...ἀπώλεσε μὲν τὸ εἰκὼν εἶναι τοῦ ἀφθάρτου θεοῦ, τὴν δὲ φθαρτὴν καὶ πηλίνην εἰκόνα διὰ τῆς ἁμαρτίας μετημφιάσατο Gr.Nyss.*virg.*12(p.300.2; M.46.372C); of Inc. εἰ προαιώνιος ἡ σὰρξ...οὐ μετημφιάσατο τὸ δουλικὸν πρόσωπον id. *Apoll.*14(M.45.1149A); of salvation μετημφιασάμεθα δὲ ὥσπερ εὐφροσύνην καὶ χαράν, θανάτου καὶ ἁμαρτίας ἀπηλλαγμένοι Cyr.*Ps.* 31:7(M.69.868B); of metempsychosis σώματα διάφορα μ. CCP(543) *anath.*7(p.228); met., *assume* a new name, Bas.*hom.*21.3(2.166B; M.31.548A).

μεταμφιέννυμαι = foreg., fig., of the earth σκυθρωπὴν καὶ πενθήρη ἀπορρίψασαν περιβολήν, μεταμφιεννυμένην τὴν φαιδροτέραν καὶ...τὰ μυρία γένη τῶν φυομένων προβάλλουσαν Bas.*hex.*5.2(1.41C; M.29.97B); met., of Christ ἔδει πάλιν αὐτὸν...τὴν ἀρχαίαν τε καὶ οὐσιώδη μ. δόξαν Cyr.*Jo.*11.3(4.947C); paraphrase of Col.3:9, id. *ador.*17(1.611A).

***μεταμφιέσκομαι,** = μεταμφιάζομαι, Thdt.*ep.*137(4.1229).

μετανάστασις, ἡ, 1. *migration,* met. μ. τῆς πρὸς τὸ θεῖον Gr. Thaum.*pan.Or.*2(p.4.3; M.10.1053C); **2.** *removal, overthrow* ἀπέκασεν...σεισμῷ τὴν μ. καὶ κατάλυσιν [sc. τῆς εἰδωλολατρίας] Hipp. *fr.in Is.*19:1(p.180.4; M.10.632A).

μεταναστεύ-ω, intr., *depart,* Synes.*ep.*124(M.66.1504D); from this life μετὰ ἀγαθῆς ἐλπίδος μ. ἀπὸ τοῦ κόσμου τούτου Bas.*ep.*158(3. 247C; M.32.620A); Thphyl.*exc.gent.*5(p.483.8; M.113.944B); fig. and met., of Fall τραπέντων ἡμῶν καὶ ~άντων ἀπὸ τῆς μακαριωτάτης ἐκείνης...ζωῆς εἰς τὸν πολυχειμαστότατον...τοῦτον βίον Meth.*res.*2.25 (p.381.8; M.18.328C); Thdt.*Ps.*61:7(1.1014); κατοικήσουσιν εἰς τὴν

παγίαν ἕξιν τῶν ἀρετῶν...οὐ ~οουσι ταύτης ‡Proc.G.*Pr.*2:1(M.87.1240D).

μετανάστης, ό, *one who has come from one place to another*, Nonn.*par.Jo.*14:16(M.43.869A).

μετανάστιος, *moved from one place to another*, Nonn.*par.Jo.*2:9 (M.43.761B); *ib.*4:11(776A).

[*]**μετανείσσομαι,** = μετανίσομαι, *pass over*; met., of emotions, *pass away*, Nonn.*par.Jo.*16:20(M.43.881A).

μετανέομαι, *pass* from one place *to* another, *arrive at*, c. acc., Nonn.*par.Jo.*6:17(M.43.796C); *ib.*12:11(852B); *ib.*13:5(860C).

μετανίστημι, 1. *remove, cause to depart*; met., of Christianity καινῇ μεθόδῳ πολλῶν κακῶν μ. τοὺς ἀνθρώπους Or.*Cels.*1.64(p.118.2; M.11.781A); **2.** pass. and intrans. tenses, *depart*; ref. death, Tat.*orat.* 16(p.17.18; M.6.840C); fig. μείζω φρονῶν ἢ κατὰ τὰ ἀνθρώπινα καὶ τῶν ἐνθένδε πρὶν ἀποβιῶναι μεταναστάς Gr.Naz.*or.*43.59(M.36.573B).

μετανο-έω, A. *change one's mind* ὅταν αὐτοῖς [sc. would-be catechumens] ἔλθῃ εἰς μνείαν ἡ ἀγνότης τῆς ἀληθείας, μ., καὶ πορεύονται πάλιν ὀπίσω τῶν ἐπιθυμιῶν αὐτῶν τῶν πονηρῶν Herm.*vis.*3.7.3; ὅμοσον τὴν Καίσαρος τύχην, μ. *M.Polyc.*9.2; *ib.*11.2.

B. *repent*; **1.** towards God πᾶσιν οὖν μ. ἀφίει ὁ κύριος, ἐὰν μ. εἰς ἑνότητα θεοῦ καὶ συνέδριον τοῦ ἐπισκόπου Ign.*Philad.*8.1; ἡ γὰρ χρηστότης...τοῦ θεοῦ τὸν ~οῦντα ἀπὸ τῶν ἁμαρτημάτων...ὡς δίκαιον ...ἔχει Just.*dial.*47.5(M.6.580A); ἐὰν ~ήσωσι, πάντες βουλόμενοι τυχεῖν τοῦ παρὰ τοῦ θεοῦ ἐλέους δύνανται *ib.*141.2(797D); with play on words, God 'repenting' if men repent ἐπαγγέλλεται ὅτι ἐὰν ~ήσωσι ~ήσει περὶ τῶν κακῶν ὧν ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς Or.*hom.*18.5 *in Jer.*(p.155.18; M.13.469C,D); cf.*ib.*18.6(p.157.18f.; 473B); Epiph. *haer.*59.6(p.370.13; M.41.1028A); and Christ. Just.*dial.*40.4(M.6.564A) cit. s. ἁμαρτωλός; through baptism typified by Noah's ark δι' ὕδατος καὶ πίστεως καὶ ξύλου οἱ...~οῦντες...ἐκφεύξονται τὴν μέλλουσαν...κρίσιν *ib.*138.3(793C); ὁ φιλάνθρωπος λόγος, ἐλέγχει δέ, ἵνα ~ήσωσιν Clem.*paed.*1.7(p.124.22; M.8.320B); **2.** aspects of repenting τῶν οὖν ~ούντων εὐθὺς δοκεῖς τὰς ἁμαρτίας ἀφίεσθαι; οὐ παντελῶς. ἀλλὰ δεῖ τὸν μ. βασανίσαι τὴν ἑαυτοῦ ψυχὴν...καὶ θλιβῆναι ἐν πάσαις θλίψεσι... καὶ ἐὰν ὑπενέγκῃ τὰς θλίψεις...ὁ τὰ πάντα κτίσας...ἴασίν τινα δώσει· καὶ τοῦτο ὅταν ⟨ὁ θεὸς⟩ τοῦ μ. καθαρὰν ἴδῃ τὴν καρδίαν Herm.*sim.* 7.4,5; τοῦ ~οῦντος δὲ τρόποι δύο, ὁ μὲν κοινότερος φόβος ἐπὶ τοῖς πραχθεῖσιν, ὁ δὲ ἰδιαίτερος ἡ δυσωπία ἡ πρὸς ἑαυτὴν τῆς ψυχῆς ἐκ συνειδήσεως Clem.*str.*4.6(p.265.7; M.8.1249A); τὸν γὰρ μ. οὐκ ὀργίζεσθαι χρὴ οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντρίβεσθαι ὡς κατεγνωσμένον Chrys. *hom.*31.3 *in Heb.*(12.288D); τὸν μ. οὐδέποτε χρὴ λήθῃ παραδοῦναι τὴν ἁμαρτίαν, ἀλλὰ τὸν μὲν θεὸν παρακαλεῖν μὴ μνησθῆναι αὐτῆς, αὐτὸν μηδέποτε ἐπιλαθέσθαι αὐτῆς *ib.*(289D); μετενόησε καὶ ὁ Ἰούδας, ἀλλὰ κακῶς *ib.*(288C); **3.** in rel. to salvation, *2Clem.*13.1; *ib.*19.1; βλέπεις δὲ ὅτι οὐδὲ εἷς αὐτῶν μετενόησε, καίπερ ἀκούσαντες τὰ ῥήματα ἃ ἐλάλησας αὐτοῖς...ἀπὸ τῶν τοιούτων ἡ ζωὴ ἀπέστη...ἦσαν γὰρ ὑποκριταί...καὶ ἐκστρέφοντες τοὺς δούλους τοῦ θεοῦ, μάλιστα δὲ τοὺς ἡμαρτηκότας, μὴ ἀφιέντες ~εἰν αὐτούς...οὗτοι οὖν ἔχουσιν ἐλπίδα τοῦ μ. βλέπεις δὲ πολλοὺς ἐξ αὐτῶν καὶ μετανενοηκότας...καὶ ἔτι ~ήσουσιν ὅσοι δὲ οὐ ~ήσουσιν, ἀπώλεσαν τὴν ζωὴν αὐτῶν. ὅσοι δὲ μ. ... ἀγαθοὶ ἐγένοντο Herm.*sim.*8.6.5–7; *ib.*8.7.3; *ib.*9.26.8; εἰ δὲ τῷ τοιούτῳ [sc. David] ἄφεσις πρὶν μ. οὐκ ἐδόθη...πῶς οἱ ἀκάθαρτοι...ἐὰν μὴ...~ήσωσιν, ἐλπίδα ἔχειν δύνανται...; Just.*dial.*141.3(M.6.800A); Clem.*prot.*11(p.82.1; M. 8.236B); id.*str.*2.16(p.151.20; M.8.1012B); ἐὰν μ., ἐλπίδα σωτηρίας ἔξουσιν *Const.App.*2.12.3; αὐτὴν [sc. ψυχήν] πείθωμεν ὅτι ἥμαρτεν, ἵνα καὶ μ., καὶ ἵνα ~ήσασα ἀπαλλαγῇ τῶν κολάσεων Chrys.*hom.*31.3 *in Heb.*(12.289C); Proc.G.*Is.*59:1–18(M.87.2612C); Jo.Clim.*scal.*5(M. 88.777B); and various blessings ἐὰν δὲ μ.... δοξάζουσι τὸν θεόν Herm. *sim.*6.3.6; οἱ οὖν μ. ὁλοτελῶς νέοι ἔσονται καὶ τεθεμελιωμένοι id.*vis.*3. 13.4; τὸ ἐν χαρᾷ γεγονέναι τὸν μετανενοηκότα Clem.*str.*2.16(p.151.27; M.8.1012B); ἡ δὲ ~ήσασα οἷον ἀναγεννηθεῖσα...παλιγγενεσίαν ἔχει ζωῆς *ib.*2.23(p.193.25; 1097A); exchange of earthly for heavenly image, Or.*hom.*2.1 *in Jer.*(p.17.15; M.13.277C); ἀφανισθήσεται [sc. ἁμαρτήματα], ἐὰν θελήσωμεν μ. Chrys.*hom.*34.3 *in Jo.*(8.199E); **4.** ref. effects of not repenting ἐὰν...τις...μὴ μ., ἀπέχου ἀπ' αὐτοῦ καὶ μὴ συνζήθι αὐτῷ Herm.*mand.*4.1.9; id.*sim.*9.26.8; θεὸν...τότε κολάζοντα τοὺς μὴ μ. νῦν...μὴ θέλων μ. ... ἐν ἐκείνῃ τῇ ἡμέρᾳ...τῆς οἰκουμένης ἁπάσης ὁρώσης παραδειγματίζεται Chrys.*hom.*34.3 *in Jo.*(8.199A,B); **5.** ref. impossibility of repenting in next world ὡς οὖν ἐσμεν ἐπὶ γῆς, ~ώμεν...ἕως ἐσμὲν ἐν τούτῳ τῷ κόσμῳ, ἐν τῇ σαρκὶ ἃ ἐπράξαμεν πονηρὰ μ. ... ἵνα σωθῶμεν ὑπὸ τοῦ κυρίου...μετὰ γὰρ τὸ ἐξελθεῖν ἡμᾶς ἐκ τοῦ κόσμου, οὐκέτι δυνάμεθα...μ. *2Clem.*8.1–3; ἄπρακτα ~ῶν ἐπὶ τοῖς βουλευθεῖσιν, ὅταν ἴδῃς τὴν φαιδρότητα τῶν δικαίων Bas.*hom.* 13.8(2.122A; M.31.444A); or its futility ~ήσουσιν [sc. Jews], ὅτε οὐδὲν ὠφελήσουσι Just.*1apol.*52.9(M.6.405B); ἐὰν φθάσῃ ὁ Χριστὸς ἐλθεῖν, μάτην ~ήσετε id.*dial.*28.2(M.6.536A); σκώληκα...ἀτελεύτητον τὴν ἐν τῷ μ. τῶν ἰδίων ἁμαρτημάτων συνείδησιν Proc.G.*Is.*64:15–24 (M.87.2716D); **6.** ref. possibility of Devil repenting ὁ δὲ διάβολος αὐτεξούσιος ὢν καὶ ~ῆσαι οἷός τε ἦν καὶ κλέψαι Clem.*str.*1.17(p.54.4; M.8.797C); **7.** ref. eccl. regulations for penitents; penances to be imposed κελεύσεις [sc. bishop] εἰσελθεῖν αὐτόν, καὶ ἀνακρίνας, εἰ μ. ...στιβώσας αὐτὸν ἡμέραις νηστειῶν *Const.App.*2.16.2; *ib.*2.43.1; penitents to be received back into Church, *ib.*2.12.1 cit. s. ἁμαρτάνω; *ib.*2.18.2; ἐὰν δὲ τὸν μ. μὴ προσδέξῃ, ἐπιβούλοις αὐτὸν ἔκδοτον παρέχεις...δέξαι οὖν τὸν μ., μὴ διστάζων ὅλως *ib.*2.14.1,3; ὁ μὴ προσδεχόμενος τοὺς μ. σκορπίζει τὰ τοῦ Χριστοῦ *ib.*2.21.9; *ib.*2.24.4; Epiph. *haer.*61.7(p.388.4; M.41.1049B).

C. *make an inclination, bow*; as a greeting, *Apophth.Patr.*(M. 65.140A); as a sign of penitence, *ask pardon*, *ib.*(148C); *ib.*(148D).

μετάνοια, ἡ, I. *change of mind, afterthought*;

A. ref. Christian martyrs ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μ. *M.Polyc.*11.1; οἱ διάκονοι τῆς τυραννικῆς ὠμότητος ἐπὶ μετάνοιαν ἐκάλουν τὸν πεποιθότα Or.*mart.*24(p.21.29; M.11.593A); *ib.*(p.22.1; M.l.c.).

B. Gnost., ref. birth of aeons ἡ τοῦ πρώτου Χριστοῦ, σὺν τῷ Πνεύματι τῷ ἁγίῳ ἐκ μ. ὑπὸ τοῦ Πατρὸς αὐτῶν μεταγενεστέρα τῶν Αἰώνων γένεσις Iren.*haer.*1.3.1(M.7.468A).

II. *repentance, penitence*;

A. def. and descriptions ἡ μ. σύνεσίς ἐστιν μεγάλη Herm.*mand.* 4.2.2; ἱκανὴ...ἀνθρώπῳ κάθαρσις μ. ἀκριβὴς καὶ βεβαία, εἴγε κατεγνωκότες ἑαυτῶν ἐπὶ ταῖς προγενομέναις πράξεσι προΐεμεν [εἰς] τὸ πρόσθεν, μετὰ ταῦτα νοήσαντες καὶ τὸν νοῦν ἐξαναδύντες τῶν τε κατ' αἴσθησιν τερπόντων καὶ τῶν πρόσθεν πλημμελημάτων Clem.*str.*4.22 (p.311.13; M.8.1352C); βραδεῖα γὰρ γνῶσις μ., γνῶσις δὲ ἡ πρώτη ἀναμαρτησία *ib.*2.6(p.127.14; 901B); ἔστι ἡ μ. καλὴ σφόδρα, παρθένος, καθαρὰ καὶ ἐπιεικὴς καὶ πρᾶος· καὶ διὰ τοῦτο ὁ θεὸς ὁ ὕψιστος ἀγαπᾷ αὐτὴν καὶ πάντες οἱ ἄγγελοι αἰδοῦνται αὐτήν *Asen.*15(p.61.19); δεξώμεθα...μ. ... φάρμακον εἰς σωτηρίαν...μ. δέ ἐστιν, οὐχ ἡ λόγῳ κηρυττομένη, ἀλλ' ἡ πράγμασι βεβαιουμένη· μ. ἡ ἐξ αὐτῆς τῆς καρδίας ἐξαλείφουσα τὸν ῥύπον τῆς ἀσεβείας Chrys.*poenit.*7.3(2.331B,C); μ. δεινὴ καὶ φοβερὰ τῷ ἁμαρτωλῷ, φάρμακον τῶν πλημμελημάτων, δαπάνημα τῶν παρανομιῶν, ἀνάλωμα τῶν δακρύων, παρρησία πρὸς τὸν θεόν, ὅπλον κατὰ τοῦ διαβόλου...σωτηρίας ἐλπίς, ἀπογνώσεως ἀναίρεσις *ib.*8.1(341A); ἰατρεῖον γάρ ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ μ.· δῶρόν ἐστιν οὐράνιον, δύναμις θαυμαστή, χάριτι νικῶσα τὴν τῶν νόμων ἀκολουθίαν *ib.*7.1(327B); μ. δὲ λέγω, οὐ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ μείζονα ἐπιδείξασθαι καλά id.*hom.*10.6 *in Mt.*(7. 146E); ἔστι δὲ μ. τὸ μηκέτι τὰ αὐτὰ ποιεῖν id.*hom.*34.3 *in Jo.*(8.199E); μ. ῥίζα θεοσεβείας ‡Chrys.*leg.*6(6.413B); μ. ἐστι συνθήκη πρὸς θεὸν δευτέρου βίου. μ. ἐστι ταπεινώσεως ἀγοραστής. μ. ἐστι σωματικῆς κατακλήσεως διηνεκὴς ἀνελπιστία. μ. ἐστι αὐτοματόκριτος λογισμός, καὶ ἀμέριμνος αὐτομέριμνος. μ. ἐστι θυγάτηρ ἐλπίδος, καὶ ἄρνησις ἀνελπιστίας...μ. ἐστι διαλλαγὴ κυρίου, διὰ τῆς τῶν ἐναντίων τοῖς πταίσμασιν ἀγαθῶν ἐργασίας. μ. ἐστι συνειδότος καθαρισμός. μ. ἐκούσιος πάντων τῶν θλιβερῶν ὑπομονή...μ. ἐστι θλῖψις γαστρὸς ἰσχυρά, καὶ ψυχῆς πλῆξις ἐν αἰσθήσει κραταιᾷ Jo.Clim.*scal.*5(M.88.764B,C); μ. ἐστιν ἐκ τοῦ παρὰ φύσιν εἰς τὴν κατὰ φύσιν, καὶ ἐκ διαβόλου πρὸς τὸν θεὸν ἐπάνοδος...μ. ἐστι τὸ ἀποστρέψαι ἀπὸ τῆς ἁμαρτίας...μ. ἐστι καταλεῖψαι τὰ πρότερα, καὶ λυπεῖσθαι ὑπὲρ αὐτῶν *Schol.*1 *ib.*5(781B,C); *ib.*7 (801D).

B. ref. God as its author; **1.** in gen., *1Clem.*7.5; πάντας οὖν τοὺς ἀγαπητοὺς αὐτοῦ βουλόμενος μ. μετασχεῖν *ib.*8.5; ὁ θεὸς...μ. δοὺς ἡμῖν *Barn.*16.9; ἵνα ἴδῃς...τὴν πολυευσπλαγχνίαν τοῦ κυρίου...ἔδωκε πνεῦμα τοῖς ἀξίοις οὖσι μ. διατί...πάντες οὐ μετενόησαν; ἐὰν εἶδε, φησί, τὴν καρδίαν μέλλουσαν καθαρὰν γενέσθαι...τούτοις ἔδωκε τὴν μ.· ὧν δὲ εἶδε τὴν δολιότητα...ἐκείνοις οὐκ ἔδωκε μ. Herm.*sim.*8.6.1,2; id.*vis.*4.1.3; θέλει γὰρ ὁ πατὴρ ὁ οὐράνιος τὴν μ. τοῦ ἁμαρτωλοῦ Just. *1apol.*15.8(M.6.349C); *ib.*40.7(389B); ὁ κύριος...τὴν μ. ἀπαιτεῖ Clem. *prot.*10(p.67.31; M.8.204C); id.*paed.*1.8(p.130.28; M.8.333B); *ib.*3.12 (p.287.7f.; 672B,C); ἡ μ. ἐστι θυγάτηρ τοῦ ὑψίστου, καὶ αὕτη ἐκλιπαρεῖ τὸν θεὸν τὸν ὕψιστον ὑπὲρ...πάντων τῶν μετανοούντων, ἐπειδὴ πατήρ ἐστι τῆς μ. *Asen.*15(p.61.13ff.); *Const.App.*2.22.12; παντοκράτορ θεὲ ...ὁ...ἁμαρτόντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα *Lit.*ap.*Const.App.*8.9.8; προσάγωμεν...ἑαυτοῖς φάρμακον εἰς σωτηρίαν τὴν μ.· μᾶλλον δὲ δεξώμεθα παρὰ τοῦ θεοῦ τὴν μ. ἰατρεύουσαν ἡμᾶς. οὐ γὰρ ἡμεῖς αὐτῷ ταύτην προσάγομεν, ἀλλ' αὐτὸς ἡμῖν ταύτην ἐχορήγησεν Chrys.*poenit.*7.3(2.331A); **2.** mediated through Christ, *1Clem.* 7.4 cit. s. αἷμα; Ἰησοῦς...ἐξαπέστειλε τὸν λόγον τῆς κλήσεως καὶ τῆς μ. πρὸς τὰ ἔθνη ἅπαντα Just.*dial.*83.4(M.6.673A); ὁ παιδαγωγὸς... ἐπὶ τὴν μ. παρακαλεῖ...καὶ τὸ φιλάνθρωπον τὸ αὐτοῦ τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μ. χαριζόμενος Clem.*paed.*1.9(p.134.20,26; M.8. 341A); **3.** μ. in rel. to divine foreknowledge ἡ τοῦ θεοῦ πρόγνωσις οὐ

βλάπτει τὴν μ., ἐπειδὴ καὶ τοῦτο προγινώσκει, ὅτι καὶ τοῖς ἁμαρτωλοῖς ἔξεστι μεταθέσθαι ‡Chrys.*hom.in Ps.80*(5.742D).

C. ref. preachers of repentance, e.g. Noah, *1Clem.*7.6; *Orac.Sib.* 1.129; Jonah ἐβούλετο [sc. Celsus] ἡμᾶς μᾶλλον τὸν Ἰωνᾶν νομίσαι θεὸν ὑπὲρ Ἰησοῦν, Ἰωνᾶν, τὸν κηρύξαντα μ. μιᾷ πόλει τῇ Νινευή, προκρίνων Ἰησοῦ, τοῦ κηρύξαντος μ. ὅλῳ τῷ κόσμῳ Or.*Cels.*7.57 (p.206.20f.; M.11.1501C); Jeremiah, *Const.App.*2.14.2; Chrys.*poenit.* 3.4(2.300A); Joel, †Jo.Jej.*serm.*(M.88.1920B); Christ, prophets, and apostles οἱ λειτουργοὶ τῆς χάριτος τοῦ θεοῦ διὰ πνεύματος ἁγίου περὶ μετανοίας ἐλάλησαν, καὶ αὐτὸς δὲ ὁ δεσπότης τῶν ἁπάντων περὶ μ. ἐλάλησεν μετὰ ὅρκου *1Clem.*8.1,2; οἱ λόγοι τῶν προφητῶν, οἱ λόγοι τοῦ νόμου, οἱ λόγοι τῶν ἀποστόλων, οἱ λόγοι τοῦ κυρίου...λέγουσιν ἡμῖν περὶ μετανοίας Or.*hom.*1.4 *in Jer.*(p.3.21; M.13.260A); *Const. App.*2.55.1.

D. in rel. to baptism, v. *βάπτισμα, λουτρόν*: οὔτε οὖν μ. ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν Chrys.*hom.*9.2 *in Heb.*(12.95B); ἐν πάσῃ ἐργασίᾳ μετανοίας ἕνα θεμέλιον εἶναι τὸ βάπτισμα Marc.Er.*opusc.*3.7(M.65.976D).

E. ref. question of post-baptismal repentance; **1.** possibility of one repentance asserted ἤκουσα...ὅτι ἑτέρα μ. οὐκ ἔστιν εἰ μὴ ἐκείνη, ὅτε εἰς ὕδωρ κατέβημεν καὶ ἐλάβομεν ἄφεσιν ἁμαρτιῶν ἡμῶν τῶν προτέρων. λέγει μοι· καλῶς ἤκουσας· οὕτω γὰρ ἔχει...οἱ γὰρ νῦν πιστεύσαντες ἢ μέλλοντες πιστεύειν μ. ἁμαρτιῶν οὐκ ἔχουσιν, ἄφεσιν δὲ ἔχουσι τῶν προτέρων ἁμαρτιῶν αὐτῶν. τοῖς οὖν κληθεῖσι πρὸ τούτων τῶν ἡμερῶν ἔθηκεν ὁ κύριος μ. καρδιογνώστης γὰρ ὢν ὁ κύριος ...ἔγνω τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ τὴν πολυπλοκίαν τοῦ διαβόλου...ἐσπλαγχνίσθη ἐπὶ τὴν ποίησιν αὐτοῦ καὶ ἔθηκεν τὴν μ. ταύτην, καὶ ἐμοὶ [sc. angel of repentance] ἡ ἐξουσία τῆς μ. ταύτης ἐδόθη. ἀλλὰ ἐγώ σοι λέγω, φησί· μετὰ τὴν κλῆσιν ἐκείνην τὴν μεγάλην...ἐάν τις ἐκπειρασθεὶς ὑπὸ τοῦ διαβόλου ἁμαρτήσῃ, μίαν μ. ἔχει Herm.*mand.* 4.3.1–6; cf.*ib.*4.1.8; id.*vis.*3.7.5; ἐπὶ γὰρ τῇ πρώτῃ καὶ μόνῃ μ. τῶν ἁμαρτιῶν (αὕτη ἂν εἴη τῶν προϋπαρξάντων κατὰ τὸν ἐθνικὸν...βίον, τὸν ἐν ἀγνοίᾳ λέγω) αὐτίκα τοῖς κληθεῖσι πρόκειται μ. ἡ καθαίρουσα τὸν τόπον τῆς ψυχῆς ἀπὸ τῶν πλημμελημάτων, ἵνα ἡ πίστις θεμελιωθῇ... ἔδωκεν οὖν ἄλλην ἔτι τοῖς κἂν τῇ πίστει περιπίπτουσί τινι πλημμελήματι πολυέλεος ὢν μ. δευτέραν, ἵν' εἴ τις ἐκπειρασθείη μετὰ τὴν κλῆσιν... μίαν μ. ἀμετανόητον λάβῃ Clem.*str.*2.13(p.143.16–28; M.8.993B–996A); **2.** in Novatianist controversy; **a.** arising over Novatian's refusal to readmit *lapsi* in Decian persecution agst. policy of Cyprian, Cornelius and in some measure of Dion. Al. and agst. leniency recommended by confessors οἱ θεῖοι μάρτυρες...τῶν παραπεπτωκότων ἀδελφῶν τινας...προσελάβοντο, καὶ τὴν...μ. αὐτῶν ἰδόντες δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ...τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μ. δοκιμάσαντες, εἰσεδέξαντο...καὶ προσευχῶν αὐτοῖς καὶ ἑστιάσεων ἐκοινώνησαν Dion.Al.ap.Eus.*h.e.*6.42.5(M.20.613C); γράφει [sc. Dion. Al.]...τοῖς κατ' Αἴγυπτον ἐπιστολὴν περὶ μετανοίας, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατίθεται Eus.*ib.*6.46.1(633C); δόγμα παρίσταται τοῖς πᾶσιν, τὸν μὲν Νοουάτου...ἐν ἀλλοτρίοις τῆς ἐκκλησίας ἡγεῖσθαι, τοὺς δὲ τῇ συμφορᾷ περιπεπτωκότας...θεραπεύειν τοῖς τῆς μ. φαρμάκοις *ib.*6.43.2(616C); Διονύσιος Ἀλεξανδρίας ἐπίσκοπος, πολλῶν ὑποπεσόντων αὐτῷ τῶν ἐν τῷ διωγμῷ Δεκίου, ὀρέγων αὐτοῖς χεῖρα μετανοίας ἐξευμενίσασθαι τὸν θεόν, πολλοῖς τῶν ἐπισκόπων περὶ αὐτῶν γράφει· ἐν οἷς ἀρθεὶς ὑπερηφανίᾳ Ναύατος...ἔλεγεν μὴ δεῖν αὐτοὺς δεχθῆναι *Chron.Pasch.*p.271(M.92.672B); **b.** developing into Novatianists' refusal to admit any post-baptismal repentance εἰ τῶν μετὰ τὸ λουτρὸν ἁμαρτανόντων...ἀσύγγνωστός ἐστιν ἡ τῶν πλημμελημάτων δίκη...τί δὲ καὶ Νουάτῳ μεμφόμεθα ἀναιροῦντι μ.; Ath.*ep. Serap.*4.13(M.26.653D); μίαν μ., μετὰ δὲ τὸ λουτρὸν μηκέτι δύνασθαί τινα ἐλεεῖσθαι παραπεπτωκότα Epiph.*haer.*59.1(p.364.3; M.41.1017B); Marc.Er.*opusc.*3.7(M.65.976C); Nil.*epp.*3.243(M.79.497B); *ib.*2.155 (273A); Thdt.*haer.*3.5(4.345); **c.** orthodox arguments against this; refutation of Novatianist exegesis of Heb.6:4ff. and 12:17 τὸ ἐν τῇ πρὸς Ἑβραίους εἰρημένον οὐκ ἐκκλεῖον ἐστι τῶν ἁμαρτανόντων τὴν μ., ἀλλὰ δεικνύον ἓν εἶναι τὸ τῆς καθολικῆς ἐκκλησίας βάπτισμα...Ἑβραίοις γὰρ ἔγραφε· καὶ ἵνα μὴ νομίσωσι κατὰ τὴν ἐν τῷ νόμῳ συνήθειαν, προφάσει μ. εἶναι πολλὰ...βαπτίσματα, διὰ τοῦτο μετανοεῖν μὲν παραινεῖ, μίαν δὲ εἶναι τὴν ἀνακαίνισιν διὰ τοῦ βαπτίσματος...οὐδὲ γὰρ ...ἀδύνατον μετανοεῖν· ἀλλ' ἀδύνατον προφάσει μ. ἀνακαινίζειν ἡμᾶς Ath.*ep.Serap.*4.13(M.26.656A); ἀνακαινίζειν, φησίν, εἰς μ.· τουτέστι, διὰ μετανοίας·...ἐκβέβληται ἡ μ.; οὐχ ἡ μ. ... ἀλλ' ὁ διὰ τοῦ λουτροῦ πάλιν ἀνακαινισμός...ἀνακαινισθῆναι, τουτέστιν καινὸν γενέσθαι· τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν...τῆς δὲ μ. ἐστὶ τό, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος Chrys.*hom.*9.3 *in Heb.*(12.96C); ποῦ εἰσιν οἱ λέγοντες τὸν ἀπόστολον ἐν ταύτῃ τῇ ἐπιστολῇ ἀναιρεῖν τὴν μ.; ... χωλοῦ δὲ ἴασιν ποίαν βούλεται γενέσθαι ὁ μ. τῶν ἡμαρτηκότων οὐ προσιέμενος; Thdr. Mops.*Heb.*12:12f.(pp.210.27–211.1; M.66.968A); οὐ τὴν μ. ἀνελεῖν διὰ τούτων βούλεται, ἀλλὰ διδάξαι ὡς οὐκ ἔνεστιν ἐν καιρῷ τὴν προσήκουσαν διόρθωσιν ⟨μὴ⟩ ἐπιδειξαμένους ὕστερον αὐτὴν ἀνακτᾶσθαι, ὅταν ὁ τῆς ἀνταποδόσεως καιρὸς καταλλήλως ἐπάγεσθαι τῷ ἑκάστου τρόπῳ μέλλῃ *ib.*12:17(p.211.6; 968A); scriptural proofs λέγομεν δὲ καὶ ἡμεῖς νῦν ἀπὸ παλαιᾶς, εἴπωμεν τί ἀντιλέγουσι πρὸς τὰ ἐκ τῆς παλαιᾶς λεγόμενα. λέγουσι γὰρ ὅτι πρὸ τοῦ πάθους σωτῆρος...ἐὰν ἀπὸ τῆς παλαιᾶς ἀναγνῶτε ἡμῖν περὶ μετανοίας, λέγομεν, ὅτι ἐν τῇ παλαιᾷ συγκεχώρηται· ἐν δὲ τῇ καινῇ διὰ τὸ πάθος οὐκ ἔσται συγχώρησις. ἐὰν δὲ ἀπὸ τῆς καινῆς δείξωμεν, ὅτι καὶ μετὰ τὸ βάπτισμα...ἁμαρτήσας τις ἀνακαλεῖται διὰ μετανοίας τὸ χάρισμα, δῆλον ὅτι ἔστι μ. τοῖς παραπεσοῦσι καὶ μετὰ τὸ βάπτισμα· καὶ τὰ ἐν τῇ παλαιᾷ ἔσται ὑπὲρ τῆς μ. μυρία †Bas.*poenit.*2(2.604A; M.31.1476D–1477A) citing proofs from Ezech.33:11, Jon.3:10, etc.; ἐλθωμεν ἐπὶ τὴν καινήν. ἀφ' ἧς γὰρ μάλιστα θέλουσιν ἀποκλεῖσαι τὴν μ., ἀπ' αὐτῆς μάλιστα κηρύττεται ἡ μ. *ib.*3(605C; M.1480C) citing Mt.9:13, Lc.15:5ff.; δύο, φησίν, ἦσαν...υἱοί· οὐ δύνασαί μοι εἰπεῖν, ὅτι ἡ ἀπὸ Ἑλλήνων ἐστὶν ἡ ὧδε μ., ἀλλ' ἀμφότεροι υἱοί, ἐξ ἴσου μερίσαντες...ἀναλώσας δὲ πάντα, ἦλθεν ἐπὶ μετάνοιαν *ib.*(605D; M.l.c.); from Lord's Prayer εἰ τοίνυν πιστοῖς προσήκει ἡ εὐχή, εὔχονται δὲ οὗτοι ἁμαρτήματα ἑαυτοῖς ἀφεθῆναι δεόμενοι, δῆλον ὅτι οὐδὲ μετὰ τὸ λουτρὸν ἀνῄρηται τῆς μ. τὸ κέρδος Chrys.*hom.*19.5 *in Mt.*(7.252C); **d.** orthodox position established, esp. ref. distinction between baptismal and other forms of repentance θέλω τοὺς λαμβάνοντας τὸ βάπτισμα μὴ ἁμαρτάνειν. εἰ δὲ παραπίπτοιέν ποτέ τινες μὴ βουλόμενοι, οὐ βούλομαι ὃ βούλονται οἱ τὴν μ. ἀναιροῦντες, μὴ βουλόμενοι συναποθανεῖν ἡμᾶς τῷ σταυρῷ †Bas.*poenit.*6(2.608B; M.31.1485C); Epiph.*haer.*59.1(p.364.14; M.41. 1020A) cit. s. μεταμέλεια; μετὰ γὰρ τὴν πρώτην μ. τὴν διὰ λουτροῦ... ἐν ᾗ μ. ἀνεκαινίσθη πᾶς ἄνθρωπος, δευτέρα τις τοιαύτη οὐχ ὑπάρχει... τούτου χάριν ἐπασφαλίσασθαι δεῖ, ἵνα μὴ...τὸν στέφανον τοῦ ἀνακαινισμοῦ ἀπολέσωμεν. ἀλλὰ ἐάν τις παραπέσῃ...μετανοείτω. δέχεται γὰρ ὁ θεὸς τὴν μ. καὶ μετὰ τὸ βάπτισμα *ib.*59.5(pp.369.22–370.3; 1025C,D); and ref. love of God, *ib.*59.2(p.365.27; 1020C); Chrys.*exp.in l's.*127:1 (5.360D).

F. eccl. legislation; **1.** ref. *lapsi* during persecution; **a.** their works of penance οἱ ἀπὸ τοῦ διωγμοῦ παραπεπτωκότες, καὶ αὐτοὶ ἐὰν ἐνδείξωνται τελείαν τὴν μ., ἐν σάκκῳ καὶ σποδῷ...κλαύσαντες ἐνώπιον κυρίου δυνατός ἐστιν ὁ εὐεργέτης καὶ αὐτὸς ἐλεῆσαι· οὐ γάρ τι φαῦλον γίνεται ἀπὸ μ. Epiph.*haer.*59.7(p.372.23,25; M.41.1029D); *ib.* 68.2(p.141.26; M.42.185D); **b.** ref. Meletian schism κίνησις ἐγένετο ἀνὰ μέσον τῶν μαρτύρων...τῶν μὲν λεγόντων τοὺς ἅπαξ παραπεσόντας ...μὴ δεῖν ἀξιοῦσθαι εἰς μ. ... ἦσαν δὲ οἱ τοῦτο λέγοντες Μελίτιος καὶ Πηλεὺς καί τινες ἄλλοι πλείους τῶν μαρτύρων καὶ ὁμολογητῶν... ἔφασκον δέ, εἰ ἅρα μετὰ τὸ παύσασθαι τὸν διωγμὸν μετὰ χρόνον ἱκανὸν δίδοσθαι τοῖς προειρημένοις μ. ... ἐὰν...καρπὸν τῆς μ. αὐτῶν ἐπιδείξωνται, οὐ μὴν ἵνα ἕκαστος δεξιωθῇ ἐν τῷ ἰδίῳ κλήρῳ *ib.* (p.142.3ff.; M.42.185C); orthodox counter-argument εὔσπλαγχνος ὤν [sc. Petr. I Al.]...καθικέτευε λέγων· δεξώμεθα αὐτοὺς μετανοοῦντας καὶ τάξωμεν αὐτοῖς μ. εἰς τὸ παρακαθέζεσθαι τῇ ἐκκλησίᾳ, καὶ μὴ ἀποστρέψωμεν αὐτοὺς μήτε τῶν κλήρων...μή ποτε...διὰ παρολκὴν τοῦ χρόνου οἱ ἅπαξ ἀπὸ ἀνανδρίας...ὑπὸ διαβόλου ἐπισεισθέντες...τελείως ἐκτραπῶσι καὶ μὴ ἰαθῶσιν *ib.*68.3(p.142.18; 188A); **2.** ref. heretics ἀναθεματίσαντες τὴν Ἀρειανὴν αἵρεσιν ἔγγραφον τὴν μ. αὐτῶν Ath. *h.Ar.*26(p.197.10; M.25.724A); τὴν μ. Οὐρσακίου καὶ Οὐάλεντος στηλιτεύοντες *ib.*34(p.202.17; 733A); τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή...οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μ. Bas.*ep.*188 can.5(3.272A; M.32.673B); δέξαι ἡμᾶς [sc. Ursacius and Valens] εἰς κοινωνίαν καὶ μ. καὶ πρὸς αὐτὸν δὲ τὸν Ἀθανάσιον ταῖς αὐτῶν ἐχρήσαντο ἐγγράφοις διὰ μετανοίας συστάσεσιν Epiph.*haer.*68.9(p.149.23,25; M.42.197D); **3.** ref. second marriage μ. αἰτοῦντος τοῦ διγάμου CNeocaes.*can.*7; **4.** ref. class of penitents in Church; **a.** in gen. ἐδέχθησαν εἰς μ. CAnc.(314)*can.*6; πρεσβύτερος... ἐὰν δὲ πορνεύσῃ...ἄγεσθαι αὐτὸν εἰς μ. CNeocaes.*can.*1; *ib.*2; CLaod. *can.*19; εὔξασθε, οἱ ἐν μ. *Lit.*ap.*Const.App.*8.9.2; *ib.*8.12.47; οἱ ἐνεργούμενοι καὶ οἱ ἐν μ. Dion.Ar.*e.h.*3.2(M.3.425C); *ib.*3.3.6(432C); as a special degree dist. from others under discipline χρὴ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν...τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ εἰς μ. Bas.*ep.*199 *can.*22(3.293C; M.32.724A); **b.** their status and treatment in church ὡς τελώνην οὕτω ἢ ἐθνικὸν ἔχε τὸν ἐπὶ κακῷ ἔργῳ ἐλεχθέντα...μέχρις οὗ μ. καρπὸν ἐπιδείξωσιν, ἐπιτρέπομεν εἰσέρχεσθαι...μὴ κοινωνείτωσαν δὲ ἐν τῇ προσευχῇ, ἀλλ' ἐξερχέσθωσαν μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελίου *Const.App.*2.39.6; εἰ δὲ ἐπιστραφείς μ. καρπὸν ἐπιδείξηται, τότε καὶ εἰς προσευχὴν εἰσδέξασθε αὐτόν...καὶ τοῦτον χειροθετήσας, ὡς ἂν μ. κεκαθαρμένον...ἀποκαταστήσεις αὐτόν *ib.*2.41.1,2; ref. adulterous women αὐτὰς ἄνευ κοινωνίας προσέταξαν, μέχρι τοῦ συμπληροῦσθαι

τὸν χρόνον τῆς μ. Bas.*ep.*199 *can.*34(3.295C); M.32.728B); **c.** their penitence to be judged by intensity rather than length of time, *ib.*188 *can.*2(271B; M.672B); *ib.*217 *can.*84(330C; M.808B); **5.** *πρεσβύτερος ἐπὶ τῆς μ.*: *ὑπὸ δὲ τὸν αὐτὸν χρόνον* [sc. after Decian persecution] *ἔδοξε καὶ τοὺς ἐπὶ τῆς μ. περιελεῖν πρεσβυτέρους τῶν ἐκκλησιῶν δι' αἰτίαν τοιαύτην. ἀφ' οὗ Ναυατιανοὶ τῆς ἐκκλησίας διεκρίθησαν, τοῖς ἑπταικόσιν ἐν τῷ ἐπὶ Δεκίου διωγμῷ κοινωνῆσαι μὴ θελήσαντες, οἱ ἐπίσκοποι τῷ ἐκκλησιαστικῷ κανόνι τὸν πρεσβύτερον τὸν ἐπὶ τῆς μ. προσέθεσαν, ὅπως ἂν οἱ μετὰ τὸ βάπτισμα πταίσαντες ἐπὶ τοῦ προβληθέντος τούτου πρεσβυτέρου ἐξομολογῶνται τὰ ἁμαρτήματα. οὗτος ὁ κανὼν κρατεῖ μεχρὶ νῦν ἐν ταῖς ἄλλαις αἱρέσεσι· μόνοι δὲ οἱ τοῦ 'Ομοουσίου φρονήματος καὶ οἱ...Ναυατιανοὶ τὸν ἐπὶ τῆς μ. πρεσβύτερον παρητήσαντο. Ναυατιανοὶ μὲν γὰρ οὐδὲ τὴν ἀρχὴν τὴν προσθήκην ταύτην ἐδέξαντο· οἱ δὲ νῦν τῶν ἐκκλησιῶν κρατοῦντες ἕως πολλοῦ φυλάξαντες, ἐπὶ Νεκταρίου τοῦ ἐπισκόπου μετέθεσαν, τοιούτου τινὸς ἐπὶ τὴν ἐκκλησίαν συμβάντος...ὅτι καὶ τῇ ἐκκλησίᾳ βλασφημίαν ἡ πρᾶξις καὶ ὕβριν προὐξένησεν...Εὐδαίμων τις τῆς ἐκκλησίας πρεσβύτερος...γνώμην τῷ ἐπισκόπῳ δίδωσι Νεκταρίῳ περιελεῖν μὲν τὸν ἐπὶ τῆς μ. πρεσβύτερον· συγχωρῆσαι δὲ ἕκαστον τῷ ἰδίῳ συνειδότι τῶν μυστηρίων μετέχειν* Socr.*h.e.*5.19.1–9(M.67.613A–617A); cf.Soz.*h.e.* 7.16(M.67.1457C–1464A).

G. repentance and confession of sins *ἐπεὶ...τῆς ἐπιστροφῆς ὁ τρόπος οἰκεῖος ὀφείλει εἶναι τοῦ ἁμαρτήματος, καὶ καρπῶν δὲ χρεία ἀξίων τῆς μ. ... ἀναγκαῖον τοῖς πεπιστευμένοις τὴν οἰκονομίαν τῶν μυστηρίων τοῦ θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα* Bas.*reg.br.*288(2. 516D; M.31.1284C); *ἐπταπλασίονα...τὴν ἀντίδοσιν ἡμῖν χρεωστουμένην τοῖς ἁμαρτωλοῖς συγχωρήσει ὁ κύριος ἐνταῦθα, εἰ διὰ μ. καὶ ἐξομολογήσεως ἐξιλεωθείη παρ' ἡμῶν* ‡Bas.*struct.hom.*2.8(1.342D; M.30.52A); *ἁμαρτία...κρύπτεται...μ. καὶ ἐξομολογήσει* Chrys.*hom. 48.5 in Mt.*(7.500A); Thdt.*Ps.*6:6(1.642); Proc.G.*Is.*59:1–18(M.87. 2608B); *εἰδὼς γὰρ ὁ σωτὴρ...ὅτι νέοι βαπτιζόμενοι καὶ προβαίνοντες ἐν ἡλικίᾳ μολύνομεν διὰ τὰς ἁμαρτίας τὸν...χιτῶνα τῆς ἀφθαρσίας, δέδωκεν ἡμῖν...δι' ἐξομολογήσεως καὶ μ. καθαίρειν τοῦτον* †Jo.Jej. *serm.*(M.88.1921B); †Jo.Jej.*poenit.*(M.88.1897A); *ὁ κύριος...ἔδωκε νόμον εἰς βοήθειαν...μοναχοὺς δὲ πάλιν ⟨εἰς⟩ τὸ παραινεῖν, ἐπὶ τὸ ἐξομολογεῖσθαι εἰς αὐτοὺς μετὰ μετανοίας* †Jo.Jej.*serm.*(1920A).

H. repentance in spiritual life; **1.** causes: prayer of intercession, Ign.*Eph.*10.1; piety *ἡ οὖν εὐλάβεια λογικὴ δείκνυται, τοῦ βλάπτοντος ἔκκλισις οὖσα, ἐξ ἧς ἡ μ. προημαρτημένων φύεται* Clem.*str.*2.7(p.130. 19; M.8.968C); commandments, *ib.*(p.131.18; 969C); fear of the Lord, *ib.*2.9(p.134.16; 976B); Chrys.*hom.11.3 in Mt.*(7.152E); **2.** importance and universality *συνιστῶμεν δὲ μ., οὐχ ἁμαρτίαν ἀδελφοῦ προτρεπόμενοι (οὐ γὰρ ἐλπίδι μ. βουλόμεθα ἐφ' ἁμαρτίαν ἰέναι τὸν ἁμαρτήσαντα), ἀλλ' ἀναστῆσαι τὸν πεσόντα σπεύδοντες...ἡ δὲ προσδοκία τῆς μ. τὸν πεσόντα ἀναστῆναι...προτρέπεται* †Bas.*poenit.*1(2.603C; M. 31.1476B); *περὶ μετανοίας τὸν λόγον...ἐλέγομεν, ὅτι πολλαὶ καὶ ποικίλαι ὁδοὶ τῆς μ., ἵνα εὔκολος ἡμῖν γένηται ἡ σωτηρία* Chrys.*poenit.*3. 1(2.295A); *ib.*3.4(300A); *τῇ χειρὶ τῆς μ. ὑμᾶς ἐγχειρίζω, ἵνα μάθητε αὐτῆς τὴν δύναμιν...τὴν ἰσχύν, ἵνα μάθητε ὅτι οὐ περιγίνεται αὐτῆς ἁμάρτημα ib.*8.3(344D); *ὁρᾷς πῶς καὶ ταχίστη καὶ πολλὴ τῆς μ. ὠφέλεια; ὀλίγα κολάσας αὐτὸν ὑπὲρ ἁμαρτημάτων...ἐπειδὴ εἶδον κατηφῆ γενόμενον...καὶ αὐτὴν τὴν μικρὰν ἀνῆκα τιμωρίαν· οὕτω καὶ ἕτοιμός ἐστι πρὸς τὰς ἡμετέρας καταλλαγὰς ὁ θεός* id.*pan.mart.*1.4(2. 656A); *τὸ τῆς μ. φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα ἱκανὸν ἀφανίσαι* id.*hom.9.4 in Heb.*(12.98C); id.*dimiss.Chan.*2(3.434E); id. *hom.24.3 in Ac.*(9.196B); *μεγάλη...τῆς μ. ἡ δύναμις, εἴγε ἡμᾶς ὥσπερ χιόνα ἐργάζεται...κἂν προλαβοῦσα ἡ ἁμαρτία πολλῷ χρόνῳ κατέβλαψε τὴν ψυχὴν φαύλως* Nil.*epp.*2.239(M.79.324A); *ἡ ποικιλία τῶν ἐντολῶν εἰς ἕνα καταλήγει τὸν τῆς μ. ὅρον* Marc.Er.*opusc.*3.1(M. 65.965B); *μ. ... οὔτε καιροῖς οὔτε πράγμασι περιώρισται, ἀλλὰ διὰ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἀναλόγως ἐπιτηδεύεται ib.*3.6(973D); *πᾶσι πάντοτε προσήκειν οἶμαι τὴν μ. ἁμαρτωλοῖς τε καὶ δικαίοις ib.*3.7 (976B); *μικροῖς τε καὶ μεγάλοις ἕως θανάτου ἀτέλεστος ἡ μ. ib.*3.11 (980D); *λέγεις· οὐ δύναμαι τελείαν ἐπιδείξασθαι τὴν μ. ... βέλτιόν σε ἔχειν κἂν ὀλίγα κατορθώματα, ἢ ὅλως μὴ ἔχειν μηδέν* †Jo.Jej.*serm.*(M. 88.1956C); Ant.Mon.*hom.*77(M.89.1657C); hence possibility of deathbed repentance, Nil.*epp.*2.229(317D); *εἰ μέχρι τῆς ἐσχάτης τρῦ ἀνθρώπου ἀναπνοῆς, τὴν οἰκείαν ἰσχὺν δείκνυσιν ἡ...μ., καὶ ἐν αὐταῖς προσλαμβανομένη ταῖς τοῦ θανάτου πύλαις...καὶ μέλλειν ἐξιέναι τοῦ σταδίου δικαιοῦσα...τὸν ἐξαμαρτήσαντα ib.*3.270(518D); cf.†Gregent. *leg.Hom.*(M.86.573C); and for Judas to have been saved by repentance, Chrys.*poenit.*1.3(2.284C); **3.** two kinds of repentance; **a.** true, Herm.*mand.*12.3.2; id.*sim.*7.6; *ἡ δ' ἀληθινὴ μ. τὸ μηκέτι τοῖς αὐτοῖς ἔνοχον εἶναι, ἀλλὰ ἄρδην ἐκριζῶσαι τῆς ψυχῆς ἐφ' οἷς ἑαυτοῦ κατέγνω θάνατον ἁμαρτήμασιν* Clem.*q.d.s.*39(p.185.17; M.9. 644C); Bas.*reg.br.*13(2.419A; M.31.1092A); Chrys.*hom.31.3 in Heb.* (12.287E–288A); *θέλει δὲ ὁ ἐν ἀληθείᾳ μετανοῶν ἐφ' οἷς ἔπραξε κακοῖς καὶ ἑαυτὸν ἐπιμέμφεσθαι, καὶ τὰ παρ' ἄλλων ὀνείδη καρτερῶς φέρειν· μ. γάρ ἐστι τὸ ὑπ' ἀφρόνων χλευάζεσθαι...καὶ ὁλοκαρδίως προσφέρειν τῷ θεῷ ἐξομολόγησιν* Ant.Mon.*hom.*77(M.89.1661D); **b.** spurious, simulated *ἐὰν γὰρ μὴ πορευθῶσιν ἐν αὐταῖς* [sc. *ἐντολαῖς*], *εἰς μάτην ἐστὶν ἡ μ. αὐτῶν* Herm.*sim.*6.1.3; *αἱ δὲ συνεχεῖς καὶ ἐπάλληλοι ἐπὶ τοῖς ἁμαρτήμασι μ. οὐδὲν τῶν καθάπαξ μὴ πεπιστευκότων διαφέρουσιν ἢ μόνῳ τῷ συναίσθεσθαι ὅτι ἁμαρτάνουσι* Clem.*str.*2.13(p.144.1; M.8. 996B); *ib.*(p.144.21; 996C); *οἶδα πολλοὺς ἐγώ, οἳ λέγουσι μὲν πενθεῖν τὰ ἁμαρτήματα, οὐδὲν δὲ μέγα ἐργάζονται, ἀλλὰ νηστεύουσι μὲν καὶ τραχέα φοροῦσιν ἱμάτια, χρημάτων δὲ μᾶλλον τῶν καπηλευόντων ἐφίενται...καὶ κακηγορίαις χαίρουσι μᾶλλον, ἢ ἐγκωμίοις ἕτεροι. οὐκ ἔστι ταῦτα μ.· εἰκὼν ἐστι μετανοίας ταῦτα καὶ σκιὰ μόνον* Chrys.*hom. 4.5 in 2Cor.*(10.462Cf.); **c.** the two contrasted *Νινευῖται...πενθοῦντες ἐπὶ τοῖς ἁμαρτήμασιν, ἃ...'Ιωνᾶς ἐξεβόησεν, οὐ τὰ βρέφη μόνον εἰς τὴν μ. προεστήσαντο...ἀλλὰ πρώτους μὲν ἐδάμασε τοὺς πατέρας τοὺς ἡμαρτηκότας ἡ νηστεία...ὦ τῆς ἐμμελοῦς μ. ... τοιαύτη τῶν ἁμαρτίας ἐνεχομένων ἡ μ. ἡμεῖς δὲ τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόνως, ὀλιγώρως δὲ...ἀναλαμβάνομεν τὴν μ.* Bas.*hom.*8.3,4(2.64E–65D; M.31. 312A–313A); **d.** full and partial repentance *ἡ μ. διισή· ἡ μὲν κοινὴ ἐπὶ τῷ πεπλημμεληκέναι, ἡ δέ, τὴν φύσιν τῆς ἁμαρτίας καταμαθοῦσα, ἀφίστασθαι τοῦ ἁμαρτάνειν αὐτοῦ κατὰ προηγούμενον λόγον πείθει, ᾧ ἕπεται τὸ μὴ ἁμαρτάνειν* Clem.*str.*6.12(p.481.2; M.9.320A); **4.** various expressions of repentance; **a.** confession, Chrys.*poenit.*2.1(2.287B); **b.** sorrow, *ib.*2.3(290A); **c.** humility *ἔχεις δὲ καὶ τρίτην ὁδὸν μ.· πολλὰς δὲ ὁδοὺς μ. εἶπον, ἵνα τῇ ποικιλίᾳ τῶν ὁδῶν εὔκολόν σοι τὴν σωτηρίαν ἐργάσωμαι. ποία δὲ αὕτη ἡ τρίτη ὁδός; ἡ ταπεινοφροσύνη· ταπεινοφρόνησον, καὶ ἔλυσας τὰς σειρὰς τῶν ἁμαρτιῶν ib.*2.4(292A); **d.** alms-giving, *2Clem.*16.4; *τετάρτην ὁδὸν μ. πράξωμεν...λέγω δὴ τὴν ἐλεημοσύνην* Chrys.*poenit.*3.1(2.295C); *μ. ἐκτὸς ἐλεημοσύνης νεκρά ἐστι...οὐ δύναται μ. πτερωθῆναι, μὴ ἔχουσα πτερὸν ἐλεημοσύνης ib.*7. 6(336C); **e.** prayer, *ib.*3.4(299C); **f.** tears, Bas.*moral.*1.2(2.235A; M.31.701A); id.*reg.br.*10(2.417E; M.31.1088C); Chrys.*poenit.*3.4(2. 300C); **g.** outward sign of sackcloth, Bas.*hom.in Is.*29(1.131B; M.29.321C); †Bas.*Is.*196(1.526A; M.30.457A); **h.** summary *βούλεσθε εἴπω καὶ μετανοίας ὁδούς; πολλαί τινές εἰσι...ἔστι πρώτη μ. ὁδὸς ἁμαρτημάτων κατάγνωσις...ὁ γὰρ καταγνοὺς τῶν ἡμαρτημένων, ὀκνηρότερός ἐστι πρὸς τὸ τοῖς αὐτοῖς πάλιν περιπεσεῖν...μία μὲν οὖν μ. ὁδὸς ἀρίστη αὕτη· ἔτι δὲ καὶ ἑτέρα ταύτης οὐκ ἐλάττων, τὸ μὴ μνησικακεῖν τοῖς ἐχθροῖς...βούλει καὶ τρίτην μαθεῖν μ. ὁδόν; εὐχὴ ζέουσα...εἰ δὲ καὶ τετάρτην θέλεις μαθεῖν, τὴν ἐλεημοσύνην ἐρῶ...καὶ τὸ μετριάζειν δὲ καὶ ταπεινοφρονεῖν τῶν εἰρημένων ἁπάντων οὐχ ἧττον δαπανᾷ ἁμαρτημάτων φύσιν...ἰδοὺ πέντε μ. ὁδοὺς ἐδείξαμεν* Chrys.*diab.*2.6 (2.266A–E); *πρέπον τῇ ἰσχυούσῃ ψυχῇ, δι' ἔργων ποιεῖσθαι τὴν ἐξομολόγησιν, οἷον δὴ νηστείας, καὶ ἀγρυπνίας τε, καὶ σάκκου, καὶ σποδοῦ ὑποστρώσεως καὶ ἐλεημοσύνης ἀφειδοῦς...καὶ τῶν ἄλλων καρπῶν τῶν κεχρεωστημένων τῇ ἀκριβεῖ μ.* Nil.*epp.*3.243(M.79.497C); *τὸ τῆς μ. ἔργον ἐν ταῖς τριαὶ ταύταις ἀρεταῖς ἐξυφαίνεται· ἐν τῷ λογισμοὺς καθαρεῖν, καὶ ἀδιαλείπτως προσεύχεσθαι, καὶ τὰς ἐπερχομένας θλίψας ὑποφέρειν...ἄνευ τῶν προειρημένων τριῶν ἀρετῶν οὐ δύναται τελειωθῆναι τὸ τῆς μ. ἔργον Schol.*29 in Jo.Clim.*scal.*5(M.88.792C,D); *πέντε εἰσὶν οἱ τρόποι τῆς μ.· κατάγνωσις τῶν ἡμαρτημένων· τὸ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα· τὸ εὔχεσθαι· τὸ ἐλεεῖν· τὸ ταπεινοφρονεῖν Schol.*6 *ib.*9(845A); **5.** effects of penitence; **a.** salvation *προγινώσκει* [sc. *ὁ θεός*] *γάρ τινας ἐκ μ. σωθήσεσθαι* Just.*1apol.*28.2(M.6.372B); *οἱ Νινευῖται...μ. γνησίᾳ τὴν...ἀντικατηλλάξαντο σωτηρίαν* Clem.*prot.*10 (p.72.16; M.8.213B); *διὰ τὰς ἐπὶ τοῖς ἁμαρτήμασιν ἡμῶν μ. τὴν κατὰ θεὸν λύπην λυπούμενοι, μ. εἰς σωτηρίαν ἀμεταμέλητον ἡμῖν ἐργαζομένην* Or.*Jo.*10.17(13; p.188.10f.; M.14.336C); id.*or.*13.3(p.327.30; M. 11.456C); *ὁ ἁμαρτὼν διὰ μετάνοιαν οὐκ ἀπόλλυται Const.App.*2.10.4; Proc.G.*Is.*59:1–18(M.87.2612D); and faith, Clem.*str.*7.14(p.60.32; M. 9.517C); *ἄνθρωποι μὲν μ. ἐπιδέχονται καὶ ἐξ ἀπιστίας εἰς πίστιν μεταβάλλουσιν* Or.*Jo.*13.59(58; p.291.1; 512B); **b.** forgiveness, Clem.*str.* 2.15(p.150.14; M.8.1009A); *τοὺς ἐκ πλήθους παραπτωμάτων ἐν μ. εἰληφότας ἄφεσιν Const.App.*2.21.8; Chrys.*poenit.*5.2(2.311B); *ib.*7.4 (2.332C); and destruction of sin, Clem.*str.*4.6(p.260.12; M.8.1240B); Chrys.*Thdr.*1.19(1.32C); id.*poenit.*1.3(2.284B); **c.** purification *ὁ...ἐν ἁμαρτίᾳ τινὶ πεφυρμένος τὴν μὲν εἰς τὸ παρὸν καθαρότητα ἀποβάλλει, τὴν δὲ εἰς τὸ μέλλον ἐκ μ. ἐλπιζομένης καθάρσεως οὐκ ἀποστερεῖται* †Bas.*Is.*278(1.591E; M.30.609A); *εἴ τις ἅγιος, προσερχέσθω· εἰ δέ τις οὐκ ἔστιν, γενέσθω διὰ μ. Const.App.*7.26.6; *πυρὸς δίκην ὑπὸ τῆς μ. ἀναζέσαντες, χρυσίου καθαροῦ καθαρωτέρας τὰς ἑαυτῶν ἀπεργάζονται ψυχάς* Chrys.*Thdr.*1.16(1.27A); id.*poenit.*8.2(2.342E); **d.** life, Herm. *sim.*8.6.6; Clem.*str.*2.23(p.193.28; M.8.1097A); *ἡ μ. ζωοποιεῖ τὸν τοῖς παραπτώμασι νεκρωθέντα· αὕτη γὰρ γνώρισμα ὑπάρχει τῆς παλιγγενεσίας, τρόπαιον δὲ ἀναστάσεως* Nil.*epp.*1.274(M.79.184A); **e.** παρρησία,

Chrys.*poenit.*8.2(2.342E); **f.** other effects *τίνες εἰσὶν οἱ ἄξιοι καρποὶ τῆς μ., τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει;* Bas.*reg.br.*287(2.516B; M.31.1284B); *ἐπαλαιώθης σήμερον ἀπὸ τῆς ἁμαρτίας; ἀνακαίνισον σεαυτὸν ἀπὸ τῆς μ.* Chrys.*poenit.*8.1(2.341B); *προσέλθωμεν οὖν τῇ μ., καὶ αὖτη πρεσβεύῃ ὑπὲρ ἡμῶν πρὸς τὸν θεόν* Ant.Mon.*hom.*77(M.89.1660C); *εἶδον ἀκαθάρτους ψυχὰς περὶ ἔρωτας σωμάτων ἐμμανῶς μαινομένας· καὶ δὴ σκῆ[ἑ]ψιν μ. προσλαβοῦσαι, ἐκ πείρας ἔρωτος, τὸν αὐτὸν πρὸς κύριον μετενηνόχασιν ἔρωτα· καὶ...ἁπλήστως εἰς ἀγάπην θεοῦ ἐνεγκεντρίσθησαν* Jo.Clim.*scal.*5(M.88.777A); **6.** penitence of the perfect *ἐπιγνώμων ἀνήρ, ὁ μὴ πρὸ τῆς τελείας μ. ἀνασχόμενος τῆς...μνείας τῶν οἰκείων ἁμαρτημάτων* Evagr.Pont.*or.*144(M.79.1197B); *οἱ ἀληθῶς εὐηρεστηκότες τῷ θεῷ...ποίας ἔτι χρήζουσι μ.;...γνώσῃ πῶς καὶ τοιοῦτοι χρῄζουσιν αὐτῆς...τίς οὖν ὁ ψεύδους ἀπείραστος...μηδὲ ἀργοῦ ῥήματος ὑπηρέτης εὑρεθείς, ὥστε μὴ χρήζειν μ.; εἰ γὰρ καὶ νῦν οὐκ ἔστι τοιοῦτος, ποτὲ δὲ ἐγένετο, μ. κεχρεώστηκεν ἕως θανάτου* Marc.Er.*opusc.*3.10(M.65.980A,B); *σημεῖον μεμεριμνημένης μ. πασῶν τῶν συμβαινουσῶν ὁρατῶν καὶ ἀοράτων θλίψεων ἀξίους ἑαυτοὺς λογίζεσθαι* Jo.Clim.*scal.*5(M.88.780B); *ἐν τῇ μ. μου ἐκκαυθήσεται πῦρ προσευχῆς καιούσης ὕλην ib.*(780D); *μ. μεμεριμνημένη...καὶ πένθος ἀφηγνισμένον πάσης κηλίδος, καὶ ἡ πανόσιος εἰσαγομένων ταπείνωσις, τοσαύτην ἀπ' ἀλλήλων τὴν διαφορὰν...κέκτηνται, ὅσην ἔχει παρὰ τὸν ἄρτον ἡ ζύμη καὶ ὁ ἄλευρος. συντρίβεται μὲν γὰρ ψυχὴ...διὰ μ. ἐναργοῦς· ἐνοῦται...θεῷ δι' ὕδατος πένθους ἀψευδοῦς· ἐξ οὗ καὶ ἐξάψασα πῦρ κυρίου ἀρτοποιεῖται...ἡ μακαρία ταπείνωσις ib.*25(989D).

I. those excluded from repentance *ἀπόσταται καὶ βλάσφημοι εἰς τὸν κύριον καὶ προδόται τῶν δούλων τοῦ θεοῦ. τούτοις δὲ μ. οὐκ ἔστι... ὑποκριταὶ καὶ διδάσκαλοι πονηρίας...μὴ ἔχοντες καρπὸν δικαιοσύνης... τούτοις οὖν μ. κεῖται, ἐὰν ταχὺ μετανοήσωσιν...διατί, φημί...διὰ τοῦτο, φησί, τούτοις μ. κεῖται, ὅτι οὐκ ἐβλασφήμησαν τὸν κύριον* Herm. *sim.*9.19.1,2; *ἀδύνατον γάρ ἐστι σωθῆναι τὸν μέλλοντα νῦν ἀρνεῖσθαι τὸν κύριον ἑαυτοῦ, ἀλλ' ἐκείνοις τοῖς πάλαι ἠρνημένοις δοκεῖ κεῖσθαι μ. ib.*9.26.6; *οὗτως ἐπὶ Σοδόμων γέγονε. πολλὰ γὰρ ἁμαρτάνοντες καὶ οὐκ ἐπιστρέφοντες, ὕστερον οὕτω προσέκοψαν ἐπὶ τῇ τῶν ἀγγέλων κακῇ βουλῇ...ὥστε μηκέτι αὐτοὺς ἔχειν μ.* Mac.Aeg.*hom.*4.22(M.34.489B); *τίσιν οὐκ ἔστι μ.; ὁ δ' ἐλπίδι τῆς μ. κακουργῶν, κακουργίας ἔχει τὸν τρόπον, καὶ ἀπεστέρηται μ.* †Bas.*poenit.*6(2.608E; M.31.1488B); *ὁ σπείρων μὲν τὴν διὰ τῶν δακρύων ἐξομολόγησιν, οὐδὲν δὲ ἀπὸ ταύτης προσδεχόμενος κέρδος, οὐδὲ ἀνατρέψαι δυνήσεται τὰ διαφθείροντα τὴν μ. διαφθείρει δὲ τὴν μ. τὸ πάλιν τοῖς αὐτοῖς ἐνέχεσθαι κακοῖς* Chrys. *Thdr.*1.18(1.32B).

J. no repentance after death, *2Clem.*8.2; Clem.*prot.*10(p.67.8; M.8.204A); *ἐν ἁμαρτίᾳ τελευτήσαντι μ. οὐκ ἔστιν Const.App.*2.13.2; Chrys.*Thdr.*1.9(1.11C); ref. Dives and Lazarus *ἕως ἂν ἐνταῦθα ὦμεν, ἐλπίδας ἔχομεν χρηστάς· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, κύριοι λοιπὸν μετανοίας οὐκ ἐσμέν, οὐδὲ τοῦ τὰ ἡμαρτημένα ἡμῖν ἀπονίψασθαι* id. *Laz.*2.3(1.730C); *νυνὶ* [sc. in next life] *δὲ ἐν ὀδύναις...ὧν ἀπαραιτήτοις, κήδεται τῶν αὐτῷ προσηκόντων...ἀπώνατό τι τῆς μ.;...οὐδαμῶς· ἄκαιρος γὰρ ἡ μ. ἐλύθη τὸ θέατρον, ἀπῆλθε τὰ σκάμματα* id.*grat.*3(2. 662D); id.*hom.*14.4 *in Mt.*(7.183B); ‡Chrys.*prov.*3(2.762E); *ἀποκέκλεισται τοῖς ἐντεῦθεν ἐξιοῦσι τῆς μ. ἡ θύρα, καὶ οὐχ οἷόν τε τοὺς μὴ κατὰ τὸν παρόντα βίον τοῖς τῆς μ. χρησαμένους φαρμάκοις, ἐκεῖ τὴν ὑπὲρ τῆς ἁμαρτίας ἐξομολόγησιν προσενεγκεῖν τῷ θεῷ* Thdt.*Ps.*6:1(1. 640); *ib.*6:6(642); *ἐν γὰρ τῷ ᾅδῃ...μ. οὐχ ὑπάρχει* †Jo.D.*B.J.*24(M. 66.1084B); except when Christ descended into Hades, Anast.S.*qu. et resp.*111(M.89.764C); but idea of purgatorial repentance of believers *ὁ πιστὸς ἡμῖν μέτεισιν ἐπὶ τὴν βελτίονα τῆς προτέρας μονήν, μεγίστην κόλασιν ἐπιφερόμενος τὸ ἰδίωμα τῆς μ. ὧν ἐξήμαρτεν μετὰ τὸ βάπτισμα* Clem.*str.*6.14(p.486.25; M.9.332A).

K. in relation to the Fall; **1.** repentance would not have sufficed to remedy its consequences, for it would not have brought about cessation of sin for the future, nor mitigated the corruption which ensued from Adam's sin, Ath.*inc.*7.2–4(M.25.108C,D); **2.** Adam's lack of repentance *Ἀδάμ, ποῦ εἶ...καὶ ποῦ ἐστι τὸ συγχώρησον; οὐδαμοῦ μ. ἀλλὰ τὸ ἐναντίον...τί ποιεῖτε, ἄθλιοι; βάλλετε μίαν μ., ἐπίγνωτε τὸ πταῖσμα ὑμῶν* Dor.*doct.*1.8(M.88.1628A,B), v. s. III.

L. Devil and repentance (v. *μετανοέω*); **1.** no repentance for demons, Tat.*orat.*15(p.17.2; M.6.840A) cit. s. *δαίμων*; **2.** Devil's fear of men's repentance *εἴδετε πῶς μ. ἐνεκωμιάζετο, καὶ ὁ διάβολος τὴν πληγὴν οὐκ ἐβάστασεν...τί δέδοικας, ὦ διάβολε, μ. ἐγκωμιαζομένης;... δικαίως ὀδύρομαι...μεγάλα μου σκεύη ἥρπασεν ἡ μ. ... πολλὰ σκεύη αὐτοῦ ἥρπασεν ἡ μ., καὶ αὐτὴν τὴν ἀκρόπολιν αὐτοῦ καθεῖλε, καὶ καιρίαν ἔχει τὴν πληγὴν τῆς μ.* Chrys.*poenit.*2.1(2.287A).

M. scriptural passages attributing repentance to God *περὶ τῆς μ. τοῦ θεοῦ ἀπαιτούμεθα ἀπολογήσασθαι· δοκεῖ γὰρ...ἀνάξιον, οὐ μόνον τοῦ θεοῦ ἀλλὰ καὶ τοῦ σοφοῦ, τὸ μετανοεῖν...ὁ θεὸς δέ, προγνώστης ὢν τῶν μελλόντων, οὐ δύναται...μετανοεῖν...ὅταν δὲ ἐπιπλέκηται ἀνθρωπίνοις πράγμασιν ἡ θεία οἰκονομία, φέρει τὸν ἀνθρώπινον νοῦν... καὶ ὁ θεὸς δὴ λαλεῖ παιδίοις...ἐπεὶ τοίνυν ἡμεῖς μετανοοῦμεν, ὅταν ἡμῖν διαλέγηται μετανοοῦσιν ὁ θεὸς λέγει· μετανοῶ, καὶ ἀπειλῶν ἡμῖν οὐ προσποιεῖται προγνώστης εἶναι, ἀλλ' ὡς βρέφεσι λαλῶν ἀπειλεῖ* Or.*hom.*18.6 *in Jer.*(p.157.28; M.13.473C); *χαρίζεται* [sc. *ὁ θεός*] *μετανοίᾳ μετάνοιαν οὐχ ὁμοίως ἡμῖν μετανοῶν· οὐ γὰρ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο βούλεται ὁ θεός· ἀλλὰ τὴν μεταβολὴν τῆς ἀπειλῆς μ. προσηγόρευσε* Thdt.*Jon.*3:10(1.1472f.).

N. 'angel of repentance' *οὕτως γράψαι ὁ ποιμὴν ἐνετείλατο, ὁ ἄγγελος τῆς μ.* Herm.*vis.*5.7; id.*mand.*12.4.7; *ib.*12.6.1; id.*sim.*9.1. 1; Clem.*q.d.s.*42(p.190.27; M.9.652A); Or.*Jo.*1.17(18; p.22.17; M.14. 53B).

O. persons exempted from works of penance *ὁ γὰρ μήπω διὰ τῆς ἡλικίας τὸ ἐν ἀνθρώποις τέλειον ἐσχηκώς, μηδὲ τὸν νοῦν ἀπηρτισμένον ἔχων,...οὐδὲ ἀπαιτεῖται τὰ ἔργα τῆς μ.* †Bas.*Is.*297(1.605B; M.30. 640C).

P. *ἡ ἡμέρα μ.* 22nd Oct., observed as day of penitence in Egypt, *POxy.*1357.4.

Q. as name of monastery at Alexandria, *PFlor.*298.54 (saec. vi); Cyr.*hom.div.*18 tit.(M.77.1100D); *ib.*(1101A); another *ἐπιλεγόμενον τῆς Νέας M.* Thphn.*chron.*p.250(M.108.628A).

R. as interprn. of name of Abel, Max.*qu.dub.*52(M.90.825B).

III. *prostration*; made as sign of penitence, esp. in religious life for moral faults, ‡Ath.*renunt.*5(M.28.1416A); ‡Jo.Jej.*can.*(p.436); for faults against rule, e.g., being late for choir, ‡Ath.*ep.Cast.*1.8 (M.28.860A); before confession, Jo.Jej.*canonar.*2(p.438); *ὀφείλει δὲ ὁ ἐξαγορευόμενος ποιεῖν τρεῖς μ. ἐν τῇ εἰσόδῳ τοῦ ἁγίου θυσιαστηρίου* †Jo.Jej.*serm.*(M.88.1921C); but not by women in state of penitence, †Jo.Jej.*poenit.*(1904C); in exorcism, *Exorc.*19(p.339); as sign of respect, esp. in religious life *βάλλειν μ. Apophth.Patr.*(M.65.93B); Dor.*doct.*7.1(M.88.1697B); Jo.Mosch.*prat.*39(M.87.2892C); as a sign of worship *βαλὼν μ. τῷ θεῷ* Jo.Mosch.*prat.*11(M.87.2861A); hence as synonym for prayer *δεῦρο βάλωμεν μ. ἵνα ἕως τοῦ Σινὰ μηδεὶς ἡμῶν φάγῃ...καὶ ἔβαλεν ὁ γέρων μ., καὶ ἕως τοῦ Σινὰ οὐ μετέλαβέν τινος ib.*100(2960A).

μεταντλέω, *draw from one vessel to another*; in gen., *transfer,* Clem. *exc.Thdot.*46(p.121.14; M.9.680D); Bas.Sel.*in Thecl.*2.11(M.85.584A).

***μέταξις, ἡ,** *silk,* Cosm.Ind.*top.*11(M.88.445D); *ib.*2(96C, v.l. *μετάξιον* Migne); Thphn.*chron.*pp.153,268(v.l. *μέταξαν* M.108.413A,665A).

μέταξον, τό, == foreg., ‡Jo.D.*Const.*14(M.95.329D).

μεταξύ, 1. adv., *in the midst,* used elliptically *λησταὶ δύο μ. αὐτοῦ ἐσταυρώθησαν* Chrys.*hom.*7.3 *in Phil.*(11.249B); *in passing ὅταν μνημονεύωμεν μ. χηρείας* id.*vid.*1.2(1.340E); *after, afterwards τῷ δὲ ποιήσαντί σε θεῷ ἀπιστεῖς δύνασθαί σε καὶ μ. ποιῆσαι* Thphl. Ant.*Autol.*1.8(M.6.1037B); **2.** prep. c. genit., *in the midst of,* of place *μ. θηρίων, μ. θεοῦ* Ign.*Smyrn.*4.2; *τὸ δὲ κήρυγμα μ. τῆς πλάνης...ἔλαμψε* Chrys.*hom.*5.3 *in Jo.*(8.40A); of time *μ. τῆς τραπέζης περὶ σταυροῦ διαλέγεται* id.*hom.*88.1 *in Mt.*(7.782A); *between,* of mediation of Christ *προσάγομεν αὐτῷ* [sc. *εὐχάς*] *ὡς διὰ μ. ὄντος τῆς τοῦ ἀγενήτου καὶ τῆς τῶν γενητῶν πάντων φύσεως* Or.*Cels.* 3.34(p.231.7, conjj. *δι' αὐτοῦ ὡς μ.* or *δὴ μ.*; M.11.964B); *before εἰ βουλόμενος ἐγέννησεν, ἅρα ἦν τὸ βούλημα πρὸ τοῦ υἱοῦ, καὶ ἔσται κἂν ῥοπὴ χρόνου μ. υἱοῦ διὰ τοῦ βουλήματος* Epiph.*haer.*69.26(p.177.24; M.42.245A).

***μεταξυλογέω,** *digress,* Oecum.*2Petr.*3:17(M.119.604D).

μεταξυλογία, ἡ, *digression, cat.Jac.*4:5(p.29.18); Men.*exc.Rom.*3 (p.185.29; M.113.873C).

μεταξύτης, ἡ, *mean,* Or.*comm.in Mt.*13.26(p.250.19; M.13.1161C).

μεταπαιδεύ-ω, *educate differently, teach a better way,* Ath.*inc.* 14.4(M.25.121A); pass., id.*ep.encycl.*7(p.177.10; M.25.239D); id.*ep. Adelph.*6(M.26.1080C); c. dupl. acc., *teach to reject θεῖου δὲ νόμου τὸν ἀνθρώπινον νοῦν τὰ αἰσχίω ~οντος* Cyr.*ador.*1(1.38B).

μεταπαραδίδωμι, *hand over, pass on,* Adam.*dial.*1.26(p.50.24; M. 11.1756A); Eus.*in C.*2.9(p.44.21; M.20.988C); Ast.Am.*hom.*2(M.40. 189C); of the seasons, *cause to give way* to *θέρους ἀκμὴ τοῦτον* [sc. *ἔαρος αἰῶνα*] *μ.* Eus.*l.C.*6(p.209.1; M.20.1345B); intr., *give way* to *καιροὶ...ἐν εἰρήνῃ μ. ἀλλήλοις 1Clem.*20.9.

μεταπαραλαμβάνω, *take over from,* c. acc. pers., Adam.*dial.*1.26 (p.52.8; M.11.1756B).

***μεταπερισπάω,** *draw away* from, Clem.*str.*3.9(p.226.22; M.8. 1168D).

μεταπήγν-υμι, *coagulate, harden*; med. in trans. sense, †Apoll. *Ps.*65:6(M.33.1401B); pass. intrans. *αἵματος ὅπερ εἰς σάρκα πέφυκε ~υσθαι* Bas.*hom.in Ps.*29(1.130C; M.29.320D); id.*hex.*7.6(1.68D; M. 29.161A); *ἡ...ἄμμος προσομιλοῦσα πυρί...εἰς ὕαλον ~υται* Thdt.*eran.*

1(4.11); fig. ὁ οἶνος εἰς χρυσὸν ~νται, τὰ ἔριά σοι ἀποχρυσοῦται Bas. *hom.*6.5(2.47C; M.31.269C).

μεταπηδ-άω, *leap from one place to another*; hence gen., *move about*, Chrys.*hom.*9.2 *in Col.*(11.392A); fig. [sc. πλοῦτος] δραπέτου παντὸς ἀγνωμονέστερον ἀπὸ τούτου εἰς ἐκεῖνον μ. id.*hom.*28.3 *in Gen.*(4.274A); τοῦ γάμου...πρὸς ἱερωσύνην...~ῶντα τὸν ἔρωτα Proc. G.*ep.*78(M.87.2773C); met., *change, change over* συνήθεια τῆς γραφῆς, τὸ ταχέως ~ᾶν ἀπὸ τοῦ περί τινων λόγου εἰς τὸν περὶ ἑτέρων Or.*comm. min.in Cant.*(M.13.36B); Meth.*symp.*3.2(p.28.14; M.18.61C); Chrys. *hom.*11.1 *in 1Tim.*(11.604D); εἰς νιότητα τὴν θεοῦ καὶ πατρὸς μετέστημεν ἐκ δουλείας, τὸ μὲν οἰκεῖον ἐκβεβηκότες μέτρον, εἰς δὲ τὸ τοῦ χαριζομένου καὶ τοῦτο ἡμῖν ~ήσαντες Cyr.*thes.*32(5¹.315D); id.*Ps.*41:5 (M.69.1004B); μ. ἐπὶ τὰ Θεοδώρου βιβλία τὰ περὶ τῆς ἐνανθρωπήσεως id.*ep.*70(p.16.31; 5².198D); *shift one's ground* in argument, Bas.*Eun.* 1.5(1.216B; M.29.520B).

μεταπήδησις, ἡ, *interval* between musical notes; fig., of harmony of the different parts of scripture τὴν καθ' ἕκαστον προφήτην κατὰ τὰς μ. τῶν προσώπων συνῳδίαν Clem.*str.*6.11(p.476.12; M.9.309C).

μεταπιπράσκω, *sell to another*, Nil.*Eulog.*4(M.79.1097D); Anast.S. *qu.et resp.*46(M.89.745A).

μεταπίπτ-ω, *undergo change* οὔτε δὲ μεταβάλλει οὔτε ~ει τὸ θεῖον Athenag.*leg.*22.5(M.6.940A); τὸ ἀθάνατον...μὴ ~ον ἢ ἐξιστανόμενον εἰς τὴν αἰσχίονα καὶ θνητὴν φύσιν Meth.*res.*1.36(p.275.16; M.41.1101A); οὐκ ἄρα μετέπεσεν ἡ πρὸς θεὸν ἰσότης, ἀλλ' ἀναλλοίωτος ἡ θεότης ἔμεινεν ἐν ταυτότητι Apoll.*corp.et div.*16(p.192.2; M.*PL.*8.875C); Gr. Naz.*or.*39.12(M.36.348C); Chrys.*hom.*11.1 *in Jo.*(8.63E); οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ θεὸς λόγος, οὐδὲ οὐσία μετεβλήθη id.*hom.*7.3 *in Phil.*(11.248B); ὁ λόγος σὰρξ ἐγένετο οὐ μεταπεπτωκὼς εἰς σάρκα... οὔτε ἡ ἀναληφθεῖσα σὰρξ ἐχώρησεν εἰς τὴν φύσιν τοῦ ἀνειληφότος Paul.Em.*hom.*2(p.12.24; M.77.1440B); οὔτε τοῦ πνεύματος ἢ εἰς πατέρα ~οντος ἢ εἰς υἱόν, ὅτι ἐκπορεύεται, καὶ ὅτι θεός ‡Cyr.*Trin.*10 (6³.16D; M.77.1144D).

***μεταπλάζω,** *mould anew, refashion,* Clem.*prot.*11(p.79.19; M.8. 229B) cit. s. καινός; Meth.*res.*1.49(M.18.277C; μορφὴν πλασθῆναι p.303.7); Epiph.*haer.*76.20(p.389.32; M.42.596C).

μετάπλασις, ἡ, *remoulding, transformation,* Cyr.*hom.pasch.*10 (5².134D).

μεταπλασμός, ὁ, 1. *remoulding, refashioning, transformation,* lit. ποία δ' ἂν γένοιτο καὶ ἡ τοῦ σώματος ἀπολύτρωσις, ἢ τίς ὁ μ., ἀναστοιχειοῦται δὲ ὅπως εἰς ἀφθαρσίαν καὶ δόξαν, αὐτὸς ἂν εἰδείη καὶ μόνος ὁ τούτων τεχνίτης Cyr.*Rom.*8:26(p.219.20; M.74.825B); met., ref. Ps. 50:12, id.*Zach.*86(3.773B); ref. Mt.5:17 μὴ τὴν εἰς ἅπαν ἀνατροπὴν τῶν πάλαι τεθεσπισμένων εἰργασθαι διανοοῦ· μᾶλλον δὲ μ. ὥσπερ τινὰ καί, ...μεταχάραξιν τῶν ἐν τύποις ἐπὶ τὸ ἀληθές id.*ador.*1(1.5C); **2.** *quando in prosa vitium fit sermonis, barbarismus vocatur; quando in metro, metaplasmus dicitur,* Isid.H.*etym.*1.32.2.

νυμφαγωγία, ἡ, *leading of the bride to the bridegroom's house, bridal procession*; met.; **1.** of marriage between God or Christ and Church δείκνυσιν, ἡ *v.* πῶς γίνεται, ὅτι διὰ φωνῆς καὶ διδασκαλίας. οὕτω γὰρ καὶ ἡ ἐκκλησία ἁρμόζεται τῷ θεῷ Chrys.*hom.29.3 in Jo.* (8.168B); id.*exp.in Ps.*5:1(5.31D); **2.** ref. candidates for baptism νυμφαγωγίας λαμπάδες Cyr.H.*procatech.*1; **3.** of espousals of virgin souls μυστικὴ *v.* †Bas.Anc.*virg.*50(M.30.769C); τῆς πρὸς αὐτὴν [sc. Thecla] *v.* τὸν δεσπότην Χριστὸν ἐξ οὐρανοῦ δεξιὰν δεδωκότα ‡Chrys. *Thecl.*(2.749E).

***νυμφαγωγικός,** *bridal*, Thdr.Stud.*epp.*2.132(M.99.1425C).

νυμφαγωγός, ὁ, ἡ, *leader of the bride*; **1.** of God, ref. Adam and Eve, Bas.Sel.*or.*29.1(M.85.328B); **2.** of angels, ref. virgins, †Bas. Anc.*virg.*29(M.30.729A); of apostles, ref. Church or ref. individual souls whom they lead to Christ, the spouse, Cyr.*Ps.*44:11(M.69. 1041C); of S. Paul, Chrys.*exp.in Ps.*5:1(5.31A); partic. ref. virgins, ‡Chrys.*hom.*10(13.239C); of S. Philip, *A.Phil.*97(p.37.36); of Jo. Bapt., Gr.Naz.*or.*45.26(M.36.660A); Cyr.*Jo.*2.1(4.159C); of priests leading virgins to Christ, †Bas.Anc.*virg.*37(M.30.744B); of scripture and theology leading to Christ, *ib.*50(769A); τὴν ἀρετὴν πορευθῶμεν...τὴν τῷ θεῷ λόγῳ...τὴν λογικὴν ψυχήν...πρὸς κοινωνίαν ἁρμοσαμένην ἀχώριστον, ἵνα καὶ παρὰ ἀνθρώποις...τοὺς θεοειδεῖς φθόγγους ἡ *v.* [sc. theology] ἐναρμόσῃ Diad.*perf.*67(p.82.16); of Devil τῆς μοιχείας *v.* ὁ διάβολος Gr.Nyss.*hom.in 1Cor.6:18*(M.46. 496A); Bas.Sel.*or.*8(M.85.124A).

νύμφευσις, ἡ, *marriage, espousal*; **1.** lit., †Bas.Anc.*virg.*50(M.30. 769C); **2.** met.; **a.** of marriage between Christ and Church ἡμέραι δὲ νυμφεύσεως αὐτοῦ αἱ τρεῖς εἰσι τοῦ πάθους· τότε γὰρ τὴν ἁγίαν ταύτην ἐκκλησίαν ἐνυμφεύσατο Ph.Carp.*Cant.*90(M.40.88A); Vict.*Mc.* 2:18ff.(p.290.22); **b.** of spiritual marriage between Christ and

virgins, †Bas.Anc.*virg.*37(M.30.745B); ‡Gr.Nyss.*hom.10.36 in Jo.* (p.306.5); Thdr.Stud.*epp.*2.150(M.99.1468B).

νυμφευτήριον, τό, *bridal chamber,* Bas.Sel.*v.Thecl.*2.10(M.85.581A).

νυμφευτής, ὁ, *groomsman*; met., of God becoming *v.* to Adam after having created Eve, Thdt.*haer.*5.25(4.464).

νυμφεύτρια, ἡ, 1. *she who escorts the bride* (to her husband), *bridesmaid,* exeg. 1Cor.7:4f. *δόξει νυμφευτρίας εἶναι μᾶλλον ἢ ἀποστόλου τὰ ῥήματα* Chrys.*virg.*29(1.289B); id.*hom.20.8 in Eph.*(11.155A); id.*hom.5.3 in 1Thess.*(11.462F); **2.** *bride,* Synes.*ep.*3(M.66.1324B).

νυμφεύ-ω, *marry, espouse*; **1.** of Christ espousing Church; through baptism, Ammon.*Jo.*3:29(M.85.1413C); through Passion *τὴν ἡμέραν τοῦ πάθους...καθ' ἣν ἐνυμφεύσατο τὴν ἐκκλησίαν διὰ τοῦ αἵματος αὐτοῦ* Cyr.*fr.Cant.*3:11(M.69.1288B); *ἀνδρωθεὶς Χριστὸς... τὴν...ἐκκλησίαν ἐνυμφεύσατο, ὑπὲρ ἧς καὶ τὸ τίμιον αἷμα ἐξέχεε* Mod.*dorm.*3(M.86.3288B); Andr.Caes.*Apoc.*67(M.106.429B); **2.** of mankind being espoused to Christ *μαθηταί, τὴν ~ομένην ἀνθρωπότητα τῷ Χριστῷ πρὸς αὐτὸν ἰοῦσαν ὁρῶντες* Cyr.*Jo.*2.1(4.159D); med., of Christ *ἐν ᾗ* [sc. BMV] *ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα* Procl.CP *or.laud.BMV* 1(p.103.14; M.65.681A); **3.** of virgins espoused to Christ *~ομαι τῷ λόγῳ καὶ τὸν ἀίδιον τῆς ἀφθαρσίας προῖκα λαμβάνω στέφανον* Meth.*symp.*6.5(p.69.17; M.18.120C); *ἡ δὲ τῷ κυρίῳ ~ομένη, οὐ δυναμένη οὔτε τὴν ὄψιν, οὔτε τὴν ἀκοήν, οὔτε τὴν παρουσίαν φυγεῖν, ἐν ὄψει αὐτοῦ ἅπαντα πράττει* †Bas.Anc.*virg.*27(M.30.725C); *τὴν Χριστῷ διὰ τῆς κατὰ τὴν παρθενίαν ὑποσχέσεως ἁρμοσθεῖσαν, ὡς ἂν σοφίᾳ καὶ λόγῳ ἑαυτὴν διὰ βίου ~ουσαν ib.*50(768D); **4.** souls espoused through ecstasy of Christ on Cross, Meth.*symp.*3.8(p.36.19; M.18.73D) cit. s. *ἔκστασις*; apostles *εὑρίσκεις ἐκείνους παρανύμφους, ~οντας ψυχὰς Χριστῷ* Mac.Aeg.*hom.*28.6(M.34.713D); fruit in good works, Clem. *str.*3.12(p.235.2; M.8.1185B); espousal perfected after death, Ammon.*Jo.*3:29(M.85.1416A).

νύμφη, ἡ, *bride*;

A. of Church as bride of Christ; **1.** justification of title *οὐκ ἴσασι τὴν αἰτίαν τοῦ μὴ γῆμαι τὸν κύριον· πρῶτον μὲν γὰρ τὴν ἰδίαν ν. εἶχεν, τὴν ἐκκλησίαν* Clem.*str.*3.6(p.218.27; M.8.1152C); *ν. λέγων τὴν ὅλην ἐκκλησίαν, τυγχάνουσαν ἀγνὴν παρθένον διὰ τὴν τῶν δογμάτων καὶ ἠθῶν ὀρθότητα* Or.*fr.45 in Jo.*(p.520.15); *ἡ* [sc. *ἐκκλησία*]*...ἐστὶν ἡ ὑπερβάλλουσα ν. τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας...διὸ ...αἰνεῖται* Meth.*symp.*7.7(p.78.4; M.18.133B); *παρθένος δ' ἐστί* [sc. *ἡ ἐκκλησία*], *καὶ ἀγνή, καὶ ν. διὰ τὴν τῶν δογμάτων ὀρθότητα* Ammon. *Jo.*3:29(M.85.1413C); *νύμφην ἐκάλεσεν,...ὅτι καὶ πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχήν,...καὶ ὅτι καθάπερ ἡ ν. πάντα ποιεῖ πρὸς ἀρέσκειαν τοῦ ἀνδρός, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρή. οἷα ἡ ν. κατὰ τὴν ἡμέραν ἐκείνην ἐπὶ τῶν παστάδων καθέζεται, ἵν μεριμνῶσα μόνον ὅπως ἀρέσῃ τῷ νυμφίῳ· οὕτω δὴ καὶ ἡμεῖς ἐπὶ τοῦ βίου τούτου προκαθήμενοι ἓν ακοπῶμεν, τοῦ νυμφίου τὴν ἀρέσκειαν, καὶ τὴν τῆς ν. εὐταξίαν διατηρῶμεν* Chrys.*exp.in Ps.*5:1(5.30E); *ν. ... διὰ τὴν πρὸς τὸν λόγον συνάφειαν* Cyr.*fr.Cant.*4:9(M.69.1288D); also of various local churches, id.*glaph.Gen.*(1.153B); of Church as likened to heavenly Jerusalem *ἡ...βασίλισσα, ἡ μήτηρ τῶν θυγατέρων, παρέστη ἐκ δεξιῶν, ἡ καθολικὴ ἐκκλησία. κυριώτερον δὲ εἴποις ἐπουράνιον, ἥτις ἐστὶ μήτηρ τῶν ἐπὶ γῆς ἁγίων...αὕτη μὲν οὖν ἡ τελεία Χριστοῦ ν., ἧς οὐκ ἂν ἁμάρτοις θυγατέραν λέγων τὴν ἐπὶ γῆς ἐκκλησίαν* Or.*Ps.*44:10(p.42); *1Apoc.Jo.*17(p.85); **2.** her origin and development, from old dispensation to new *ὁρῶμεν τοίνυν ὥσπερ τὰ ἐν βαθμῶν ἀναβάσει χειραγωγουμένην διὰ τῶν τῆς ἀρετῆς ἀνόδων ἐπὶ ὕψη παρὰ τοῦ λόγου τὴν ν. ... ἐνίησι πρῶτον διὰ τῶν προφητῶν θυρίδων, καὶ τῶν δικτύων τῶν τοῦ νόμου παραγγελμάτων τὴν ἀκτῖνα ὁ λόγος, καὶ προσκαλεῖ αὐτὴν ἐγγίσαι φωτὶ...εἶτα μετασχοῦσαν τῶν καλῶν, ...πρὸς τοῦ ὑπερκειμένου κάλλους μετουσίαν ἐφέλκεται* Gr.Nyss. *hom.5 in Cant.*(M.44.876B); Thdt.*Cant.*proem.(2.16); from idolatry *διδάσκει ἡμᾶς πόθεν ἡ ν., καὶ ὅτι ἐξ εἰδωλολατρείας ἔρχεται* Cyr.*fr. Cant.*4:8(M.69.1288C); birth from side of Christ *ἐκ τοῦ στάξαντος ὕδατος, καὶ αἵματος, καὶ πνεύματος τοῦ ἐκ πλευρᾶς αὐτοῦ, αὐτὸς γέγονέ μοι νυμφίος, κἀγὼ αὐτοῦ ν.* Ph.Carp.*Cant.*26(M.40.56A); *ῥευσάσης αἵμα καὶ ὕδωρ οἰκοδομηθῇ ἡ νοητὴ ν. αὐτοῦ, τουτέστιν ἡ καθολικὴ ἐκκλησία* Nil.*ep.*1.26(M.79.92C); **3.** in relationship with bridegroom *ν. πολλοῖς...οἴνοις εὐφρανθεῖσα καὶ ἔχουσα περασκευὴν εἰς τὸ δέξασθαι τοὺς κρείττονας τούτων τοῦ νυμφίου μαστοὺς τοῦτό φησι προτιμῶσα τούτους οἶνου τοῦ ἐν νόμῳ τε καὶ προφήταις* Or.*Cant.*1 (p.96.30; M.13.89D); *ἔπρεπε τῇ ν. τοῦ κάλλους ὅλῃ τοῦ νυμφίου γεγενημένῃ περὶ ἑαυτῆς μὲν λέγειν οὐδέν ib.*3(p.179.31; M.13.151C); *ἡ νῦν ἐκκλησία, ἡ ν. τὸν νυμφίον ἐφίλει* Gr.Nyss.*hom.1 in Cant.*(M.44.777C); *ὁ ἄνω ἀντάρτης κάτω ἀντίδικος τῆς ν. σου γέγονεν* Ast.Soph.*hom.2 in Ps.*5(M.40.412A); *ἀναδιπλασιάζει τῆς ν. ὁ νυμφίος τὸν ἔπαινον, τό τε θεωρητικὸν αὐτῆς ἐπαινῶν καὶ τὸ πρακτικὸν...λέγει οὖν ὡς ἐδέξατο νοῦν ἡ ν. μόνον ὁρῶντα θεόν. ὀφθαλμοὶ...τῆς ἐκκλησίας διδάσκαλοι* Cyr. *fr.Cant.*1:14(M.69.1281A,B); *νύμφην δὲ προσαγορεύει τοὺς ἐν ἐκείνοις τοῖς ᾄσμασι τῆς αἰχμαλωσίας ἀπαλλαγέντας, καὶ τῆς ἐλευθερίας τετυχηκότας, καὶ προσοικειωθέντας τῷ βασιλεῖ* Thdt.*Cant.*1(2.23); **4.** in relationship with others; **a.** as instrument of salvation *ἀγαλλιώμενος σὺν τῇ ν. τῇ εἰς σωτηρίαν ἡμῶν βοηθῷ, τῇ ἐκκλησίᾳ* Clem. *paed.*1.5(p.103.12; M.8.276B); *τὸ δ' ἀνάλογον σελήνῃ καὶ ἄστροις ὑπολαμβάνομεν εἶναι περὶ τὴν ν. ἐκκλησίαν καὶ τοὺς μαθητάς, ἔχοντας οἰκεῖον φῶς,...ἵνα φωτίσωσι μὴ δεδυνημένους πηγὴν ἐν αὐτοῖς κατασκευάσαι φωτός* Or.*Jo.*1.25(24; p.31.11; M.14.68C); **b.** as assembly of the faithful, guided by priests and bishops, *Clem.ep.*7(M.2.41B); *Hom.Clem.*3.72; **c.** persecuted by Devil, *Clem.ep.*4(M.2.37B).

B. of virgins as brides of Christ, ref. Cant.4:9ff. *ταῦτα Χριστὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας τῷ νύμφης ὀνόματι, ἐπειδὴ τὴν ν. ἡρμόσθαι μὲν δεῖ καὶ κατωνομάσθαι τῷ μνηστευσαμένῳ, ἄχραντον δὲ ἔτι καὶ ἀμιγῆ τυγχάνειν* Meth.*symp.*7.1(p.72.10f.; M.18.125B); *ib.*7.3(p.74.15; 129A); *δοκιμαζέτω τοίνυν τὸ ἑαυτῆς βλέμμα τοῦ κυρίου ἡ ν.· καὶ εἰ μὲν ὁρᾶν ἀρεσθήσεται, καὶ δὴ τοῦτο θαρροῦσα κινείτω* †Bas.Anc.*virg.*27(M.30.728A); *τῇ τοῦ Χριστοῦ μάλιστα ν. ἁρμόττει, τὰς διὰ τῶν αἰσθήσεων τῆς ψυχῆς ἐνεργείας ἀπὸ τῶν ἔξωθεν ἐπὶ τὰ ἔσω ὅλας συνήθως ἐπιστρέψασαν, τῷ μὲν νυμφίῳ ἐν ἀπορρήτοις κατὰ τὸν νοῦν παστοῖς, ὡς θεῷ λόγῳ ἀεὶ ὁμιλεῖν ib.*50(768D); *σοὶ λοιπὸν τοῦτο πρέπει, μηδὲ ὅλως ἐγγίζειν ἀνδρί, εἰ ἐνδέχεται, μηδὲ ὅλως βλεπέτω ἀνὴρ τὸ πρόσωπόν σου. ν. γὰρ Χριστοῦ εἶ· οὕτω προέρχου, ὡς ν. κεκοσμημένη, ἐσκεπασμένη τῷ περιβολαίῳ τὴν ὄψιν* ‡Chrys.*ascet.facet.*(1.810D).

C. of individual saints; **1.** esp. of BMV, ‡Epiph.*hom.*5(M.43. 489B); Procl.CP *or.*6.17(M.65.756B); ‡Serg.*acath.*(p.140); *τριετῆ ὡς τριάδος ἀχωρίστου ν.* Jo.Eub.*concept.BMV* 14(M.96.1481A); ‡Jo.D. *hom.*5(M.96.656A); *ν., ἧς νυμφοστόλος τὸ πνεῦμα τὸ ἅγιον* Thdr.Stud. *nativ.BMV* 7(M.96.693A); **2.** of S. Paul *ν. τοῦ λόγου* Meth.*symp.*3.9 (p.37.21; M.18.76B); Gr.Nyss.*hom.3 in Cant.*(M.44.824C).

D. of flesh of Christ as an alternative to Church in interprn. of Cant. *δυνήσεται δέ τις καὶ ἑτέρως τὴν ν. φάναι τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυρίου* Meth.*symp.*7.8(p.78.17; M.18.136A).

E. of soul; **1.** reasons for title *ἡ λογικὴ οὐσία, ἧς μέρος ἐστὶ καὶ ἡ ἀνθρώπου ψυχή, ἐξ ἑαυτῆς οὐδενός ἐστι τῶν ἀγαθῶν γεννητική, εἰ καὶ δεκτική ἐστι τούτων. αὕτη τοιγαροῦν γυναικὸς τρόπῳ ἐξ ἄλλου γεννᾶν πέφυκεν ἃς δύναται τίκτειν ἀρετὰς πρακτικάς τε καὶ διανοητικάς. διὸ ν. αὐτὴν ἐρῶ, οὗ τοῦ τυχόντος ἀλλὰ μόνου τοῦ σπορέως τῶν ἀγαθῶν* Or.*fr.45 in Jo.*(p.519.21); **2.** esp. of perfect souls *ταύτῃ γὰρ ἠθέλησεν ὁ θεὸς κοινωνῆσαι, καὶ ταύτην ἡρμόσατο ἑαυτῷ εἰς ν. βασιλέως, καὶ ταύτην καθαρίζει ἀπὸ τοῦ ῥύπου...κτίσμα γὰρ οὖσα εἰς ν. τῷ υἱῷ τοῦ βασιλέως ἡρμόσθη...τείνει γὰρ αὐτὴν...εἰς ἀπέραντον καὶ ἀμέτρητον αὔξησιν, ἕως ἂν ἄμωμος καὶ ἀξία αὐτοῦ νύμφη γένηται...αὐτὸς γὰρ ὢν τέλειος νυμφίος, λαμβάνει αὐτὴν τελείαν ν. εἰς τὴν ἁγίαν καὶ μυστικήν, καὶ ἄχραντον κοινωνίαν τοῦ γάμου* Mac.Aeg.*hom.*47.17(M. 34.808B,C); *δεῦρο τοίνυν ἀπὸ Λιβάνου, φησίν, υὐκέτι μνηστή, ἀλλὰ ν. οὐ γάρ ἐστι δυνατὸν ἐμοὶ συζῆσαι τὸν μὴ ἀλλοιωθέντα διὰ τῆς τοῦ θανάτου σμύρνης πρὸς τὴν τοῦ λιβάνου θεότητα* Gr.Nyss.*hom.8 in Cant.*(M.44.944C); *ὁ αὐτὸς* [sc. *Χριστός*] *καὶ νυμφίος καὶ τοξότης ἡμῶν ἐστι, ν. τε καὶ βέλος ἡ κεκαθαρμένη ψυχή·...ὡς νύμφην εἰς κοινωνίαν ἀναλαμβάνει τῆς ἀφθάρτου διὰτότητος* Cyr.*fr.Cant.*2:6(M.69. 1281D); *τὰς τετελειωμένας ἐν ἀρετῇ ψυχὰς αὐτὴν νοεῖν τὴν ν. τὰ θεῖα ἡμᾶς ἐδίδαξε λόγια* Thdt.*Cant.*proem.(2.17); **3.** spiritual ascent of soul as bride *ἐκεῖνα φωνῆς ἦχος ἐνομίσθη, πρὸς τὴν τῶν μυστικῶν θεωρίαν τὴν ψυχὴν διὰ τῆς ἀκοῆς ἐπιστρεφούσης...πάλιν ἐν μείζονι καταστάσει ἡ ν. γίνεται, φωνῆς δευτέρας πρὸς αὐτὴν ἐλθούσης...δι' ὧν πάλιν τελειοτέρα γινομένη ἡ ν., αὐτὴν ἀξιοῖ τοῦ φθεγγομένου τὴν ὄψιν ἰδεῖν ἐκφανῶς* Gr.Nyss.*hom.6 in Cant.*(M.44.889B,C); **4.** its obligations to Christ *ψυχὴ ἣν ἂν μνηστεύσηται ν. ὁ ἐπουράνιος νυμφίος Χριστός, πρὸς τὴν ἑαυτοῦ μυστικὴν καὶ θείαν κοινωνίαν,...ἐν πολλῇ σπουδῇ γνησίως ἀρέσκειν ὀφείλει τῷ αὐτῆς μνηστῆρι Χριστῷ, καὶ τὴν τοῦ πνεύματος διακονίαν...ἁρμοζόντως ἐκπληροῦν, τῷ ἀρέσκειν τῷ θεῷ ἐν πᾶσι, καὶ τὸ πνεῦμα ἐν μηδενὶ λυπεῖν* Mac.Aeg.*hom.*15.2(M.34.576D); **5.** called *ἀδελφή*; v.s.v.

F. wider applications *ν. γάρ ἐστι ὁ πᾶς ἄνθρωπος, ὁπόταν τοῦ ἀληθοῦς προφήτου λευκῷ λόγῳ ἀληθείας σπειρόμενος φωτίζηται τὸν νοῦν Hom.Clem.*3.27; *πᾶσα οὖν λογικὴ φύσις ἀγγέλων τε καὶ ἀνθρώπων ν. ἐστίν* Ammon.*Jo.*3:29(M.85.1413D).

G. Gnost., of souls *οὐκέτι ν.* [sc. *ψυχή*] *ἀλλ' ὕδη λόγος γενόμενος* Clem.*exc.Thdot.*27(p.116.10; M.9.673A); *τοὺς δὲ πνευματικοὺς ἀποδυσαμένους τὰς ψυχὰς...νύμφας ἀποδοθήσεσθαι τοῖς περὶ τὸν Σωτῆρα ἀγγέλοις* Iren.*haer.*1.7.1(M.7.512B); of Achamoth as bride of Saviour, *ib.* cit. s. *νυμφών*.

νυμφικός, *bridal,* ref. Mt.22:11ff. ἔμειναν ἔξω οἱ μηδὲ ἴχνος πώποτε πίστεως μηδὲ αἴσθησιν ἐνδύματος ν. μηδὲ ἔννοιαν φόβου θεοῦ σχόντες *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.48(M.20.428A); Βλανδῖνα...ἀγαλλιωμένη ἐπὶ τῇ ἐξόδῳ ὡς εἰς ν. δεῖπνον κεκλημένη *ib.*5.1.55(429B); Meth. *symp.*4.5(p.51.23; M.18.96A); Cyr.H.*procatech.*3; ref. Cant. μὴ... ἐρωτικὰ νομίσῃς εἶναι καὶ ἐμπαθῆ τὰ Ἄισματα· ἀλλὰ ν. τὰ ῥήματα, σωφροσύνης πεπληρωμένα id.*hom.*10(M.33.1144A); οὐ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν...εὐχὴν ποιουμένη τοῦ ν. ποτε κατατρυφῆσαι φιλήματος Gr.Nyss.*hom.*1 *in Cant.*(M.44.772B); ἡ λογικὴ ψυχή, τῇ πρὸς τὸν θεὸν λόγον ν. κοινωνίᾳ...ἀπαθείας τῆς ἀληθοῦς ἀπολαύσειεν ἐν πνεύματι †Bas.Anc.*virg.*50(M.30.768C).

νυμφικῶς, *bridally, in bridal fashion*; **1.** lit. σὺ [sc. S. Luke] τὴν κεχαριτωμένην παρθένον [i.e. BMV] ἐκόσμησας, ν. ἀναδήσας Ephr.3.465C; ref. Macrina's body adorned for funeral, Gr.Nyss.*v.Macr.* (p.406.12; M.46.992C); **2.** met., ref. Christ's appearance at Transfiguration ὦ μακαρίων ὀμμάτων, ν. τὸν Χριστὸν ἐστολισμένον θεωροῦντων Bas.Sel.*or.*40.3(M.85.460B); ref. heavens decked with stars, Geo.Pis.*hex.*139(M.92.1443A); ref. union of soul with virtue of humility, Jo.Clim.*scal.*25(M.88.992B); ref. union between Son and human nature τοῦ πατρὸς υἱὸν...κάτω παρθενικῆς παστάδος ν. ἐνώσαντα ἑαυτῷ τὸν Ἀδὰμ ἀτρέπτως ‡Meth.*Sym.et Ann.*3(M.18.356A).

***νυμφιοκλέως,** *? in bridal glory,* of a convent παρθένους φέρουσα ν. Thdr.Stud.*iamb.*120(M.99.1809C).

νυμφίος, ὁ, *bridegroom, spouse*;

A. reasons for applying term to Christ διὰ τοῦτο ν. ὁ ἐν ταῖς Παροιμίαις ὀνομάζεται υἱός, καὶ ἡ σοφία εἰς νύμφης τάξιν ἀντιμεθίσταται, ἵνα μνηστευθῇ τῷ θεῷ ὁ ἄνθρωπος ἀγνὴ παρθένος, καὶ κολληθεὶς τῷ κυρίῳ γένηται πνεῦμα ἕν Gr.Nyss.*hom.*1 *in Cant.*(M.44.772A); διὰ τί ἐκλήθη ν.; ὅτι νύμφην με ἡρμόσατο Chrys.*Eutrop.*2.8(3.393C); difference between lit. and met. use of term ἡ δὲ εἰκὼν γαμικὴ τίς ἐστι κατασκευή, ἐν ᾗ κάλλους ἐπιθυμία μεσιτεύει τῷ πόθῳ, οὐ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν τοῦ ν. τῆς ἐπιθυμίας κατάρξαντος, ἀλλὰ προλαμβάνει τὸν ν. ἡ παρθένος ἀνεπαισχύντως τὸν πόθον δημοσιεύουσα Gr. Nyss.*hom.*1 *in Cant.*(M.44.772B); ὁ μὲν ν. μετὰ τὰς πρώτας ἡμέρας καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος· ὁ δὲ ἡμέτερος ν. μένει διηνεκῶς ἡμᾶς ἀγαπῶν, καὶ ἐπιτείνων τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης νυμφίον καλεῖ, ὅτε ἀκμάζοντες οἱ πόθοι Chrys.*exp.in Ps.*5:1(5.30D).

B. Christ as bridegroom of Church; **1.** in gen. ὁ ν., λόγος ὁ οὐράνιος, αὐτὸς Ἰησοῦς Χριστός Eus.*h.e.*10.4.49(M.20.869A); *ib.*10.4.54(869D); Gr.Nyss.*hom.*1 *in Cant.*(M.44.777C) cit. s. *νύμφη*; Ammon. *Jo.*3:29(M.85.1413D); Cyr.*glaph.Gen.*(1².112D); περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας, ὡς ἐπὶ βασιλέως ν. καὶ νύμφης βασιλίδος Cosm.Ind. *top.*5(M.88.253D); ὁ ἄχραντος τῆς ἐκκλησίας ν. ‡Gr.Nyss.*hom.*10.42 *in Jo.*(p.307.29); **2.** as teacher διδασκαλεῖον δὲ ἡ ἐκκλησία ἥδε καὶ ὁ ν. ὁ μόνος διδάσκαλος Clem.*paed.*3.12(p.289.27; M.8.677A); Or.*Cant.*1 (p.96.32; cf.M.13.89D) cit. s. *νύμφη*; *ib.*(p.109.24; M.17.256A); γέγονε τοίνυν ἡ τοῦ ν. φωνὴ ἡ διὰ τῶν προφητῶν ἐν οἷς ἐλάλησεν ὁ θεός Gr. Nyss.*hom.*5 *in Cant.*(M.44.861D); **3.** in his human nature οὐκ ἦλθε τὴν δόξαν αὐτοῦ ἐπιδεικνύμενος, ἵνα μὴ τῇ ὑπερβολῇ τοῦ κάλλους ἐπιπλήξῃ αὐτήν, καὶ παράφρονα ἐργάσηται, ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος, οἷον ἡ νύμφη· μετέχεται γὰρ αἵματος καὶ σαρκὸς παραπλησίως αὐτῇ· καὶ οὐκ αὐτὴν ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται, τηρῶν κάνταῦθα τοῦ ν. τὸν νόμον τὸν πρὸς τὴν νύμφην αὐτὸν ἀγοντα Chrys. *exp.in Ps.*5:1(5.31B); **4.** union with bride; **a.** effected by baptism, exeg. Jo.3:29 ἐστὶ τοίνυν, φησί [sc. Jo. Bapt.], ν. ... ὁ Χριστός... ὑμεῖς δέ, ὦ σοφώτατοι μαθηταί, τὴν νυμφευομένην ἀνθρωπότητα τῷ Χριστῷ πρὸς αὐτὸν ἰοῦσαν ὁρῶντες, καὶ εἰς πνευματικὴν ἀναβαίνουσαν οἰκειότητα διὰ τοῦ ἁγίου βαπτίσματος τὴν ἀποκεκομμένην καὶ δραπετεύσασαν τῆς εἰς αὐτὸν ἀγάπης καταθεώμενοι φύσιν, μὴ ἀσχάλλετε, φησίν, ὅτι μὴ μᾶλλον ἐμοὶ πρέπει, προστρέχει δὲ λίαν εὐπετῶς τῷ κατὰ πνεῦμα ν. ... μὴ ἐν ἐμοὶ ζητεῖτε τοῦ ν. τὸν στέφανον Cyr.*Jo.*2.1(4.159C–E); **b.** by becoming her food ὁ δὲ ν. ... ἐσθίεται καὶ γίνεται τροφὴ τῇ νύμφῃ Thdt.*Cant.*2:3(2.55); **c.** vicissitudes of life of bride dependent on her relation to spouse δι' ὅλου δὲ τοῦ λόγου [sc. Cant.], τινὰ μὲν ὡς παρόντι λέγεται τῷ ν.· τινὰ δὲ ὥσπερ ζητουμένου παρὰ τῆς νύμφης· ἐπεὶ καὶ τῶν προβλημάτων ποτὲ μέν τινα ζητοῦμεν ἀπορούντες τῆς λύσεως· ποτὲ δὲ τῆς λύσεως ἀπολαύομεν, τοῦ ν. λόγου καταγάζοντος ἡμῶν τὰς καρδίας. εἶτα πάλιν ἀποροῦμεν ἐν ἑτέροις, καὶ πάλιν ἡμῖν ἐπιφαίνεται· καὶ τοῦτο πολλάκις, μέχρι τελειωθέντες τοῦ ν. τύχωμεν οὐ μόνον ἐρχομένου πρὸς ἡμᾶς, ἀλλὰ καὶ μονὴν ποιουμένου. καὶ ἡ ἐκκλησία ποθεῖ μὲν ἐγκαταλειπομένη τοῖς πειρασμοῖς, ἐπιφαίνεται δὲ αὐτῇ τοῖς χαρίσμασι Cyr. *fr.Cant.*2:9(M.69.1284D)—though Church in this passage not always clearly dist. from soul; cf. identification of both δῆλον ὡς ἡ νύμφη τοῦ λόγου ψυχή, ἤγουν ἐκκλησία Χριστοῦ *ib.* (1284C); cf. term ἐκκλησιαστικὴ ψυχή, *ib.*3:6(1285D,1288A); **d.** esp. in connexion with parousia, Ephr.2.230A.

C. Christ as bridegroom of virgins; **1.** in gen., Meth.*symp.* proem.(p.5.18; M.18.32C); *ib.*11(p.131.18; 208C); ἡ δὲ φροντίζουσα τὸ ἔργον τοῦ θεοῦ, ν. αὐτῆς ὁ Χριστός ἐστιν Ath.*virg.*2(p.37.12; M.28. 253D); †Bas.Anc.*virg.*21(M.30.713A); ref. BMV *νύμφη, ἧς...ν. ὁ Χριστός* Thdr.Stud.*naliv.BMV* 7(M.96.693A); **2.** his demands διὰ νηστείας καὶ ὑπακοῆς...ὦ παρθένε,...ἀρέσεις τῷ ἐπουρανίῳ ν. Ath. *virg.*6(p.40.6; M.28.257C); *ib.*24(p.59.5; 280C); δεῖ...τὴν παρθένον... τὸ...σῶμα, ὥσπερ τινὰ ναὸν ἢ παστὸν τοῦ ν., ἔχειν εὐτρεπισμένον, τὴν δὲ ψυχὴν ἐν τούτῳ αὐτῷ νύμφην καθαρὰν συνευνάζειν †Bas.Anc.*virg.*27 (M.30.725B); κἂν μόνη αὐτὴ ᾖ [sc. παρθένος], μηδενὸς ἀνθρώπων παρόντος...πράττειν τι τῶν μὴ ἀξίων τοῦ ν. οὐκ ἀνεχομένη *ib.*29(729A); *ib.*27(725C); ἐὰν...ὅλη θεῷ συναφθῇς, ἄνω χωρίσῃς, οὐ μὴ κάτω πέσῃς, οὐ μὴ διαχυθῇς, ὅλη Χριστοῦ μενεῖς, μέχρις ἂν καὶ Χριστὸν ἴδῃς τὸν σὸν ν. Gr.Naz.*or.*37.12(M.36.297A); **3.** love of bridegroom and fraternal charity ἀγαπᾶν οὖν δεῖ τοὺς πρὸς τὸν ν. παρακαλοῦντας, ἀλλὰ δεῖ τὴν ἀγάπην δικαίαν καὶ μὴ συγκεχυμένην ποιεῖσθαι, ἵνα μὴ τοὺς ὑπηρέτας τοῦ ν., ἀπὸ τοῦ συνεχῶς ἀκούειν αὐτῶν τὰ περὶ τοῦ ν. λαλούντων, ἴσους τοῦ ν. ἀγαπήσασά ποτε, καθέλῃ μὲν τὸ ἀξίωμα τοῦ ν. †Bas.Anc.*virg.* 37(M.30.744B); ἕως ἂν διὰ τὴν πρὸς τὸν ν. ἀγάπην ἀγαπῶσα φαίνῃ τοὺς ἀδελφούς, σώζεις καὶ τὸ πρὸς ἐκεῖνον καὶ τὸ πρὸς αὐτοὺς τὸ τῆς ἀγάπης σεμνόν *ib.*(745A).

D. Christ as bridegroom of soul; **1.** non-myst. (though distinction between myst. and non-myst. use is not always clear cut); **a.** in gen. μακάριός ἐστιν ὁ κεκλημένος ὑπὸ τοῦ ν. *A.Phil.*135(p.67. 20); ζηλοῖ...ἐπὶ ψυχῆς ἐχούσης ἕνα ν. ... ὁ δὲ ν. καὶ καλὸς ζηλωτής Or.*hom.*8.5 *in Ex.*(p.227.31ff.); ἡ σώφρων γυνὴ ὡς νυμφίῳ τῷ υἱῷ τοῦ θεοῦ κοσμεῖται...ἔστι δὲ αὐτῇ κάλλος ἡ ἐν τῇ ψυχῇ εὐνομία *Hom.Clem.*13.16; **b.** by baptism ἔκδυσαί μοι πορνείαν καὶ ἀκαθαρσίαν, καὶ ἔνδυσαί μοι σωφροσύνης λαμπροτάτην στολήν. ἐγὼ παραγγέλλω, πρὶν ὁ ν. τῶν ψυχῶν εἰσέλθῃ Ἰησοῦς Cyr.H.*procatech.*4; αἱ δὲ μέλλουσαι ψυχαὶ τῷ νοητῷ ν. συνάπτεσθαι, παρασκευαζέσθωσαν id.*catech.* 3.1; **c.** after resurrection of body ἡ σὰρξ...ἦν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην τῷ ν. παρίσταται Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως Meth. *symp.*6.3(p.67.13; M.18.117B); **2.** myst.; **a.** description of mystical relationship between bridegroom and bride νῦν ἔοικε πρότερον ἐνεωρακέναι τρανότερον τῷ τοῦ ν. κάλλει ἡ νύμφη...τάχα δὲ κλίνην κοινὴν ἑαυτῆς καὶ τοῦ ν. τὸ σῶμα αἰνίττεται, ἐν ᾧ ἔτι οὖσα ἡ ψυχὴ ἀξιοῦται τῆς τοῦ λόγου κοινωνίας...σύσκιον δέ φησι τὸν ν. διὰ τὴν πυκνότητα τῶν ἐν τῷ λόγῳ καὶ τῇ σοφίᾳ θεωρημάτων Or.*Cant.*3(pp.174. 28–175.27; M.13.147D); ψυχὴ...ἔρωτι πνεύματος οὐρανίου τετρωμένη, καὶ πόθον ἔμπυρον διὰ τῆς χάριτος ἀεὶ ἐν αὐτῇ πρὸς τὸν οὐράνιον ν. ἀνακινοῦσα, ἐπιθυμοῦσα τελείως καταξιωθῆναι τῆς πρὸς αὐτὸν μυστικῆς καὶ ἀρρήτου ἐν ἁγιασμῷ πνεύματος κοινωνίας ἀποκεκαλυμμένη τῷ τῆς ψυχῆς προσώπῳ, καὶ ἐνατενίζουσα τῷ ἐπουρανίῳ ν. πρόσωπον ἐν φωτὶ πνευματικῷ Mac.Aeg.*hom.*10.4(M.34.544A,B); ὡς γὰρ ὁ ν. αὐτῆς καταλιπὼν θρόνους καὶ κυριότητας κατὰ τὸ θνητὸν ἐκολλήθη, ἵνα ἐν αὐτῇ κατὰ συμπάθειαν γεγονώς, εἰς ἀπάθειαν αὐτὴν τὴν ἑαυτοῦ μεταβάλῃ· οὕτω καὶ αὕτη τῷ δι' αὐτὴν ἀπεκδυσαμένῳ τὰς ἀρχὰς καὶ ἐξουσίας, καὶ ἑαυτὸν ἀπὸ μορφῆς θεοῦ εἰς μορφὴν δούλου διὰ τὸ περὶ τὴν νύμφην φίλτρον κενώσαντι, κατὰ τὸ ἀθάνατον κεκολλῆσθαι ὀφείλει, ἵνα καὶ εἰς τὸν οὐράνιον παστὸν αὐτῷ πρὸς τὸν πατέρα ἀνιόντι συνανέλθῃ †Bas.Anc.*virg.*50(M 30.769A); **b.** effects of this relationship ἁρμοσθεῖσα εἰς νύμφην ἡ ψυχὴ τῷ ἐπουρανίῳ ν., λαμβάνει ἀρραβῶνα ἐκ τοῦ πνεύματος, εἴτε χαρίσματα ἰαμάτων, εἴτε γνώσεως, εἴτε ἀποκαλύψεως Mac.Aeg.*hom.*45.7(M.34.792B); ὁ ν. τοῦ περὶ αὐτὸν ἔρωτος αὐτὴν ἀμειβόμενος, κἂν δούλη...διὰ τὴν πρὸς αὐτὸν κοινωνίαν ἐξευγενίζων βασιλίδα οὐρανῶν ποιεῖ †Bas.Anc.*virg.*26(M.30.724C); ἡ νύμφη, συνιστῶσα τοῦ ν. τὴν ἀγαθότητα, ὅτι κἂν μέλαινάν τινα λάβοι ψυχήν, τῇ πρὸς ἑαυτὸν κοινωνίᾳ καλὴν ἀπεργάζεται Gr.Nyss.*hom.*2 *in Cant.*(M. 44.792C); πλεονασμὸν τῆς ἐν τοῖς ἀγαθοῖς εὐφροσύνης οἰκονομῶν ὁ ἀγαθὸς ν. τῇ πρὸς αὐτὸν ἀνιούσῃ ψυχῇ *ib.*8(845B); οὐδ' ἑνὸς ἐπιβουλεύειν δυναμένου τῇ περιληφθείσῃ ὑπὸ τοῦ ν. ψυχῇ Cyr. *fr.Cant.*2:6 (M.69.1284C).

E. Gnost., of Valent. Saviour, becoming spouse of Achamoth, when she will finally enter into Pleroma, Iren.*haer.*1.7.1(M.7.512A); Ἱερουσαλὴμ ἡ ἔξω Σοφία, καὶ ὁ ν. αὐτῆς ὁ κοινὸς τοῦ πληρώματος Καρπός Hipp.*haer.*6.34(p.163.4; M.16.3246B); cf. τὸ δὲ ἐντεῦθεν ἀποθέμενα τὰ πνευματικὰ τὰς ψυχὰς ἅμα τῇ μητρὶ κομιζομένῃ τὸν ν., κομιζόμενα καὶ αὐτὰ τοὺς νυμφίους τοὺς ἀγγέλους ἑαυτῶν, εἰς τὸν νυμφῶνα ἐντὸς τοῦ Ὅρου εἰσίασι Clem.*exc.Thdot.*64(p.128.16; M.9. 689B).

F. other met. applications; **1.** of lawful bishop as 'bridegroom' of his see, *Supplicatio* ap.Evagr.*h.e.*2.8(p.58.14; M.86.2525A); **2.** in pagan mysteries; in ritual cry of devotees at Eleusis χαῖρε νυμφίε, χαῖρε νέον φῶς Firmicus Maternus *de errore profanarum religionum* 20(M.*PL.*12.1025A).

***νυμφιοφόρος,** *representing the bridegroom,* Thdr.Stud.*epp.*2.150 (M.99.1469B).

***νυμφίωσις, ἡ,** *wedding*; spiritual, Thdr.Stud.*epp.*2.150(M.99.1469A) ? f.l. for *νύμφευσις.*

***νυμφοδόχος,** *receiving the bride,* Andr.Cr.*or.*12(M.97.1065A).

νυμφοστολ-έω, *act as escort of* bride or bridegroom; **1.** lit., of Christ joining Adam and Eve ἐμοὶ [sc. Jo. Bapt.] *τὴν κεφαλὴν ὑποκλίνεις, ὁ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐν τῷ παραδείσῳ, καθάπερ ἐν θαλάμῳ, νυμφοστολήσας;* ‡Chrys.*praecurs.*1(2.806A); *νύμφην* [sc. Eve] *χειρὶ πλαττομένην θεοῦ...~οῦντα θεόν* Bas.Sel.*or.*3.3(M.85.53C); Anast.S.*hex.*12(M.89.1052B); **2.** met.; *lead* the soul as bride to God or Christ *~εῖται τρόπον τινὰ ἡ ψυχὴ πρὸς τὴν ἀσώματον...τοῦ θεοῦ συζυγίαν* Gr.Nyss.*hom.*1 *in Cant.*(M.44.765A); *ib.*(769B); *τοῖς μὲν γὰρ ἀρχομένοις τὸ βασιλεύεσθαι πρέπει, τοῖς δὲ τετελειωμένοις ~εῖσθαι* Thdt.*Cant.*3:9f.(2.87); *μακάριος ὁ ~ούμενος καὶ διακρίνειν ἐπιστάμενος φωνὴν μοιχοῦ καὶ νυμφίου* [sc. Christ] *ib.*5:2(109); ref. union of Christ's human soul with his body *ἡ ἁγία παρθένος... ψυχῆς αὐτοῦ* [sc. *Χριστοῦ*] *μήτηρ ἐστίν, αὐτῆς πρὸς τὴν φυσικὴν τοῦ ἰδίου ἐνδύματος συζυγίαν ~ουμένης* Leont.H.*Nest.*3.2(M.86.1609A); of leading Christ as bridegroom to Church as bride, Gr.Nyss.*hom.* 7 *in Cant.*(M.44.916C).

***νυμφοστολία, ἡ,** *nuptials,* Bas.Sel.*v.Thecl.*1(M.85.484B).

***νυμφοστολίζω,** *espouse,* met. *νυμφοστολισθῆναι τῷ Χριστῷ* Bas. Sel.*v.Thecl.*1(M.85.501C); of bishop in rel. to his see *ἦλθε νύμφοστολίσων ὑμᾶς* Gr.Nyss.*Melet.*(M.46.860A).

***νυμφοστολικός,** *like a groomsman*; met., ref. God's dealings with Adam *πατρικὴν καὶ ν. τῶν χιτώνων περιβολήν* Anast.S.*hex.*12 (M.89.1056B).

νυμφοστόλος, ὁ, *one who escorts the bride κύριος...τὴν γυναῖκα δημιουργήσας, καὶ οἱονεὶ ν. γενόμενος, προσάγει...αὐτὴν τῷ ἀνδρί* Thdt.*Mal.*2:14f.(2.1682); id.*haer.*5.25(4.464); *νύμφη* [sc. BMV] *ἧς νυμφοστόλος τὸ πνεῦμα τὸ ἅγιον* Thdr.Stud.*nativ.BMV* 7(M.96. 693A); of those who lead Church or individual souls to Christ: S. Paul, Gr.Nyss.*virg.*21(p.327.16; M.46.400B); Thdt.*carit.*(3.1302); id.*ep.*146(4.1268); S. Luke *τοὺς τῷ παρθενικῷ τῷδε νυμφῶνι...παραστάντας ἡμᾶς ὁ μυστικὸς ν. Λουκᾶς πρὸς τὴν τῶν ἐν αὐτῷ καλῶν κατανόησιν τῷ λόγῳ χειραγωγείτω* ‡Ath.*occurs.*1(M.28.973A); ref. function of *λόγος ἐνδιάθετος* in the soul *τὰς γνωστικὰς ἡ θεωρητικὴ ἀρετὰς ἐφιστῶσα...ὡς ν. λόγον τὸν ἐνδιάθετον* ‡Max.*cap.al.*166(M.90. 1440C).

***νυμφοτόκος, ἡ, 1.** *mother of the bridegroom,* of BMV *χαῖρε τοῦ χηρεύσαντος κόσμου ν. ἀμίαντε* ‡Gr.Thaum.*annunt.*3(M.10.1177A); **2.** *mother of the bride*; of S. Anne, Andr.Cr.*can.BMV* 9(M.97.1328D).

***νυμφοφυλακτήριον, τό,** *house of brides,* of a convent *ν. τοῦ βασιλέως τῶν οὐρανῶν* Thdr.Stud.*epp.*2.150(M.99.1468B).

νυμφών, ὁ, *bridechamber*; met.; **1.** of heaven, ref. Mt.25:1–13 *ζητῶ προσαρμοσθῆναί σοι εἰς τὸν ν. τὸν μέλλοντα A.Xanthipp.*36 (p.140); *ὁ ν. μου* [i.e. Christ] *ἕτοιμός ἐστιν, ἀλλὰ μακάριός ἐστιν ὁ εὑρεθεὶς ἐν αὐτῷ ἔχων τὸ ἔνδυμα λαμπρὸν A.Phil.*135(p.67.5); *κύριος... τὸν χορὸν τὸν ἅγιον αὐτῷ τῶν παρθένων ὥσπερ εἰς ν. τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα συνεισελεύσεσθαι χρησμῳδεῖ* Meth. *symp.*7.3(p.74.7; M.18.128D); *ib.*8.12(p.96.21; 157C); *κατὰ γὰρ τὸν θνητὸν τοῦτον βίον...μήπω τοῦ ν. ἠξιωμένοι...ἀλλ' ἐπὶ τέλει αὐξήσαντας αὐτοὺς καὶ τελειωθέντας παραλήψεσθαι ἐπαγγέλλεται, καὶ εἰς τὸν αὐτοῦ συνεισάξειν ν.* Eus.*fr.Lc.*12:36(M.24.561C,D); *συνάξωμεν τοίνυν εἰς ἀγγεῖα τὸ ἔλαιον...εἰ γε βουλόμεθα μετὰ τοῦ νυμφίου εἰσελθεῖν· εἰ δὲ μή, ἔξω μένειν τοῦ ν. ἀνάγκη* Chrys.*hom.*23.3 *in Jo.*(8.136E); **2.** in connexion with Church '*ἐκκλησία θεοῦ, στῦλος καὶ ἑδραίωμα*' [1Tim. 3:15] *τοῦ ν. Const.App.*3.16.3; *νυμφίος ἐστὶν ὁ Χριστὸς καὶ ἡ ἐκκλησία νύμφη, καὶ ὁ ν. ὁ τόπος τοῦ βαπτίσματος* Anmon.*Jo.*3:29(M. 85.1413D); **3.** of spiritual sense of Cant. *ὑμεῖς ἀκούσατε τοῦ μυστηρίου τοῦ σώματος τῶν ἁσμάτων. ὑμεῖς ἐντὸς γίνεσθε τοῦ ἀκηράτου ν.* Gr. Nyss.*hom.*1 *in Cant.*(M.44.765A); **4.** Gnost. *τὴν μὲν Ἀχαμὼθ... λέγουσι...ἐντὸς πληρώματος εἰσελθεῖν, καὶ ἀπολαβεῖν τὸν νυμφίον αὐτῆς τὸν Σωτῆρα...καὶ τοῦτο εἶναι νυμφίον καὶ νύμφην, ν. δὲ τὸ πᾶν πλήρωμα* Iren.*haer.*1.7.1(M.7.512B); Clem.*exc.Thdot.*64(p.128.17; M. 9.689B) cit. s. *νύμφιος*; *ib.*68(p.129.14; 692A); ref. Marcosian sacramental rite of the bridechamber *οἱ μὲν γὰρ αὐτῶν ν. κατασκευάζουσι καὶ μυσταγωγίαν ἐπιτελοῦσι, μετ' ἐπιρρήσεών τινων τοῖς τελειουμένοις* Iren.*haer.*1.21.3(661A); cf. *Evangelium Philippi* pp.115.30,117.25; of BMV *θάλαμος, ὡς ἐν ν. γὰρ ὁ θεὸς λόγος κατεσκήνωσεν* Procl.CP *or.*5.3(M.65.720C); Abr.Eph.*occurs.*9(p.454.4); Geo.Pis.*carm.*40.1.

νύξ, ἡ, [acc. *νύκταν Didasc.Jac.*1.14(p.752.4)] *night*; **A.** lit.; **1.** etym. *ν. λέγεται ἐπειδὴ νύττει τὸν ἄνθρωπον...λέγουσα·...ὕπνῳ δουλεύεις, διατί τὰ ὑπέρ σε φαντάζῃ; ἡ γὰρ ν. κατανυγή ἐστιν* †Jo.D. *creat.*1(p.61); **2.** purpose; **a.** night and day, in their respective spheres and order, glorify God, Chrys.*hom.in Is.*45:7(6.147D); and manifest his providence, Thdt.*Ps.*18:3(1.719); **b.** provides rest and enables man to enjoy the light, Chrys.*hom.in Is.*45:7(6.156A); providentially designed for rest, id.*scand.*1.7(3.480C); id.*compunct.* 2.5(1.148C); **c.** for meditation and spiritual training, Or.*fr.*60 *in Lam.*(p.260.23; M.13.640B); Cyr.H.*catech.*9.7; **3.** of night of Resurrection, Cosm.Ind.*top.*2(M.88.128A); night of Easter Eve *τῇ κυριακῇ ν.* Sev.Ant.*res.*(p.794.7; M.46.628C); **4.** *ἱερὰ ν.*; **a.** of night of Holy Thursday, Chrys.*anom.*7.5(1.507E); **b.** of Easter Eve, *Libell.*ap. CEph.(449)ap.CChalc.*act.*1(*ACO* 2.1.1 p.187.15; H.2.233E).

B. met.; **1.** of ignorance of God and spiritual darkness before Inc., Clem.*prot.*11(p.80.19; M.8.232B); id.*str.*5.5(p.345.9; M.9.52B); Eus.*theoph.fr.*6(p.19*.7; M.24.625D); Cyr.*ador.*3(1.84D); Thdt.*Rom.* 13:12(3.139); **2.** of spiritual darkness and sin in gen., Clem.*paed.*2. 10(p.217.2; M.8.516C); Chrys.*hom.*56.3 *in Jo.*(8.330B); **3.** of state after death, *ib.*56.2(329C); **4.** of sorrows and misfortunes, Thdt. *Ps.*3:6(1.627); *ib.*16:4(696); **5.** of uncertainty and doubt, *T.Jud.* 18.6; Gr.Thaum.*pan.Or.*16(p.37.7; M.10.1097C); **6.** of present life in gen., Or.*fr.*60 *in Lam.*(p.261.2; M.13.640C); Chrys.*hom.*56.3 *in Jo.* (8.330B).

νύσσα, ἡ, 1. *turning-post*; fig., of mid-day as turning-post in sun's course, Nonn.*par.Jo.*4:8(M.43.773C); **2.** *winning-post* (also *starting-post*); met., Gr.Naz.*or.*38.10(M.36.321B); *ib.*43.22(525B); Evagr.*h.e.*1.11(p.20.18; M.86.2452C); *κατάγχων τῶν παθῶν τοὺς ἱππέας εἰς ν. ἤρθης τῆς ἄνω θεωρίας* (with pun on Gregory of Nyssa), Geo.Pis.*carm.*14.2; **3.** met., *course* of time, Nonn.*par.Jo.*2:20(M.43. 764C); *ib.*6:35(800B); *ib.*7:14(808A).

νύσσ-ω (νύττω), 1. *pierce, prick,* of piercing the side of Christ (Jo.19:34) *τῷ κάτω ὄχλῳ...λόγχαις ~ομαι...σοὶ δὲ λαλῶ A.Jo.*97 (p.199.15); *ἀκούεις με...νυγέντα καὶ οὐκ ἐπλήγην ib.*101(p.201.20); *εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας...οὐδ' ἂν νυγείσης αὐτοῦ τῆς πλευρᾶς ἐξῆλθεν αἷμα καὶ ὕδωρ* Iren.*haer.*3.22.2(M.7.957B); Or.*Jo.*2.8(4; p.62. 23; M.14.121D); *ὁ κύριος...ἐξ ἑνὸς ὢν ἐξ ἑνὸς ἐνύγη, ἐγὼ δὲ* [sc. S. Thomas] *ἐκ τεσσάρων* [sc. elements] *ὑπάρχων ἐκ τεσσάρων ~ομαι A.Thom.*A 165(p.279.18); Ath.*ep.Epict.*10(p.16.8; M.26.1065D); Nonn. *par.Jo.*19:34(M.43.905B); **2.** *nudge,* Chrys.*hom.*8.2 *in Eph.*(11.55C); *ib.*8.5(61B); **3.** *stir, move,* Thdt.*provid.*3(4.519); Jo.Mosch.*prat.*43 (M.87.2897B); **4.** met.; **a.** *prick, stab λόγοι...τὴν συνείδησιν ~οντες* †Bas.*hom.in Ps.*37(1.364E; M.30.89A); cf.Chrys.*hom.*64.5 *in Mt.*(7. 643A); Pall.*v.Chrys.*20(p.139.14; M.47.78); Marc.Diac.*v.Porph.*4; Diad.*perf.*92(p.132.10); †Jo.D.*creat.*1(p.61); **b.** *urge, incite,* Or.*fr.* 66 *in Lc.*13:6(p.265); Thdt.*h.e.*1.2.10(3.726); Gel.Cyz.*h.e.*3.10.17.

νυσταγμός, ὁ, *drowsiness, A.Jo.*32(p.168.4); ref. Mt.25:5 *ὁ... χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, ὁ δὲ ν. καὶ ἡ κοίμησις τῶν δέκα παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου* Meth.*symp.*6.4 (p.68.21; M.18.120A); *ὕπνος βαρεῖα τίς ἐστιν ἀναισθησία· ὁ δὲ ν. μίγμά ἐστιν ἐγρηγόρσεως καὶ ὕπνου* †Bas.*hom.in Pr.*6:4(2.618B; M. 31.1500C); Pall.*h.Laus.*2(p.17.18; M.34.1011C); plur., Clem.*paed.*2.9 (p.207.18; M.8.496C); met., of spiritual torpor, Bas.*hom.*10.6(2.79A; M.31.344C); Gr.Nyss.*hom.*11 *in Cant.*(M.44.996A); Pall.*h.Laus.* proem.(p.10.10; M.34.1001).

νυστάζ-ω, *be drowsy, doze*; **1.** lit., prevented among church congregation by deacons, *Const.App.*2.57.13; proverb *φαλακρὸς ὢν κατὰ κριοῦ μὴ ~ειν* Gr.Naz.*ep.*191(M.37.313B, v.l. *νευστάζειν*); **2.** ref. mental and spiritual torpor, *Pss.Sal.*16.1; Hipp.*haer.*proem.(p.3.5; M. 16.3020C); *~οντες φανταζέσθωσαν* Ath.*ep.Aeg.Lib.*23(M.25.592A).

***νυχαλία, ἡ,** *night,* Gr.Nyss.*v.Ephr.*(M.46.836B).

νυχθημερινός, *of a night and a day,* ‡Chrys.*hom.*13(13.253D); *Schol.Clem.prot.*9(p.316.5; M.9.788A).

νύχος, τό, *night, darkness λύχνος γάρ, παρὰ τὸ λύειν τὸ ν. λέγεται. ν. δὲ καλοῦσι τὸ σκότος οἱ περὶ λόγους σπουδάζοντες* Max.*qu.Thal.*63 (M.90.668C); intellectual, id.*opusc.*(M.91.72A).

***νωβελ(λ)ίσ(σ)ιμος (*νοβελ(λ)-, *νοβελ(λ)ή-),** (Lat. *nobilissimus*) *most noble,* highest title next to that of Caesar, restricted to imperial family, Philost.*h.e.*8.8(M.65.561B); ‡Jo.D.*Artem.*7(p.27.18; M.96.1257C); Thphn.*chron.*p.374(M.108.896B).

νωδός, *dumb, Orac.Sib.*4.9; Epiph.*ep.Arab.*ap.*haer.*78.3(p.454.13; M.42.704B); Isid.Pel.*epp.*1.54(M.78.217A).

***Νῶε, ὁ,** *Noah*; **1.** as antitype of Adam; **a.** as renewing human race, Thdt.*qu.*53 *in Gen.*(1.66); cf.Ath.*Ar.*2.51(M.26.256A); **b.** as preserving divine image, Bas.Sel.*or.*5.2(M.85.84B); Cosm.Ind.*top.*5(M. 88.236C); and also as having dominion over lower creatures, Chrys. *hom.*25.5 *in Gen.*(4.238B,C); Bas.Sel.*or.*6.3(96B); **c.** exeg. Gen.9:20–21 *τοιοῦτος ἦν ὁ καρπὸς τοῦ ξύλου τοῦ γνωστοῦ καλοῦ καὶ πονηροῦ, οἷος ὁ οἶνος, ὁ τὸν N. γυμνώσας* Or.*sel.in Gen.*9:20(M.12.109C); but Noah sinned in ignorance *οὐκ ᾔδει N. τὴν τοῦ οἴνου φύσιν, ὅτι*

μεθύσκει *ib.*; Chrys.*hom.29.2 in Gen.*(4.282B); Thdt.*qu.56 in Gen.* (1.68); **2.** as type of Christ; **a.** in gen. *ὁ δίκαιος γὰρ N. μετὰ τῶν ἄλλων ἀνθρώπων ἐπὶ τοῦ κατακλυσμοῦ...οἵτινες ἀριθμῷ ὄντες ὀκτώ, σύμβολον εἶχον τῆς...ὀγδόης ἡμέρας, ἐν ᾗ ἐφάνη ὁ Χριστὸς...ἀναστάς. ...ὁ γὰρ Χριστὸς...ἀρχὴ...ἄλλου γένους γέγονε, τοῦ ἀναγεννηθέντος ὑπ' αὐτοῦ δι' ὕδατος καὶ πίστεως καὶ ξύλου, τοῦ τὸ μυστήριον τοῦ σταυροῦ ἔχοντος, ὃν τρόπον καὶ ὁ N. ἐν ξύλῳ διεσώθη ἐποχούμενος τοῖς ὕδασι μετὰ τῶν ἰδίων* Just.*dial.*138.1–2(M.6.793A,B); **b.** ref. Christ's baptism *ταύτης ἔφερε τύπον μερικῶς...ἡ ἐπὶ N. περιστερά. ὥσπερ γὰρ ἐπ' ἐκείνου διὰ ξύλου καὶ ὕδατος αὐτοῖς μὲν ἐγένετο ἡ σωτηρία, καινῆς δὲ γενέσεως ἀρχή, καὶ ἡ περιστερὰ ἀνέστρεψε πρὸς αὐτὸν τὸ πρὸς ἑσπέραν...οὕτω...καὶ τὸ πνεῦμα τὸ ἅγιον κατῆλθεν ἐπὶ τὸν ἀληθινὸν N., τὸν τῆς δευτέρας γενέσεως ποιητὴν...ἵνα δείξῃ ὅτι οὗτός ἐστιν ὁ διὰ ξύλου σταυροῦ σώζων τοὺς πιστεύοντας, ὁ μέλλων πρὸς ἑσπέραν διὰ τοῦ θανάτου αὐτοῦ χαρίζεσθαι τὴν σωτηρίαν* Cyr.H.*catech.*17.10; ref. Christian baptism *ἐπεὶ οὖν πρώτη ἀνάστασις τοῦ γένους μετὰ τὸν κατακλυσμὸν διὰ ὀγδοάδος ἀνθρώπων ἐγένετο, διὰ τοῦτο καὶ ὁ κύριος πρῶτος τὴν ἀνάστασιν τῶν νεκρῶν ἐν τῇ ὀγδόῃ ἄρχεται. ὅτε καθάπερ ἐν κιβωτῷ τῷ τάφῳ ὡς ὁ N. ἔμεινεν...καὶ τὸ βάπτισμα τῆς παλιγγενεσίας ἐπέδωκεν· ἵνα συνταφέντες αὐτοῦ τῷ βαπτισμῷ, κοινωνοὶ τῆς ἀναστάσεως αὐτοῦ γενώμεθα* Ast.Soph.*Ps.*6(M.40.448C); **c.** ref. name Noah (= *ἀνάπαυσις*) *ὁ λόγος...ἐστιν ὁ κατ' ἀλήθειαν N., τουτέστιν, ἡ δικαιοσύνη καὶ ἡ ἀνάπαυσις. ἑρμηνεύεται γὰρ ὧδε τὸ ὄνομα* Cyr. *glaph.Gen.*2(I².33B); Proc.G.*Gen.*9:3(M.87.297D); cf. *quomodo enim verum erit quod ille Noe requiem dederit...ubi potius et iracundia divina major ostenditur?...si vero respicias ad...Christum...huic ergo spiritali Noe qui requiem dedit hominibus...dicitur 'facies tibi arcam'*, Or.*hom.2.3 in Gen.*(p.31.19ff.; M.12.169A,B); **d.** as eleventh from Adam *ἑνδέκατος μὲν ἐξ Ἀδὰμ ὁ N. Χριστὸς δὲ...ὡς ἐν ἐσχάτῳ τε καὶ ἑνδεκάτῳ καιρῷ γεγένηται κατὰ σάρκα* Cyr.*glaph.Gen.*2(I².32E); **e.** as inaugurating new dispensation, *Lit.*ap.*Const.App.*8.12.22; **f.** as foreshadowing salvation, Cyr.*glaph.Gen.*2.(I².32C); Cosm.Ind.*top.* 5(M.88.236C); **3.** as moral example; of faith, Gr.Naz.*or.*43.70(M. 36.592B); Cyr.*fr.Ezech.*14:14(M.70.1460A); Bas.Sel.*or.*5.2(M.85.84C); Proc.G.*Is.*24:1–23(M.87.2192C); of monastic poverty, *Apophth. Patr.*(M.65.336C); **4.** as preacher of repentance *N. ἐκήρυξεν μετάνοιαν* 1*Clem.*7.6; Thphl.Ant.*Autol.*3.19(M.6.1145C); *Apoc.Paul.*50(p.68).

νωθροκάρδιος, *slow, indifferent, of heart,* Pall.*v.Chrys.*4(p.25.14; M.47.16); Thdr.Stud.*or.*2(M.99.696A).

νωθρώδης, *senseless, stupid,* †Gregent.*disp.*4(M.86.752C).

***νωμεύς, ὁ,** *governor,* Gr.Naz.*carm.*1.1.1.34(M.37.401A); *ib.*2.2 (poem.)3.4(1480A).

***νωμητής, ὁ,** = foreg., Gr.Naz.*carm.*2.1.38.11(M.37.1320A).

***νῶναι (*νόναι, *νόνναι), αἱ,** (Lat. *Nonae*) *Nones* *νόναις φευρουαρίαις M.Perp.*proem.(p.61.5); *νωνῶν Ἀπριλλίων* Eus.*m.P.*7(p.921. 22; M.20.1484A); *ib.*(p.923.6; 1484B); *νόνναις Μαίαις* Cyr.H.*ep. Const.*4(M.33.1169A); CCP(536)*act.*1(p.126.1; H.2.1188C); Thphn. *chron.*p.72(M.108.229A).

§νῶσις, ἡ, f.l. for *οἴνωσις,* Proc.G.*Gen.*9:21(M.87.305A).

***νωτάριος, ὁ,** v. ***νοτάριος.**

νωτοφόρος, *carrying on the back*; **1.** of beasts *of burden* *ν. ζῷα* Melet.*nat.hom.*14(M.64.1208C); **2.** as subst.; **a.** neut., *beast of burden,* Eus.*v.C.*3.6(p.79.30; M.20.1060B); Bas.*ep.*94(3.188B; M.32. 488C); Soz.*h.e.*4.19.10(M.67.1172B); **b.** masc., *carrier,* Or.*Jo.*10.39 (p.217.6; M.14.384B).

***νωτοφύλαξ, ὁ,** *one of the rearguard,* *Chron.Pasch.*p.397(M.92. 1016B); Thphn.*chron.*p.331(M.108.797C).

***νωχελῶς,** *sluggishly,* Eus.*Is.*48:15–20(M.24.428B); Horm.*ep.cler.* (p.55.13; M.*PL*.63.419C).

Ξ

ξανθίζω, *dye fair*; hair, Clem.*paed.*3.2(p.239.9; M.8.561B).

Ξανθικός (**[*]Ξαντικός**), **ὁ,** Macedonian month, *M.Polyc.*21; *ἔστι μὴν πρῶτος Ξ., ὁ καλούμενος Ἀπρίλλιος, ὅπερ ἐστὶν ἡ ἡμέρα τῆς ἀναστάσεως* Mac.Aeg.*hom.*5.9(M.34.513C); *ὁ πρῶτος μὴν τῆς συλλήψεως τοῦ δεσπότου, Ἀπρίλλιος, ὃς ἐστι Ξαντικός* Chrys.*nativ.*1.5(2.362B); *Ἑβραῖοι δὲ τὸν Ξ. πρῶτον ἴσασι μῆνα* Thdt.*Zach.*1:7(2.1596).

ξάνθισμα, τό, *dyeing fair*; of hair, Clem.*paed.*3.3(p.246.1; M.8. 577C).

***ξανθοαρχιγένειος,** *having the beginnings of a fair beard,* Jo.Mal. *chron.*5 p.104(M.97.193A).

***ξανθογένειος,** *fair-bearded,* *A.Barth.*2(p.131.20).

***ξανθόμματος,** *with tawny eyes,* ‡Hipp.Th.*fr.*17(p.50.9).

***ξανθόπλοκος,** *yellow-twining*; poet., Geo.Pis.*hex.*1387(M.92. 1541A).

***ξανθοποιέω,** *dye fair*; of hair, *Const.App.*1.3.10.

***ξάνθοφρυς,** *having fair eyebrows,* Jo.Mal.*chron.*5 p.104(M.97. 193A).

ξανθοχολικός, *containing* or *consisting of yellow bile,* Melet.*nat. hom.*synops.(M.64.1128A).

[*]Ξαντικός, ὁ, v. *Ξανθικός.*

***ξεινηδόκος, ὁ,** *host,* Nonn.*par.Jo.*11:11(M.43.840C).

ξεινήϊος, *provided for a guest* *ξ. ὕδωρ* Nonn.*par.Jo.*4:7(M.43. 773C).

[*]ξεινιτεία, ἡ, v. ξενιτεία.

ξεινοδόκος, *hospitable,* Nonn.*par.Jo.*8:39(M.43.820A).

ξεναγ-έω, 1. *guide,* met. *ἐπὶ ταύτην ἅπαντας τὴν ἀλήθειαν ~ῶν* Thdt.*h.e.*1.13.18(3.787); pass., ref. God's guidance, id.*provid.*5(4. 555); *~εἶσθαι ὑπὸ τῆς πίστεως* id.*affect.*1(p.26.1; 4.716); *lead* into Arianism, id.*h.e.*4.11.4(968); *act as cicerone to,* id.*provid.*1.15(490); **2.** *introduce a stranger,* Bas.*ep.*319(3.446C; M.32.1065C); **3.** *show hospitality to, receive as a guest,* Thdr.Stud.*epp.*2.111(M.99.1373A).

ξεναγός, ὁ, ἡ, 1. *guide, cicerone* *ξ. ἡμῶν...θεόν* Thdt.*Bar.*5:9(2. 646); **2.** fem., *hostess*; of Sarah, ‡Caes.Naz.*dial.*31(M.38.896).

ξεναγωγέω, 1. *guide strangers,* Bas.*hex.*7.4(1.66E; M.29.157A); Thdt.*h.rel.*6(3.1168); met., id.*provid.*1(4.497); pass., *be led as strangers,* Tit.Bost.*Man.*1.18(M.18.1092D); **2.** *entertain as guest,* Dion.Ar.*ep.*8.6(M.3.1097B); pass., Bas.Sel.*v.Thecl.*1(M.85.481D).

***ξενακούω,** *ξενηκούσθησαν* Jo.D.*carm.pent.*88(M.96.837A; corrected to *ξέναι ἠκούσθησαν* p.216).

ξενεών, ὁ, *hostel,* Isch.*libell.*(p.18.2; H.2.327A); *ib.*(p.19.6; 329A).

ξένη, ἡ, [sc. *γῆ*] *foreign land*; met., of earth opp. heaven, Herm. *sim.*1.1; *ib.*1.6; ‡Epiph.*hom.*2(M.43.448A).

ξενηλατέω, 1. *banish foreigners,* *T.Lev.*6.10; **2.** *disturb,* Athenag. *leg.*24.1(M.6.945A).

ξενία, ἡ, 1. *place where hospitality is offered, hostel, lodging,* *Hom. Clem.*8.2; *τὸν εὐρύτατον τῆς ξ. οἶκον εἰσελθόντες ib.*10.26; *cat.Mt.*2:7 (p.15.14); theol., met. *εἰ 'τὴν τοῦ σώματος ξ. πρὸς οἰκονομίαν τῶν θείων ἐνεργειῶν' παραλαμβάνεις, οὐκ ἀποδοκιμάζω* Const.ap.Gel.Cyz. *h.e.*3.19.14(M.85.1348C); **2.** monk's *cell* *ᾠκοδόμησεν ἑαυτῷ ἐκεῖ ξ. μικράν* Pall.*h.Laus.*47(p.136.16; M.34.1196A); *ib.*16(p.41.5; 1041D); †Jo.D.*B.J.*21(M.96.1045A).

ξενίδιον, τό, *guest-chamber, lodging,* Pall.*v.Chrys.*20(p.138.19; M. 47.77); id.*h.Laus.*26(M.34.1073C; *ξένιον* p.65.2); *ξ. λαβεῖν* Call. *v.Hyp.*(p.73).

ξενίζ-ω, 1. *entertain as guest,* Chrys.*hom.45.3 in Ac.*(9.341D); Nil. *epp.*1.61(M.79.109B); met., the truth, *Hom.Clem.*1.11; **2.** *greet,* Gr. Naz.*or.*34.6(M.36.245B); *~ων ⟨ὑμᾶς⟩...τῷ τῆς εἰρήνης προσ⟨ρήματι⟩* Anast.Ant.*redit.*(p.251); **3.** *astonish, dismay, shock,* Gr.Nyss.*fat.*(M. 45.149D); Didym.(‡Bas.)*Eun.*5(1.316D; M.29.760A); of BMV *αὕτη καὶ τὰς τῶν οὐρανῶν δυνάμεις ἐξένισεν* ‡Epiph.*hom.*5(M.43.488B); pass., *be astonished, be shocked,* Alex.Al.*ep.syn.*4(p.8.17; M.18.573D); **c.** *περί,* Ath.*v.Anton.*20(M.26.872C); c. *ἐπί,* id.*decr.*23.2(p.19.18; M. 25.456D); c. *πρός,* Bas.*ep.*266(3.412A; M.32.992B); **4. a.** trans., *make strange* *συνθέσει λέξεων...~ούσῃ τὴν διάλεκτον* Or.*Cels.*7.60(p.210.6; M.11.1505D); **b.** intrans., *be strange* or *new*; of words and doctrines, Ath.*decr.*18(p.15.29; M.25.448C); Bas.*Spir.*3(3.3D; M.32.72C); *ib.*17 (14E; M.97A); *κατὰ τὸ ξενίζον in a strange manner,* Philost.*h.e.*3.11(M. 65.497D); **5.** *use strange* or *unfamiliar language* *ξ. καὶ καινοτομεῖν* Chrys.*hom.16.7 in Mt.*(7.214B); id.*hom.7.6 in 1Cor.*(10.59D); Gr. Nyss.*Eun.*1(1 p.202.10; M.45.449B).

ξένιον, τό, 1. *gift, reward* *τὰ τῆς ἑορτῆς ξ. Can.App.*70; *οἱ... προφῆται...οὐ προσήκαντο ξ. Const.App.*4.7.2; *ξ. εὐπειθίας* Cyr.*Is.*5.2 (2.764A); **2.** *guest-chamber, lodging,* Pall.*h.Laus.*26(p.65.2; *ξενίδιον* M.34.1073C).

ξενισμός, ὁ, 1. *astonishment,* ‡Ign.*Eph.*19; Serap.*Man.*17(p.36; M.40.913B); Gr.Nyss.*or.catech.*25(p.95.3; M.45.65C); **2.** *injurious effect, hardship*; of journeys, *T.Abr.*B 13(p.117.20); Bas.*ep.*198(3. 290B; M.32.716A); **3.** *entertainment of a stranger, hospitality* *ξ. λαχάνων* Hyper.*mon.*92(M.79.1481C); met., of BMV *ὅτι τῷ δημιουργῷ λόγῳ καταγώγιον ξενισμοῦ ἡτοίμασται* Thdr.Stud.*nativ.BMV* 1(M.96.681A); **4.** *differentiation,* Cyr.*thes.*9(5¹.70D).

ξενιτεία (ξεινιτεία), ἡ, 1. *sojourn* or *travel in a foreign land, exile* *Ἰησοῦ, ὃν ἡ θλῖψις τῶν ἐν ξ. κινεῖ πρὸς εὐσπλαγχνίαν A.Xanthipp.*24 (p.75.16); Max.*ep.*30(M.91.624C); met., of saints on earth, Clem. *q.d.s.*36.2(p.183.25; M.9.642B); **2.** *solitude, isolation from world* as religious person, *Apophth.Mac.Aeg.*2.7(M.34.236A); *πρώτη τῶν*

λαμπρῶν ἀγωνισμάτων ἐστὶ ξ. Nil.*Eulog.*2(M.79.1096B); ξεινιτεία Esaias *or.*9(p.17); φύλαξον τὴν ξ. σου *Apophth.Patr.*(M.65.109A).

ξενιτεύ-ω, 1. *be away from home,* Iren.*haer.*4.5.3(M.7.985B); ‡Epiph.*hom.*3(M.43.473C); †Bas.Sel.*or.*41(M.85.473A); **2.** *live in separation from the world* νηστεύων πολύ, ~ων, εὐχόμενος Mac.Aeg. *cust.cor.*10(M.34.829B); μεῖζόν ἐστι τὸ ξ. παρὰ τὸ ξενοδοχεῖν *Apophth. Patr.*(M.65.232B); Pall.*h.Laus.*4(p.20.11; M.34.1017B).

***ξενοβόρος,** ὁ, *one who eats strangers, cannibal,* ‡Caes.Naz.*dial.* 109(M.38.980).

ξενοδοχεῖον, τό, *guest-house* or *hospice*; for travellers, sick, and poor εἰ δεῖ τὸν ἐν ἀδελφότητι ζῶντα, καὶ ἀσθενείᾳ σωματικῇ περιπεσόντα, εἰς ξ. ἀπάγειν Bas.*reg.br.*286 tit.(2.516A; M.31.1284B); τὸ ξ. ... ὅπερ ἐν τῷ Πόντῳ καλεῖται πτωχοτροφεῖον Epiph.*haer.*75.1(p.333. 24; M.42.504B); πρόσκειται δὲ τῇ ἐκκλησίᾳ ξ., εἰς ὃ τὸν ἀπελθόντα ξένον...δεξιοῦνται Pall.*h.Laus.*7(p.25.21; M.34.1020B); ὁ δὲ μέγας Κωνσταντῖνος σιτομέτριον...ἐχαρίσατο ξενοδοχείοις Thphn.*chron.*p.23 (M.108.117B); ξενοδόχεν *MAMA* 3.347 (Corycus); ξενοδοκεῖον *CIG* 8645 (Smyrna, ? saec. v–vi).

ξενοδοχ-έω, 1. trans., *entertain* or *receive as guest,* Bas.Sel.*or.* 6.3(M.85.96A); Nil.*epp.*3.145(M.79.452A); Jo.Mosch.*prat.*87(M.87. 2944C); myst. ἐν ἁγναῖς...~οῦμεν ψυχαῖς τὸν θεόν Clem.*prot.*9(p.63. 32; M.8.196C); αὐτὸν ξ. Ἰησοῦν Nil.*epp.*1.61(M.79.109B); **2.** intrans., *entertain guests* or *strangers* μὴ ἁπλως ~εἶτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν τοὺς ξένους Chrys.*hom.33.3 in Heb.*(12.305B); as a pious duty, Gr. Naz.*carm.*2.1.11.1219(M.37.1113A).

ξενοδοχία, ἡ, *exercise of hospitality* οὐκ εἶπε, τῆς ξ. μὴ ἐπιλανθάνεσθε, ἀλλά, τῆς φιλοξενίας Chrys.*hom.33.3 in Heb.*(12.305B); Bas. *ascet.disc.*1(2.212C; M.31.649B); Pall.*h.Laus.*40(p.127.7; ξενοδοχείαν M.34.1209A); ὅσον γὰρ διαφέρει τοῖς ἀτονοῦσιν ὕδατος ὁ οἶνος, τοσοῦτον ὑπερβάλλει ξενοδοχίας διδασκαλία id.*v.Chrys.*12(p.72.17; M.47.41).

ξενοδόχος, ὁ, ἡ, 1. *one who entertains guests, host, hostess*; masc., Chrys.*hom.79.2 in Mt.*(7.761A); id.*hom.32.2 in Rom.*(9.756C); fem., *Hom.Clem.*12.33; *ib.*13.9; **2.** *guest-master*; **a.** in a church Ἰσιδώρῳ πρεσβυτέρῳ ὄντι ξενοδόχῳ τῆς Ἀλεξανδρέων ἐκκλησίας Pall.*h.Laus.*1 (p.15.9; M.34.1009A); ξ. Ἀλεξανδρείας id.*v.Chrys.*6(p.35.10; M.47.22); **b.** in a monastery, Dor.*doct.*11.7(M.88.1741C); **3.** neut., *hospitality,* Pall.*v.Chrys.*20(p.131.12; M.47.73).

***ξενοεποῦντες,** s.v.l., ? *using strange language,* Cyr.*ep.*8(p.111.32, vv.ll. *ἐξενοεποῦντες, ξενοποιοῦντες* 5^2.35A).

***ξενοκομεῖον, τό,** *strangers' hostel,* Max.*ep.*44(M.91.648A).

***ξενολεκτέω,** *use strange language*; med., Epiph.*haer.*66.4(p.22. 1; M.42.36B); pass., *ib.*66.70(p.111.6; 140C); *ib.*32.1(p.439.8; M.41. 544C).

***ξενολεξία, ἡ,** *strange* or *heretical saying,* Epiph.*haer.*42.11(p.107. 15; M.41.709D); *ib.*(p.124.6; 725C); κατὰ τῆς ἀληθείας ξ. *ib.*57.10(p.357. 19; 1009D).

ξενολογία, ἡ, *strange* or *heretical talk,* Epiph.*haer.*69.53(p.200.29; M.42.285B); *ib.*77.2(p.417.11; 644A).

***ξενοπαγής,** *made of strange* or *alien substance*; ref. Christ's physical body, Procl.CP *or.*4.2(M.65.712A).

ξενοπαθέω, 1. *be perturbed, distressed* (at); c. dat., Gr.Nyss.*diff. ess.*(M.32.336B); c. genit., *mourn* τοῦ ἡμετέρου πατρὸς ξ. Thdr.Stud. *epp.*2.126(M.99.1409A); intrans., Chrys.*hom.5.4 in Heb.*(12.58C); **2.** *be affected in a strange manner, undergo a strange experience,* Chrys.*hom.3.4 in 1Thess.*(11.445C); id.*hom.1.1 in 2Tim.*(11.658B).

ξενοπολίτης, ὁ, *naturalized alien,* Eustrat.*v.Eutych.*61(M.86. 2344C).

ξενοπρεπής, *strange, extraordinary,* comp. ξενοπρεπεστέρα...τῆς Εὔας ἡ τοῦ Ἀδὰμ γέννησις Tim.Ant.*nativ.Jo.Bapt.*3(M.28.913B).

***ξενοπρόσωπος,** *of strange features,* ‡Chrys.*hom.*13(13.252E).

***ξενορρυής,** *of strange flow,* Tim.Ant.*descr.BMV* 1(M.28.945A).

ξένος, A. *extraneous* τῶν ξ. ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων *Can.App.*33; of a visiting bishop, *Const.App.*2.58.3; *strange* to, *alien* from, c. genit. ξένοι δέ, ὧν ξ. τὰ κοσμικά Clem.*str.*2.9(p.134.25; M.8.976C); *ib.*4.26(p.321.31; 1376A); *excommunicate from* ξ. τῆς Ῥωμαίων ἐκκλησίας Tim.CP *haer.*(M.86.25A).

B. *of different nature*; **1.** in gen., ‡Ath.*serm.fid.*25(p.22; M.26. 1280B); of metals of various kinds, Ath.*decr.*23(p.19.24; M.25.457A); **2.** theol., *separate, alien, foreign,* abs. and c. genit. οἱ δὲ τρεῖς θεοὺς...κηρύττουσιν, εἰς τρεῖς ὑποστάσεις ξ. ἀλλήλων...κεχωρισμένας Dion.R.ap.Ath.*decr.*26(p.22.8; 464A); Gr.Naz.*or.*20.6(M.35.1072B) cit. s. ἀνόμοιος; οὐ ξ. ἂν εἴη τῆς οὐσίας τοῦ πατρός Dion.Al.ap.Ath. *Dion.*20.2(p.61.17; M.25.509B); Ath.*Ar.*2.32(M.26.216B); ref. Jo. 14:28 οὐκ εἴρηκεν· ὁ πατήρ μου κρείττων...ἵνα μὴ ξένον τις τῆς ἐκείνου φύσεως αὐτὸν ὑπολάβῃ, ἀλλὰ μείζων εἶπεν...διὰ τὴν ἐξ αὐτοῦ τοῦ πατρὸς γέννησιν Cyr.*Heb.*1:4(p.372.26; M.74.957B); in Arianism ξ. καὶ ἀλλότριος, καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος τῆς τοῦ θεοῦ οὐσίας Alex.Al.*ep.encycl.*3(p.8.3; M.18.573B); Ath.*decr.*6(p.5.26; M.25.425A) cit. s. ἀνόμοιος; ὁ λόγος οὐκ ἔστιν ἴδιος τοῦ πατρός, ἀλλ' ἄλλος μέν ἐστιν ὁ ἐν τῷ θεῷ λόγος, οὗτος δὲ ὁ κύριος ξ. μὲν καὶ ἀλλότριός ἐστι τῆς τοῦ πατρὸς οὐσίας, κατ' ἐπίνοιαν δὲ μόνον λέγεται λόγος καὶ οὐκ ἔστι μὲν κατὰ φύσιν...τοῦ θεοῦ υἱός Ar.*Thal.fr.*16 ap.Ath. *Dion.*23(p.62.29; M.25.513A); τὸ δὲ 'πεποιῆσθαι'...διὰ τὸ ἀλλοτρίου καὶ ξ., καὶ πάντη ἀνοικείου πρὸς τὸν ποιήσαντα τὴν ἔννοιαν παριστᾶν Bas.*Eun.*2.6(1.242C; M.29.584A); of H. Ghost οὐ ξ. τοῦ θεοῦ Ath. *ep.Serap.*1.25(M.26.588C); οὐ ξ. τῆς τοῦ υἱοῦ φύσεως, οὔτε τῆς τοῦ πατρὸς θεότητος *ib.*4.3(641B); of Father in rel. to humanity of Son ὁ γεωργὸς ξ. ἐστι κατ' οὐσίαν τῆς ἀμπέλου id.*Dion.*10(p.53. 12; M.25.493C); of God in rel. to creatures ξ. τὰ γενητὰ κατὰ φύσιν ἐστὶ τοῦ θεοῦ *ib.*26(p.66.3; 520B); χωρὶς τοῦ πνεύματος ξ. καὶ μακρὰν ἐσμεν τοῦ θεοῦ id.*Ar.*3.24(M.26.373C); ξ. τῶν προσταγμάτων σου κατέστην Anast.*poenit.*7(p.284); ref. Marcionites πῶς οὗτοι ξένην τοῦ πατρὸς τὴν κτίσιν εἰσάγουσιν; Ath.*inc.*2.6(M.25.100C); of Arian heresy ξ. τῆς ἐκκλησιαστικῆς πίστεως id.*h.Ar.*66(p.219. 19; M.25.772B); Thdt.ap.Cyr.*apol.Thdt.*2(p.114.12; 6^1.208B) cit. s. ἀλλόφυλος.

C. *strange, unusual, novel* ξ. διδαχάς Herm.*sim.*8.6.5 (v.l. ἑτέρας p.103); ξ. ἀποδείξεις Just.*dial.*55.3(M.6.596C); ὁ κύριος...ξ. ἀστὴρ καὶ καινός Clem.*exc.Thdot.*74(p.130.18; M.9.693A); ξ. ... παραβολάς Eus. *h.e.*3.39.11(M.20.300A); in derisive sense, *unheard of,* Clem.*prot.*6 (p.51.11; M.8.172B); ξ. λατρείας Apoll.*fid.sec.pt.*1(p.167.14; M.10. 1105B); ξ. κολάσεις Jo.D.*parall.*tit.(M.96.205D); *strange, repugnant* to, c. genit. τῆς ἐκκλησίας ξένων Ἑλληνικῶν μαθημάτων ‡Proc.G. *Pr.*5:15(M.87.1264D); c. dat. τῆς ἀλλοτρίας καὶ ξ. τοῖς ἐκλεκτοῖς... στάσεως *1Clem.*1.1; hence **1.** *wonderful, marvellous,* Just.*1apol.*16. 4(M.6.352D); of Zacharias' speech (Lc.1:64), ‡Thdt.*nativ.Jo.Bapt.* 7(5.91); of curious wonders, Philost.*h.e.*3.11(M.65.497D); *ib.*12.8 (617B); τὸ ξένον *novelty, ib.*3.11(497A); **2.** *peculiar to itself* ὁ λόγος ...ἔχει ξένον, τὸ εἶναι θεός Or.*hom.20.1 in Jer.*(p.176.23ff.; M.13. 500C,D).

D. masc. as subst., *stranger*; as object of Christian charity, *Const.App.*4.2.1; ξ. καὶ πένης θεοῦ κολλούριον Evagr.Pont.ap.Jo.D. *parall.*(M.96.289C); Pall.*h.Laus.*14(p.38.7; M.34.1036A); of one devoted to separation from the world, *Apophth.Patr.*(M.65.256C); met., of Christ incarnate, ‡Epiph.*hom.*2(p.15 passim; M.43.445C); of Christian as living on earth, *Diogn.*5.5; ὁ ἐκλεκτὸς ὡς ξ. πολιτεύεται Clem.*str.*4.26(p.321.32; M.8.1376B); of Abraham's life, Chrys.*hom.45.3 in Ac.*(9.342D).

***ξενόσπορος,** *of strange seed,* Geo.Pis.*bell.Avar.*87(M.92.1270A); fig. τῶν ξ. λόγων id.*hex.*77(M.92.1435A).

ξενοτάφιον τό, *strangers' burial-place,* Jo.Mosch.*prat.*88(M.87. 2945B); Max.*ep.*44(M.91.648A); Leont.N.*v.Sym.*61(M.93.1744D).

***ξενοτόκος, ἡ,** *mother in a strange way* ἡ θεοτόκος ἡ ξ. Ant.Ptol. *fr.*ap.Cyr.*Arcad.*(p.66.33; 5^2.49E).

ξενότροπος, *of strange fashion,* Geo.Pis.*hex.*1481(M.92.1548A).

***ξενοτρόπως,** *in strange* or *wondrous fashion, A.Pil.*B 10.4(p.306).

***ξενοτρόφος,** *showing hospitality to strangers,* Max.*ep.*44(M.91. 645D).

***ξενουργέω,** *bring about as a strange* or *new thing,* Geo.Pis.*hex.* 532(M.92.1476A); *ib.*1187(1526A).

***ξενοφανής,** *of strange appearance,* Germ.CP *or.*2(M.98.277D); ‡Jo.D.*ep.Thphl.*16(M.95.365D).

ξενοφωνέω, 1. *speak strange things*; of Montanus, Anon.ap.Eus. *h.e.*5.16.7(M.20.465C); med., *A.Phil.*124(p.53.4); *innovate in speech,* Chrys.*hom.15.4 in Mt.*(7.189A); **2.** *startle, perturb, astonish by strange words* or *teaching,* Eus.*d.e.*3.7(p.143.21; M.22.241B); Gr.Nyss.*fat.* (M.45.149B); Socr.*h.e.*4.7.10(M.67.473B); *ib.*7.2.3(741B); Tim.Ant. *nativ.Jo.Bapt.*(M.28.913A).

***ξενοχαρής,** *taking pleasure in strange things*; neut. as subst., *delight in strange things,* Gr.Naz.*ep.*101(M.37.193A).

ξενόω, pass., *be exiled, live in exile*; of Christ in Egypt, ‡Epiph. *hom.*2(M.43.448A).

παρθενεύ-ω, *live a virgin life, be celibate*; **1.** in gen. τοὺς μὲν ἀπ' ἀρχῆς ~οντας ὁρῶμεν, τοὺς δὲ ἀπὸ χρόνου †Just.*fr.res.*(p.39; M.6. 1577A); Meth.*symp.*3.14(p.44.10; M.18.85A); ἀγνείαν...ἣν...γεωργοῦμεν ἡμεῖς αἱ ~ουσαι καὶ προσφέρομεν κυρίῳ *ib.*9.4(p.119.16; 188A); διαφέρουσιν οἱ μὴ ἐπιθυμοῦντες καὶ ἀγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ ~όντων *ib.*11(p.138.10; 216B); ref. Mt.19:11 δέδοται γὰρ...τοῖς βουλομένοις...εἰ γὰρ τῆς ἄνωθεν δόσεως μόνης ἐστί, καὶ οὐδὲν αὐτοὶ συνεισφέρουσιν οἱ ~οντες, περιττῶς αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο Chrys.*hom.*62.4 *in Mt.*(7.624C); as counsel, not precept, id.*hom.*21.5 *in 1Cor.*(10.186B); ὁ πορνεύων καὶ ὁ ~ων ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν...ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθείς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς id.*comm.in Gal.*5:13(10.718C); οὐ πᾶς ὁ ποθῶν τὸ πρᾶγμα καὶ ~ει, ἀλλ' ὁ δυνάμενος Pall.*v.Chrys.*1(p.4. 15; M.47.5); ref. inferiority of virginity to humility οὐ γὰρ ὁ ~ων γέγραπται, ἀλλ' ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται Isid.Pel.*epp.*1.286(M. 78.352A); τῶν γὰρ...ἀνοήτων φροντίδων ἐλευθέραν ὁ ~ων ἔχει ψυχήν, καὶ τὸν μέλλοντα μιμεῖται βίον ὡς ἔνεστι Thdt.*1Cor.*7:32(3.210); Gr. Mag.*dial.*(tr.Zach.)4.17(M.*PL.*77.349A); motive prescribed εἴ τις ~οι...ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρήσας καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω CGangr.*can.*9; of BMV πρὶν τόκου ~ουσα, παρθένος μετὰ τόκον Ephr.1.545F; Isid.Pel.*epp.* 1.404(M.78.408C); Jo.D.*carm.pasch.*33(p.219; M.96.841A); myst., of birth of Christ in soul ὅπερ...ἐν τῇ...Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς παρθενίας ἐκλάμψαντος· τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται ...τοῦ κυρίου...πνευματικῶς εἰσοικιζομένου Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); **2.** met.; **a.** of purity of life and actions ἅπας ὁ βίος καὶ ἡ ζωὴ καὶ τὸ ἦθος ~ειν ὀφείλει Bas.*ascet.*1.1(2.319B; M.31.872B); πᾶν δὲ μέλος...ὄντως ~ειν Gr.Naz.*or.*43.62(M.36.577A); γλῶσσα ~έτω id.*carm.*1.2.3.51(M.37.636A); Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); Nil.*epp.*3.298(M.79.532A); ~ειν οὖν χρὴ τὰς κόρας τῶν ὀφθαλμῶν, ἰσωνυμίαν τῶν παρθένων τετιμημένας ‡Caes.Naz.*dial.*140(M.38.1060); **b.** of freedom from heresy κατὰ τὴν πίστιν π. Thdr.Stud.*epp.*2.19 (M.99.1176B); **3.** *be a monk* or *nun* Ἀγαλίασις διάκονος καὶ Εὐτυχία ~σασα καὶ Κλαυδιανὴ ~σασα *ICG As.Min.*209 (Melos, ? saec. iv); ἐπέστη...τινι ~ούσῃ ‡Pall.*h.mon.*11.2(p.54.6; M.65.448D); θυγάτηρ ~ουσα ἐτελεύτησε Jo.Mosch.*prat.*78(M.87.2933C); †Jo.D.*B.J.*30(M. 96.1148A); **4.** of Indian ascetics, Clem.*str.*3.7(p.224.8; M.8.1164B).

παρθενία, **ἡ**, *virginity*;

A. def. and descriptions; etym. παρθεία γὰρ ἡ π. κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχουσα καὶ τετελεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα Meth.*symp.*8.1(p.81.4; M.18.137C); π. δέ, ὅτι παρὰ τῷ θεῷ τὸ νοούμενον τῆς τοιαύτης σωφροσύνης ἐστί ‡Pion.*v.Polyc.*14; οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι τῆς παιδοποιΐας κατορθοῦται τὸ χάρισμα τῆς π., ἀλλ' ἅπας ὁ βίος...καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει, διὰ παντὸς ἐπιτηδεύματος τοῦ ἀγάμου τὴν

ἀφθορίαν ἐπιδεικνύμενος. ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι...ὁ γὰρ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς π. ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ...τῆς π. τὴν χάριν Bas.*ascet.*1.1(2.319B); M.31.872B); *π. μέν, τὴν ὄντως φημί...τοῦ κατὰ ψυχὴν ἀφθόρου κάλλους...ἐστὶν ἐξαίρετος* †Bas.Anc.*virg.*2(M.30.672D); *ἀληθὴς π. ἡ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσα* Gr.Nyss. *virg.*proem.(p.248.14; M.46.317C); *νέκρωσις δὲ σώματος ἡ π. ἐστί ib.* 19(p.323.9; 396B); *παρθενίας ὅρος τό, καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν* Chrys.*virg.*6(1.272C); *οὐκ ἐν τοῖς ἱματίοις, οὐδὲ ἐν τοῖς χρώμασιν ἡ π., ἀλλ' ἐν σώματι καὶ ψυχῇ ib.*7(272E); *ἡ π. διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς ib.*77(329D); *ἡ ὄντως π. ἐν κυρίῳ, ἁγία ἐστὶν τῷ σώματι καὶ τῷ πνεύματι, ἀπερισπάστως...τῷ κυρίῳ λατρεύουσα ἐν πνεύματι θεοῦ, καθαρῶς...ἀρέσκουσα τῷ κυρίῳ... καὶ ἓν πνεῦμά ἐστιν πρὸς κύριον* Ant.Mon.*hom.*21(M.89.1497C).

B. as highest state of human life; **1.** unknown in OT and pagan antiquity *μὴ...νομίσῃς τὸ τῆς π. μέγεθος μικρὸν εἶναι. τοσοῦτόν ἐστιν ἡ π., ὅτι οὐδεὶς ἠδυνήθη τῶν ἀρχαίων τοῦτο τηρῆσαι. διὰ τοῦτο γὰρ ἡ χάρις μεγάλη, ὅτι ἃ ἦν φοβερὰ ἐν τοῖς προφήταις...ταῦτα ἐγένετο νῦν εὐκαταφρόνητα...βάρν γὰρ τὸ τῆς π. κτῆμα οὕτως, ὡς μηδένα ταύτην ἀσκῆσαι. Νῶε...γυναικὶ προσωμίλησεν· ὁμοίως δὲ Ἀβραὰμ...βάρυ γὰρ ἦν τὸ ἐπάγγελμα τῆς π. ἐκ τότε ἰσχυρὰ ἡ π. ἐγένετο, ἐξ ὅτε τὸ ἄνθος τὸ τῆς π. ἐβλάστησεν· οὐδεὶς τοίνυν τῶν παλαιῶν ἠδυνήθη π. ἀσκῆσαι· μέγα γὰρ πρᾶγμα, σῶμα χαλινῶσαι* Chrys.*poenit.*3.3(2.298A–C); *χρημάτων μὲν ἔνεκεν ὀλίγους, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνες παρ' αὐτοῖς φιλοσοφήσαντας...π. δὲ ἄνθος οὐδαμοῦ παρ' αὐτοῖς...ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα* id. *fem.reg.*1(1.249A); *τὸ τῆς π. καλὸν ἀποστρέφονται μὲν Ἰουδαῖοι...θαυμάζουσι δὲ Ἕλληνες καὶ καταπλήττονται, ζηλοῖ δὲ μόνη ἡ ἐκκλησία τοῦ θεοῦ* id.*virg.*1(1.268A); *παρὰ δὲ Ἕλλησιν καὶ...φιλοσόφοις, οὐ μόνον δὲ ὅτι οὐδέπω ἐφάνη π., ἀλλ' οὐδὲ πιστεύουσίν τινα ἄνθρωπον...ταύτῃ ἀντοφθαλμῆσαι· καὶ δικαίως· πῶς γὰρ πιστεύσωσιν περὶ παρθενίας, οἱ τὰ αἰσχρὰ πάθη θεοποιήσαντες...; Ἰουδαῖοι δὲ μέχρι τῆς σήμερον, π. μὲν οὔτε ἀσπάζονται, οὔτε μετέρχονται* Ant.Mon.*hom.*21(M.89.1496C,D); though practised by some OT saints, Jo.D. *f.o.*4.24(M.94.1209A); **2.** revealed by Christ and present in Church *ἐξεταστέον, δι' ἣν αἰτίαν πολλῶν προφητῶν...πολλὰ καὶ καλὰ διδαξάντων...π. οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἶλετο. μόνῳ...ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν εἰς θεόν...τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν π., ἴσχνεν* Meth.*symp.*1.4(p.12.16ff.; M.18.44C); *ἡ π. διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς τῶν ἀνθρώπων ἐβασίλευσεν ib.* 10.1(p.122.7; 193A); *τίς οὖν ἀνθρώπων μετὰ θάνατον ἢ ὅλως ζῶν περὶ παρθενίας ἐδίδαξε, καὶ οὐκ ἐνόμισεν ἀδύνατον εἶναι τὴν ἀρετὴν ταύτην ἐν ἀνθρώποις; ἀλλ' ὁ ἡμέτερος σωτὴρ...τοσοῦτον ἴσχυσεν ἐν τῇ περὶ ταύτης διδασκαλίᾳ, ὡς καὶ παιδία μήπω τῆς νομίμης ἡλικίας ἐπιβάντα τὴν ὑπὲρ τὸν νόμον ἐπαγγέλλεσθαι π.* Ath.*inc.*51.1(M.25.185D–188A); *μέγα π. ... καὶ τὸ μετ' ἀγγέλων τετάχθαι...ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὃς, καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς, ἐκ παρθένου γενναῖται, π. νομοθετῶν* Gr.Naz.*or.*43.62(M.36.576C); id.*carm.*1.2.1.193(M. 37.537A); *εἶδες...τῆς π. τὸ ἄνθος; τοῦτο τῆς ἐκκλησίας τὸ ἱμάτιον* Chrys.*exp.in Ps.*44:15f.(5.180D); foretold in Ps.44:16, †Chrys.*Jud. et gent.*7(1.568A); *ἐφ' οὗ γὰρ...Χριστὸς...ηὐδόκησεν ἐκ τῆς...ἀειπαρθένου Μαρίας τῷ κόσμῳ ἐπιφανῆναι...εὐχερῶς ἐξανύεται παντὶ τῷ βουλομένῳ· τοιαύτη τῆς π. ἡ ἀρετή* Ant.Mon.*hom.*21(M.89.1497A); highest grade of life in Church, Epiph.*exp.fid.*21(p.521.33f.; M.42. 824A); **3.** even in Church only counselled, not prescribed; **a.** in gen. *οὐ νομοθετεῖ...οὔτε διὰ Μωϋσέως π. ὁ κύριος...οὔτε ἐν εὐαγγελίῳ ...οὐδαμοῦ ἐν ταῖς ἐντολαῖς π., οὔτ' ἐν παλαιᾷ, οὔτε ἐν καινῇ διαθήκῃ, νομοθετήσας* †Bas.Anc.*virg.*55(M.30.780C); *τοσοῦτον γάρ ἐστιν ἡ π. πρᾶγμα...ὅτι κατελθὼν ὁ Χριστὸς ἐξ οὐρανοῦ...οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο...ἀλλ' ἀποθνήσκειν μὲν ἐνομοθέτησεν...καὶ ἐχθροὺς εὐεργετεῖν, παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν* Chrys.*ep.*2.7(3.542C); Ant. Mon.*hom.*21(M.89.1496B); **b.** exeg. Mt.19:11 *μεγάλα περὶ παρθενίας διελέχθη εἰπών· εἰσὶν εὐνοῦχοι...ἐστι φύσει τὸ πρᾶγμα μέγα, καὶ δείκνυται ἐξ ὧν οὔτε ἐν τῇ παλαιᾷ ὑπὸ τῶν...ἁγίων ἀνδρῶν...κατωρθώθη, καὶ ἐν τῇ καινῇ δὲ οὐκ ἦλθεν εἰς ἀνάγκην νόμου* Chrys.*hom.78.1 in Mt.* (7.751B); **c.** exeg. 1Cor.7:25ff. *θεοδώρητον εἶναι τὸ τῆς π. ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρελκυθότας ἀποβάλλεται, συμβουλεύων γαμεῖν* Meth.*symp.* 3.14(p.44.2; M.18.84C); *ἐπὶ...τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα* [i.e. for marriage] *δὲ συγγνώμην. ἐπιτάττει δὲ οὐδέτερον οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ἐνταῦθα μέν, ἵνα μή τις ἀναβῆναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται, ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δέ, ἵνα μή τις ἀναβῆναι πρὸς τὴν π. ἀδυνατῶν κατακρίνηται, ὡς προστάγματος παρακούων* Chrys.*virg.*34(1.293E); *ἐπειδὴ ὁ κύριος οὐκ ἐπέταξε π., διὰ τοῦτο οὐδὲ ἐγὼ· συμβουλεύω δὲ ὑμῖν ib.*42(1.303A); *ib.*47(1.307D); *ib.* 76(329A); Thdt.*1Cor.*7:26f.(3.208); cf. *ὡς οὖν ὁ κύριος τοὺς τρόπους τῆς κατὰ τὴν π. εὐνουχίας ἐρωτηθείς, οὕτως ὁ μαθητὴς τῆς π. τὴν συμβουλὴν εἰσηγήσατο* †Bas.Anc.*virg.*56(M.30.781C); **4.** as gift of God needing divine grace *τὸ γὰρ μέγιστον...δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν ἀνθρώποις θεῷ, τὸν ἆθλον τῆς π. εἶναι πέπεισμαι* Meth.*symp.*5.1(p.53.8; M.18.97A); Gr.Nyss.*virg.*1(p.251. 14; M.46.320C); *ib.*19(p.323.20; 396C); *τῆς π. τὸ ἀξίωμα...ὑπεραναβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον χειρός* Chrys. *hom.18.4 in Gen.*(4.155B); **5.** as angelic state of life, Ath.*apol.Const.* 33(M.25.640A); †Bas.Anc.*virg.*68(M.30.808D); Cyr.H.*catech.*6.35; *ib.* 15.23; Gr.Nyss.*virg.*13(p.308.23; M.46.380D) cit. s. *ἀνάστασις; π., τὸ τῶν ἀγγέλων πολίτευμα, τὸ πάσης ἀσωμάτου φύσεως ἴδιωμα* Jo.D. *f.o.*4.24(M.94.1209B); **6.** as higher state than marriage *δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ...μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς π.* Ath.*ep.Amun.*(M. 26.1173C); *εἰ γάρ τις...ἐξετάζειν ἐθέλοι τοῦ βίου τούτου* [sc. marriage] *τὸ πρὸς τὴν π. διάφορον, τοσαύτην εὑρήσει τὴν διαφοράν, ὅση σχεδὸν τῶν ἐπιγείων ἐστὶ πρὸς τὰ οὐράνια* Gr.Nyss.*virg.*3(p.257.8; M.46.325C); *ἔτι οὖν τολμήσει τις,...τῇ π. τὸν γάμον παραβάλλειν;...οὐκ ἀφίησιν ὁ ...Παῦλος, πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς· ἡ μὲν γὰρ τὰ τοῦ κυρίου, φησίν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ* Chrys.*virg.*34(1.293A); *ὅσῳ...ἄγγελος ἀνθρώπου ὑπέρτερος, τοσούτῳ π. γάμου τιμιωτέρα* Jo.D. *f.o.*4.24(M.94.1209C); superior to widowhood, Chrys.*hom.in 1Tim.* 5:9(3.316B); because surpassing nature, †Bas.Anc.*virg.*55(M.30. 780D); because not, like marriage, followed by death, Chrys.*virg.*14 (1.279E); ref. idea that marriage was consequence of Fall *παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. οὔτε γὰρ ὁ γάμος μὴ βουλομένου θεοῦ δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ π., βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος ib.*15(280B); as having sanctifying efficacy *εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου φθάσαι δύναιτ' ἄν, ὥστε μὴ μολῦναι τὸν χρώμενον, τὸ δὲ καὶ ἁγίους ἀποφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς π. ἐστίν ib.*30(290B); but marriage not therefore to be disparaged, CGangr.*can.*9 cit. s. *παρθενεύω; ὁ δὲ τίμιος γάμος ὑπέρκειται παντὸς δώρου γηΐνου, ὡς ἔγκαρπον δένδρον... ὡς ῥίζα τῆς π. ... περίελε...γάμον, καὶ ποῦ εὑρήσεις τὸ τῆς π. ἄνθος; ἔνθεν γὰρ καὶ οὐκ ἄλλοθεν, τὸ τῆς π. ἄνθος ἀναλέγεται. ταῦτα δὲ λέγοντες, οὐ μάχην παρεισβάλλομεν μεταξὺ π. καὶ γάμου...ἄνευ γὰρ... θεοσεβοῦς εὐσεβείας οὔτε π. σεμνή, οὔτε γάμος τίμιος* Amph.*hom.*2.1 (M.39.45Af.); *ὁ...τὸν γάμον κακίζων καὶ τὴν τῆς π. ὑποτέμνεται δόξαν. ὁ δὲ τοῦτον ἐπαινῶν μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα...καλὸν ὁ γάμος. καὶ διὰ τοῦτο ἡ π. θαυμαστόν, ὅτι καλοῦ κρεῖττόν ἐστι. καὶ τοσούτῳ κρεῖττον, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης* Chrys.*virg.*10(1.275Bf.); Jo.D. *f.o.*4.24(M.94.1209B).

C. virginity as spiritual rather than physical state; **1.** in gen. *πολλοὶ τῷ ὀνόματι τῆς π. μόνῳ προσέχοντες, οὐδέν τι τῆς ἀληθοῦς π. φροντίζουσι· διὰ τοῦτ' ἀναγκαίως οἶμαι τοῖς τὸν ὑπὲρ παρθενίας στέφανον ποθοῦσι λαβεῖν, ὑποφωνῆσαι τὰ ἐνόντα σπουδάσω, ὡς ἂν μὴ δι' ἄγνοιαν ἀμελήσαντες τοῦ προηγουμένου καλοῦ, προαναλώσωσι μὲν τῇ τῆς θεραπαίνης δουλείᾳ πάντα τὸν βίον, διὰ δὲ τὸ μηδέποτε τὴν δέσποιναν ταύτης θεραπεῦσαι, καὶ τὴν τοῦ σώματος π. οὐ κοσμουμένην τῷ τῆς ἐνδοθεν κάλλει, μετὰ πολλοὺς ἱδρῶτας ζημιωθῶσιν* †Bas.Anc.*virg.*2(M. 30.673A); cf.*ib.*13(696D); *οὐκ ἀπὸ σωμάτων...ἐπὶ ψυχὰς αὐτὴ ὁδεύει· ἀλλὰ ψυχῆς τῆς ἀσωμάτου οὖσα ἐξαίρετος, τῇ ταύτης θεοφιλεῖ π. ἄφθορα φυλάττει τὰ σώματα. τοῦ γὰρ ὄντως καλοῦ ἡ ψυχὴ φαντασίαν λαβοῦσα...τὴν τοῦ σώματος π., θεράπαιναν εἰς τὴν τοῦ καθ' ἑαυτὴν κάλλους θεραπείαν ἐπάγεται, καὶ πάρεδρον...πρὸς τὴν τοῦ θεοῦ θεωρίαν ταύτην ἔχειν ἀεὶ βουλομένη, τὰς...τοῦ σώματος ἡδονὰς...ἐλαύνει. τὴν μὲν τῶν ὑπὸ γαστέρα ἡδονῶν ἐγκράτειαν, τῆς σωματικῆς π. θεράπαιναν ...ποιουμένη· ὡς τὰ ἄλλα μὲν ἅπαντα, καὶ τροφῶν ἐγκράτειαν...μαχομένην ταῖς ῥεούσαις κατὰ τῆς ἐν σώματι π. διὰ τῶν αἰσθήσεων ἡδοναῖς· ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ σώματος π. ... δι' ἑαυτὴν...ἀσκεῖσθαι, ἵνα τὴν ἑαυτῆς π. ἄφθορον ἁπάσης μοχθηρᾶς ἐννοίας φυλάξασα, τὴν πρὸς τὸν ἄφθαρτον θεὸν ἐξομοίωσιν...κερδήσῃ ib.*2(672B,C); *οὐχ ἁπλοῦν...τὸ κατόρθωμα τοῦτό ἐστιν, οὐδὲ μέχρι τῶν σωμάτων ἱστάμενον, ἀλλ' ἐπὶ πάντα...διαβαῖνον τῇ ἐπινοίᾳ, ὅσα κατορθώματα ψυχῆς ἐστι...ἡ γὰρ τῷ...νυμφίῳ προσκολληθεῖσα διὰ παρθενίας ψυχή, οὐ μόνον τῶν σωματικῶν μολυσμάτων ἑαυτὴν ἀποστήσει, ἀλλ' ἐντεῦθεν μὲν ἄρξεται τῆς καθαρότητος, ἐπὶ πάντα...μετὰ τῆς ἴσης ἀσφαλείας πορεύσεται* Gr. Nyss.*virg.*14(p.310.3; M.46.381C); hence *π.* not affected by rape, ‡Chrys.*hom.in Ps.*95:1(5.635E); **2.** preservation of true virginity; **a.** in struggle against temptations *ἐπειδὴ οὖν θεῖον...τι χρῆμα ἡ π. ἐστί...ἡ δὲ παρθένος οὐδὲν τῆς θήλεος ἡδονῆς ἐπιφερομένη ἐκ σώματος μόλυσμα, πάντα δὲ τὰ σαρκὸς πάθη ἐκδῦσα, καθαρὰν ἑαυτὴν τῷ θεῷ... παραστῆσαι φιλοτιμεῖται· δῆλον ὡς βιαστῶν ἆθλον εἶναι τὴν τῶν οὐρανῶν*

βασιλείαν γινώσκουσα βιάσασθαι πρὸς τὸν προκείμενον σκοπὸν τὴν ἑαυτῆς φύσιν ὀφείλει †Bas.Anc.*virg.*4(M.30.677B); τοῦ πολέμου τοῦ πρὸς τὴν π. οὐκ ἔστιν ἀποχή· διάβολος γάρ ἐστιν ὁ πολεμῶν...ἔστηκεν ἀεὶ ζητῶν τὴν παρθένον γυμνὴν εὑρεῖν, ἵνα καιρίαν ἐπαγάγῃ τὴν πληγήν Chrys.*poenit.*3.3(2.298C); πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ π. δεῖται τῆς ἀγωνίας id.*virg.*13(1.277E); cf.*ib.*(278C); *ib.*41(301E); **b.** in practice of virtue ὑποκείσθω...ἀντὶ θεμελίου τινὸς τῷ κατ' ἀρετὴν βίῳ ἡ περὶ τὴν π. σπουδή, ἐποικοδομείσθω δὲ τῷ θεμελίῳ τούτῳ πάντα τὰ ἔργα τῆς ἀρετῆς Gr.Nyss.*virg.*17(p.317.1; M.46.389A); ὁ τῆς π. κόσμος...οὐ γὰρ λίθοι καὶ χρυσός...ἀλλ' ἀντὶ τούτων νηστεῖαι,...πρᾳότης, ἐπείκεια, πενία...ταπεινοφροσύνη Chrys.*virg.*63(1.320D); *ib.*84(335E); μέγα τὸ τῆς π. ἀξίωμα...π. γὰρ ἀξίωμα οὐκ ἀποσχέσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. τί γὰρ ὄφελος π. μετὰ ὠμότητος id.*hom.*1.7 *in 2Cor.*4:13(3.266B); ref. almsgiving, id.*poenit.*3.3(2.298E); id.*hom.in 1Tim.*5:9(3.316B); ὅτι ἄμωμον...τὴν οἰκείαν π. φυλάξαι σπουδάζουσι...οὐ μόνον τὴν ἐπιθυμίαν κολάσαι ὀφείλουσιν, ἀλλὰ καὶ φιλοχρηματίαν, καὶ κενοδοξίαν, καὶ γαστριμαργίαν ...σὺν πάσῃ κακίᾳ Nil.*epp.*3.298(M.79.532A); v. ἐλεημοσύνη; **c.** in mortified life ἀναγκαῖον τὴν μέλλουσαν τῶν πρὸς τὰς μίξεις ἡδονῶν διὰ παρθενίας κρατεῖν, πολλῷ πλέον πρότερον τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς, ὡς ἐπαντλούσης ἐκείνῃ τὰς ὕλας, ἄρχουσαν δείκνυσθαι †Bas.Anc.*virg.* 7(M.30.681C); οἷδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς π. καρποὺς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν Chrys.*virg.*80(1.332C); **d.** in retirement, ref. Rom.10:6ff. οὗτω καὶ ἐπὶ τῆς π. φησί· μὴ εἴπῃς, πῶς ἀναβῶ εἰς τὸν οὐρανόν, ἐκεῖθεν τὴν τῆς π. μου ἀφθορίαν καταγαγεῖν; ἢ πῶς καταβήσομαι εἰς τὴν ἄβυσσον...; ἐγγύς σου ἐστί...καὶ κατὰ φύσιν σοι συγγενναται ἡ π. ... καὶ εἰ βούλει ταύτην παρά σοι ἄσυλον μένειν, διὰ βίου σαββάτιζε· τουτέστι, μένε ὃ ἐγεννήθης·...οὐκ ἔχεις τοίχους καὶ περιβόλους ὑπεράλλεσθαι, ἵνα τὴν π. θηράσῃς. ἀλλὰ ταῦτα μὲν πράττουσα, καὶ ἀπολέσεις ἴσως τὴν π. ἐπὶ τῆς κοίτης δὲ σαββατίζουσα, καθαρὰν αὐτὴν φυλάξεις, καὶ οὕτω μὲν εὐκόλως...τὴν π. ... ἕξεις †Bas.Anc.*virg.*59(M.30.788B,C); **e.** with help of a guide ἐπειδὴ νέοι ἔτι καὶ ἀτελεῖς τὴν διάνοιαν οἱ πολλοὶ τῆς π. ἀντιλαμβάνονται, τοῦτο πρὸ πάντων αὐτοῖς ἐπιτηδευτέον ἂν εἴη, τὸ ζητῆσαι τῆς ὁδοῦ ταύτης ἀγαθὸν καθηγεμόνα Gr.Nyss.*virg.*23(p.336. 19; M.46.408D); **3.** as implying consecration to God ἀνατιθέναι λέγομεν τελείως ἑαυτὸν τῷ θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, π. ἀσκῶν Meth.*symp.*5.3(p.56.12; M.18.101B); ἡ δὲ παρθένος τὸν ἑαυτῆς νυμφίον...περιέπουσα...τούτῳ μᾶλλον τὰς ἀχράντους νύμφας πρὸς ἀφθορίαν προμνηστευέσθω...ἑπομένη τῷ νυμφίῳ, ἢ τῷ οἰκείῳ φωτὶ τῆς π. καὶ ἑτέρας πρὸς παρθενίαν νυμφεύουσα †Bas. Anc.*virg.*21(M.30.713A); τὴν Χριστῷ διὰ τῆς κατὰ τὴν π. ὑποσχέσεως ἁρμοσθεῖσαν...σοφὴν προσήκει...εἶναι *ib.*50(768C); π. μὲν ὅλην ἀνάθημα θεοῖο Gr.Naz.*carm.*1.2.1.527(M.37.562A); τάχα ὁ τολμήσας εἰπεῖν τὴν σωματικὴν π. τοῦ ἔνδοθεν καὶ πνευματικοῦ γάμου συνεργόν...γίνεσθαι, οὐ πόρρω τοῦ εἰκότος ἀποτολμήσει Gr.Nyss.*virg.*19(p.325.6; M.46. 397A); ‡Chrys.*Thecl.*(2.750E); hence mere fact of physical virginity of no value, ‡Chrys.*hom.in Ps.*95:1(5.635D,E).

D. effects; **1.** natural advantages εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι, ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν...τὸν ἐν π. βίον προελομένων...ὅτι πάντων τῶν τοιούτων κακῶν ἀνεπίδεκτός ἐστιν ἡ π.· οὐκ ὀρφανίαν θρηνεῖ, οὐ χηρείαν ὀδύρεται Gr.Nyss.*virg.*3(p.264.8; M.46.333C); λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεστέροις εἰς τὴν π. ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν *ib.*9(p.287.18; 357D); less trouble than in married life, Chrys.*virg.*55–58(1.315A–319A); **2.** union with God τὸ ἐν π. ... μεῖναι μᾶλλον παρίστησι τῷ θεῷ Athenag.*leg.*33.1(M.6. 965A); Meth.*symp.*6.2(p.65.14; M.18.116A); Chrys.*virg.*78(1.331C); θυσιαστήρια, καὶ ναός, καὶ κειμήλια θεοῦ διὰ τῆς π. πεφήνατε Nil.*epp.* 2.31(M.79.212D); **3.** likeness to angels οἱ τὴν π. ἀσκοῦντες ἄγγελοί εἰσιν, ἐν ἀφθάρτοις σαρξὶ τὸν τῶν ἀνθρώπων βίον περιπολοῦντες· καὶ ἄγγελοι οὐκ ἄσημοί τινες, ἀλλὰ...ἐπιφανέστατοι. ὅτι ἐκείνων ἄνευ σαρκῶν κατὰ τὸν οὐρανὸν τὴν ἀφθαρσίαν καὶ τόπῳ καὶ ἀβιάστῳ φύσει παρὰ τῷ...θεῷ φυλαττόντων, οὗτοι ἐπὶ γῆς σαρκὸς ἡδοναῖς ἐνοχλούμενοι, καὶ τῇ πείρᾳ τοῦ διαβόλου ἐκκείμενοι, τὴν ἀφθαρσίαν ἰσάγγελον δι' ἀρετῆς τῷ ποιητῇ παραδοξότερον διεφύλαξαν †Bas.Anc.*virg.*51(M. 30.772B); τῆς ὑψηλῆς ἐπιθυμίας συνεργόν...τῷ ἀνθρώπῳ τὴν π. δεδόσθαι φαμὲν...δοκεῖ καὶ τὸ τῆς π. ἐπιτήδευμα τέχνη τις εἶναι...τῆς θειοτέρας ζωῆς, πρὸς τὴν ἀσώματον φύσιν τοὺς ἐν σαρκὶ ζῶντας ὁμοιοῦσθαι διδάσκουσα Gr.Nyss.*virg.*5(p.276.24; M.46.348B); εἴδες τῆς π. ἀξίωμα; τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας τοῖς ἐν οὐρανοῖς διαιτωμένοις ὁμοίως πολιτεύεσθαι ποιεῖ...ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον Chrys.*virg.*11(1.276A); cf. θεῖον...καὶ τῆς...τῶν ἀσωμάτων τάξεως, τὸ...τῆς π. ἔνδυμα Procl.CP *or.*6.2(M.65.724A); **4.** deification μέγα...π., τῷ ἀφθάρτῳ θεῷ...ἐξομοιοῦσα τὸν ἄνθρωπον †Bas.Anc.*virg.*2(M.30.672B); εἰ γὰρ τὸ κατόρθωμα τῆς...π. ἐστὶ τὸ ἀμωμόν τινα γενέσθαι καὶ ἅγιον (ταῦτα δὲ τὰ ὀνόματα κυρίως...εἰς δόξαν προλαμβάνεται τοῦ ἀφθάρτου θεοῦ), τίς μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν αὐτῆς μυστηρίων μετεσχηκότας εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς δόξης τοῦ...ἁγίου...θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας οἰκειουμένους; Gr.Nyss.*virg.*1(p.252.4ff.; M.46.320D); **5.** overcoming of death, *ib.*13(p.305.10ff.; 377A,C,D); **6.** access to heaven π. γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον Meth.*symp.*1.1(p.8.4; M.18.37B); ref. Ps.136 αἱ τὸ...εὐπρεπὲς τῆς π. ὑποδῦσαι...κάλλος, καὶ στεῖραι...τῶν ῥευστῶν...εὐρεθεῖσαι παθῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε...ἀλλ' εὖ καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω περιαθροῦσι *ib.* 4.5(p.50.21; 93A); *ib.*8.2(p.83.7; 141A); ἡ π. ... τοῦ ἀφθάρτου βίου ...σπέρμα †Bas.Anc.*virg.*51(M.30.772A); ἡ π. κατὰ φύσιν γνωρίσασα, ὅτι ὥσπερ εἰς τὴν τοῦ παρόντος βίου σπορὰν διὰ τῆς τῶν γάμων ἡδονῆς τὰ σπέρματα τῆς ἀνθρωπότητος κατεβάλετο, οὕτω καὶ εἰς τὸν ἐκεῖ βίον τὰ σπέρματα τοῦ βίου ἡμῶν διὰ τῆς ἀφθορίας ἐντεῦθεν ἤδη καταβάλλεσθαι, σπουδάζει δι' ἑαυτῆς καθαρὰ τὰ τῆς ἀφθαρσίας σπέρματα πρὸς τὸν ἄφθαρτον βίον τῷ γεωργῷ εὐτρεπίζειν *ib.*54(776D); ἡ ἀληθινὴ π. ... εἰς τοῦτον τὸν σκοπὸν καταλήγει, τὸ δι' αὐτῆς συνηθῆναι τὸν θεὸν ἰδεῖν Gr.Nyss.*virg.*11(p.297.4; M.46.368D); hence linking of earth to heaven, *ib.*2(p.255.4; 324B).

E. types of virginity; **1.** willow, exeg. Ps.136 ἐν τύπῳ γὰρ τῆς π. τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτρέβεν, ἐὰν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς καταβέννυσιν...εἰς ὕψος γὰρ τότε τὸ τῆς π. ἔρνος μεγεθύνεται...ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων, ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ π. Meth.*symp.*4.3(pp.48.20–49.11; M.18.89D–92A); **2.** altar in Holy of Holies, *ib.*5.8(p.63.2; 112B); **3.** instrument played by Miriam εὐθέως μετὰ τὴν θάλασσαν...εὔηχον μεταχειριζομένη τὸ τύμπανον...τάχα γὰρ διὰ τοῦ τυμπάνου τὴν π. ἔοικεν ὁ λόγος αἰνίττεσθαι ὑπὸ τῆς Μαρίας πρώτης κατορθωθεῖσαν, δι' ἧς οἶμαι καὶ τὴν θεοτόκον προδιατυποῦσθαι Μαρίαν. ὥσπερ γὰρ τὸ τύμπανον πολὺν τὸν ἦχον ἀφίησι, πάσης ἰκμάδος κεχωρισμένον...οὕτω καὶ ἡ π. λαμπρά τε καὶ περιβόητος γίνεται μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος...προσδεχομένη Gr.Nyss.*virg.*19(p.322.27ff.; M.46.396A,B); **4.** lamps of ten virgins οὐ περὶ ἐλαίου ἐνταῦθα καὶ πυρὸς διαλεγομένη ἡ γραφή, ἀλλὰ περὶ π. καὶ φιλανθρωπίας, καὶ τὴν μὲν π. ἐν τάξει πυρός, τὴν δὲ ἐλεημοσύνην ἐν τάξει ἐλαίου τίθησι, δεικνῦσα ὅτι σφόδρα δεῖται φιλανθρωπίας ἡ π. Chrys.*anom.*8.2(1.515E); λαμπάδας...τὸ τῆς π. χάρισμα id.*hom.*78.1 *in Mt.*(7.751D); **5.** ref. Ps.118:91 ἡμέραν... νοητέον τὴν φωτοειδῆ π. Nil.*epp.*2.118(M.79.252B).

F. reasons why not counselled in pre-Christian times μεγάλῃ... ὑπερβολῇ τὸ τῆς π. ἀνθρώποις ἀπ' οὐρανῶν κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν εἰς πλῆθος πρῶτον αὐτὸν αὐξήσαντα τελειωθῆναι Meth.*symp.*1.2(p.9.21; M.18.40C); †Bas.Anc.*virg.*55(M.30.780A); εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε. τοῦτο γὰρ ὁ καιρὸς ἀπῄτει, τῆς φύσεως μαινομένης, καὶ τὸν τῶν παθῶν οἶστρον μὴ δυναμένης ἐνεγκεῖν τί κελεύει ἐχρῆν; ἐν...π. διάγειν; ἀλλὰ τοῦτο μείζον ἂν τὸ πτῶμα εἰργάσατο...διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ π.· μᾶλλον δὲ ἡ π. μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη· διὰ ταῦτα δὲ ἐπεισῆλθεν ὕστερον ὁ γάμος...ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ, οὐκ ἂν ἐδέησε τούτου Chrys.*virg.*17(1.282A,B); a later development in Church οὐκ εὐθέως, τῆς ἐκκλησίας συστάσης, τὸ τῆς π. ἤνθησε καλόν, ἀλλ' ὕστερον καὶ μετὰ χρόνον τινά id.*exp.in Ps.*44(5.180D).

G. virginity in paradise, ref. Adam and Eve ἐν...τῷ παραδείσῳ διαιτώμενοι...ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ π. κοσμούμενοι...ἐπειδὴ δὲ παρήκουσαν τοῦ θεοῦ...ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς π. καλόν...ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ... παρέμεινε καὶ ἡ π. Chrys.*virg.*14(1.279B,D); id.*hom.*18.4 *in Gen.*(4. 155B); ἐν παραδείσῳ π. ἐπολιτεύετο Jo.D.*f.o.*4.24(M.94.1208A).

H. in rel. to martyrdom κόρην...καὶ τῇ μὲν τὸν καθ' ἡδονῶν, τῇ δὲ τὸν κατὰ κινδύνων ἀνατείνουσαν στέφανον· καὶ τῇ μὲν τὴν π., τῇ δὲ τὸ μαρτύριον τῷ...δεσπότῃ προσφέρουσαν. ἦν μὲν οὖν αὐτῇ καὶ τὰ τῆς π., ἃ τοῖς ἀκριβῶς σκοπουμένοις μέγα τι πρὸ μαρτυρίου μαρτύριον. αἱ γὰρ ἡδοναὶ δεινοί τινες τοῦ σώματος δήμιοι...ἃ δὴ πάντα τῇ μακαρίᾳ παρθένῳ μακρόν τι μαρτύριον τὴν π. εἰργάζετο· πυκτευούσῃ ταῖς ἡδοναῖς, ὡς ὁ μάρτυς θηρίοις ‡Chrys.*Thecl.*(2.749A–C).

I. vow of virginity and marriage π. γὰρ τῷ κυρίῳ ἐπαγγειλάμεναι, εἶθ' ὑπὸ τῶν σαρκὸς ἡδονῶν νικηθεῖσαι, τὴν τῆς πορνείας ἁμαρτίαν γάμου ὀνόματι περιστέλλειν ἐθέλουσιν· οὐκ ἀγνοοῦσαι...κἂν ἄγνοιαν δὴ προσποιῶνται, ὅτι ἡ παραβᾶσα τὰς πρὸς τὸν νυμφίον ἑαυτῆς δεξιάς,

οὔτε τούτου ἐστὶ νύμφη ἂν παρανόμως κατέλιπεν, οὔτ' ἐκείνου, ᾧ διὰ πάθος ἔζευξεν ἑαυτήν, κατὰ νόμους γυνὴ δύναται εὐρεθῆναι †Bas.Anc. *virg.*37(M.30.745C); *ib.*39(748B).

J. as gift made to God εἶπεν ὁ θεός...σὺ διδούς μοι ἀδιάφθορον τὸν ἀσύλητον θησαυρόν, τὸ κειμήλιον τῆς π. *Apoc.Esd.*13(p.25); Or.*Cels.* 7.48(p.199.30; M.11.1492B); ἐβούλετο [sc. God] γὰρ μὴ ἐπίταγμα εἶναι τὸ κατόρθωμα τῆς π., ἀλλὰ πλεονέκτημα φιλαρέτου ψυχῆς, ἀπὸ αὐτεξουσίου αὐθεντίας τὸ ὑπὲρ τὴν ἐντολὴν καὶ ὑπὲρ τὴν φύσιν ἀφ' ἑαυτῆς κατορθούσης †Bas.Anc.*virg.*55(M.30.780C).

K. as special responsibility οὐ δεῖ τοῦ ἑαυτῆς ἀβλαβοῦς μόνον φροντίζουσαν, τῆς τῶν βλαβῆναι δυναμένων καταφρονεῖν σωτηρίας, ἀλλὰ πανταχόθεν καὶ ἑαυτῆς ἄσυλον τὸ τῆς π. κάλλος φυλάττειν, καὶ τοῖς ὁρῶσιν αὐτὴν κέρδος ζωῆς, καὶ μὴ τὸν ἐξ ἁμαρτίας θάνατον πραγματεύεσθαι. εἰ γὰρ καὶ αὐτὴ πέποιθε τῷ τῆς π. ἀπτώτῳ, ἀλλ' ὅμως προνοεῖσθαι δεῖ...ὥστε μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ †Bas.Anc. *virg.*35(M.30.740C); as guarded by guardian angel, *ib.*29(729A).

L. its loss; irreparable, †Bas.Anc.*virg.*59(M.30.788D); τρόπον τινὰ ματαία...ἡ γνῶσις ἐμοὶ τῶν τῆς π. καλῶν, ὡς τῷ βοᾶ τὰ γεννήματα τῷ μετὰ κημῶν ἐπιστρεφομένῳ τὴν ἄλωνα...μακάριοι δὲ οἷς ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ ἀπετειχίσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ ἡμεῖς οἱόν τινι χάσματι πρὸς τὸ τῆς π. καύχημα διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερείσαντα Gr.Nyss.*virg.*3(p.256.9ff.; M.46. 325A,B).

M. exeg. Mt.19:11f. οἱ καὶ καλλίονες τῶν ἄλλων ὑπάρχοντες, διότι οὔτε ἐκ τῆς φύσεως πρὸς σωφροσύνην ἐφόδιον ἔχοντες, οὔτε παρὰ ἀνθρώπων κρατούμενοι, αὐτοὶ ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν πρὸς τὴν π. ἀσκοῦσι...ὁ μὲν γὰρ ἐκ κοιλίας μητρὸς εὐνοῦχος,...οὐδὲν ἴδιον ἔργον ἐν τῷ τῆς π. κάλλει ἐπιδείξασθαι ἔχει· φύσει ὅπερ ἔφην πλεονεκτήματι, καὶ οὐχὶ τῇ πρὸς τὴν π. διαθέσει τὸν γάμον ἀποστραφείς. ὥσπερ οὖν καὶ ὁ παρ' ἀνθρώπων εὐνουχισθεὶς τηρήσει τὴν π. ἀσκεῖν βιαζόμενος, οὐκ ἴδιον κατόρθωμα τὴν ἀφθορίαν τῆς π., ἀλλὰ τῶν τηρούντων δεικνύει, ὁ δὲ ἑαυτὸν εὐνουχίσας, ἐξαίρετον ἔργον διὰ τῆς ἐγκρατείας τε καὶ πρὸς πάντα ἀσκήσεως τὸ τῆς π. κάλλος ποιούμενος, ἰδίοις καὶ οὐκ ἀλλοτρίοις κατορθώμασιν ἐν τῇ βασιλείᾳ σεμνύνεται †Bas. Anc.*virg.*57(M.30.784D–785A).

N. heret. τὰς γὰρ τῶν αἱρετικῶν οὐκ ἂν εἴποιμί ποτε παρθένους...αἱ τοίνυν τὸν ἕνα ἄνδρα μὴ στέργουσαι, ἀλλ' ἕτερον αὐτῷ τὸν οὐκ ὄντα ἐπεισάγουσαι θεόν, πῶς ἂν εἶεν ἁγναί; πρῶτον μὲν οὖν κατὰ τὸν λόγον οὐκ ἂν εἶεν παρθένοι· δεύτερον δέ, ὅτι τὸν γάμον ἀτιμάσασαι οὗτος ἦλθον ἐπὶ τὸ ἀποσχέσθαι τοῦ γάμου. τῷ γὰρ νομοθετῆσαι πονηρὸν εἶναι τὸ πρᾶγμα, προλαβοῦσαι τὰ τῆς π. ἑαυτῶν ἀφείλοντο ἔπαθλα Chrys.*virg.*1(1.269A); hence heretics not to be rewarded, but punished for their virginity *ib.*2(270C); τῆς ἐκείνου [sc. διαβόλου] πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν π. *ib.*5(272A); true virginity incompatible with false doctrine, *ib.*(272B).

O. feigned virginity εἰ δὲ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ὁρᾷ, πρὸς τὸ νεῦμα ἢ τὸν λόγον τολμᾷ, μάλιστα μὲν αὐτόθεν ἑαυτῆς ἐστι κατήγορος... ὅτι τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ἀπατῶσα, ὡς αὐτῷ ἑαυτὴν διὰ βίου νυμφεύουσα, οὔτ' ἐκείνου νύμφη, οὔτ' ἀνθρώπου καθαρῶς ἐστι γυνή, ἀλλὰ τὴν παρ' ἀνθρώπων δόξαν ἐπὶ τῇ π. διὰ τοῦ παρθενικοῦ σχήματος κλέπτουσα, ἐν ὀφθαλμοῖς τοῦ νυμφίου, παρ' ἀνθρώποις τὴν π. ἑαυτῆς ἐκπομπεύουσα, μοιχεύεται †Bas.Anc.*virg.*28(M.30.728B).

P. ref. BMV; **1.** perpetual virginity; **a.** *in partu*, Gr.Nyss.*nativ.* (M.46.1136A,B); id.*virg.*19(p.324.14; M.46.396D); ὁ Χριστὸς ἐκ τῆς ἀλύτου μήτρας προελθὼν οὐκ ἠφάνισε τὴν σφραγῖδα τῆς π. ‡Chrys. *BMV* 2.3(8.240D); ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξεν ὡς ἄνθρωπος, π. δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς θεός, ἀλλ' οὕτως ἐκ μήτρας ἐξῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν Procl.CP *or.laud.BMV* 9(p.107.18; M. 65.692A); Thdot.Anc.*hom.*1.1(p.81.1; M.77.1349A); Leo Mag.*ep.*35.3 (p.42.3; M.*PL*.54.808B); Abr.Eph.*occurs.*6(p.452.17); **b.** *post partum* ἡ παρθένος καὶ μετὰ τὸ τεκεῖν παρθένος ἔμεινεν, ἐκ τοῦ τεκεῖν μὴ ζημιωθεῖσα τὴν π. ‡Chrys.*BMV* 2.2(8.240B); παρθένος γὰρ ἡ μήτηρ, καὶ μετὰ τόκον διέμεινε τῆς π. σφραγίς, ἣν ἡ φύσις ἐπέθηκεν ἀπρασάλευτον φυλάττουσα Hesych.H.*serm.*4(M.93.1460C); **c.** both *in partu* and *post partum* εἴ τις οὐχ ὁμολογεῖ...Μαρίαν...ἀφθόρως γεννήσασαν, ἀλύτου μεινάσης αὐτῆς καὶ μετὰ τόκον τῆς π., εἷς κατάκριτος CLater. *can.*3; ὁ τόκος ἄνευ ὠδίνων τὴν τῆς γειναμένης π. οὐκ ἐλυμήνατο, μεμένηκε γὰρ αὕτη παρθένος καὶ μετὰ τόκον, ὥσπερ ἦν καὶ πρὸ τόκου ‡Cyr.*Trin.*14(6^{3}.20D; M.77.1152A); οὐ γὰρ διήνοιξεν γεννηθεὶς μόνον τὴν μήτραν...ἀλλὰ καὶ κεκλεισμένην τῆς π. τὴν πύλην κατέλιπεν Leont.N. *serm.*1(M.93.1573A); Germ.CP *or.*3.12(M.98.304C); ἡ...παρθένος...ἡ τοσοῦτον τὴν π. ποθήσασα, ὡς ὑπ' αὐτῆς οἱά τινος καθαρωτάτου ποιωθῆναι πυρός. παρθένος γὰρ ἅπασα τῷ τόκῳ τὴν π. λυμαίνεται· αὕτη δὲ καὶ πρὸ τόκου, καὶ τίκτουσα μένει παρθένος, καὶ μετὰ γέννησιν Jo.D.*hom.*9.2(M.96.724C); **d.** as proof of Christ's divinity ὅτι γάρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν π. οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν τῆς π. παύεται· ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ λόγος θεοῦ, φυλάττει τὴν π., ἑαυτὸν λόγον δεικνύς Thdot.Anc.*hom.*1.1(p.81.14ff.; M.77.1349C); εἰ γὰρ οὐκ ἠλλοιώθη ἡ παρθένος καὶ μήτηρ ἐγένετο· οὐδὲ ἀλλοιωθείσης π. τόκος ἐγένετο, θεοῦ θαυματουργήσαντος παρθένῳ τὸν τόκον· τί θαυμάζεις, εἰ ἐν ἀπαθεῖ φύσει θελήσας θεὸς ὑπεδέξατο πάθος, οὐκ ἀποθέμενος τὴν ἀπάθειαν id.*exp.symb.*14(M.77.1333A); οὐ γὰρ ἕτεκον τῷ κόσμῳ ψιλὸν ἄνθρωπον, ἀλλὰ θεὸν σεσαρκωμένον. καὶ μάρτυς ἀξιόπιστος, ἡ σφραγὶς τῆς π. μου Eulog.*palm.*10(M.86.2933A); Chrysipp.*enc.in BMV* 2(p.340.9); cf.Jo.D.*hom.*8.8(M.96.712A); monophysite ἡ γὰρ ἂν πάντη...ἔλυεν τὴν π. ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν...ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρῶτον τῆς π. λυθείσης Tim.II Al. *fr.*(M.86.276A); **e.** hence BMV not ἀνθρωποτόκος, Thdot. Anc.*exp.symb.*18(M.77.1340C); **f.** in rel. to Assumption ἔδει τῆς ἐν τῷ τίκτειν φυλαξάσης τὴν π. ἀλώβητον, ἀδιάφθορον τηρηθῆναι τὸ σῶμα, καὶ μετὰ θάνατον. ἔδει...τοῖς θείοις ἐνδιατρίβων σκηνώμασιν Jo.D.*hom.*9.14(M.96.741B); **2.** spiritual foundations of her virginity ἐξ ἄκρας ταπεινώσεως καὶ τῆς πρὸς θεὸν ἀγάπης, τὸν τῆς π. ἄμωμον χιτῶνα ἑαυτῇ κεχαριτωμένη ἐξύφανεν Ant.Mon.*hom.*21(M.89.1497B); εὗρε χάριτος ἄβυσσον, ἣ σῶαν τὴν ὁλκάδα τῆς διπλῆς π. τηρήσασα, καὶ τὴν ψυχὴν γὰρ παρθένον ἐτήρησεν, οὐ τοῦ σώματος ἔλαττον. ὅθεν καὶ ἡ τοῦ σώματος π. τετήρατο Jo.D.*hom.*8.7(M.96.709B); **3.** her virginity a mystery, hidden from the Devil, Ign.*Eph.*19.1; Ζαχαρίας...τὸ τῆς π. μυστήριον ἐπὶ τοῦ ἀφθάρτου τόκου κατανοήσας Gr.Nyss.*nativ.*(M. 46.1137A); πρότερον οὖν γέγονε τὸ κατὰ τὴν π. μυστήριον καὶ ἡ περὶ τὸ πάθος οἰκονομία id.*Eun.*3(2 p.20.13; M.45.585A); id.*Apoll.*3(M.45. 1128C); **4.** her vow of virginity Μαριάμ, ἡ τὸ τῆς π. ῥόδον ἀμάραντον φυλάξαι προσευξαμένη Tim.Ant.*descr.BMV* 6(M.28.952B); **5.** OT types of her virginity ὁ μέν σε ῥάβδον Ἰεσσαὶ καλεῖ, ἵνα τὸ ἄτρωτον καὶ ἀκαμπὲς τῆς π. αἰνίξηται. ὁ δὲ βάτῳ προβάλλει καιομένῃ, καὶ μὴ κατακαιομένῃ Hesych.H.*serm.*5(M.93.1461C); **6.** in epithets of BMV ὁ στέφανος τῆς π. Cyr.*hom.div.*4(p.102.21; 5^{3}.355E); ἡ στήλη τῆς π. †Serg.*acath.*228(p.145; M.92.1344D); τὸ τῆς π. κειμήλιον ‡Jo.D.*hom.* 6.5(M.96.668C).

Q. ref. Christ ὁ κύριος...ἄφθορον ἐφύλαξεν ἐν π. τὴν σάρκα κοσμήσας. καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν καθ' ὁμοίωσιν ἔσεσθαι θεοῦ, τοῦ Χριστοῦ φιλοτιμώμεθα τὴν π. τιμᾶν Meth.*symp.*1.5(p.13.13ff.; M.18.45B); *ib.* 10.1(p.122.12; 193A); ὅτι σπέρμα τοῦ ἀφθάρτου βίου τὴν π. ὁ κύριος ἡμῶν ἐκ γῆς εἰς οὐρανὸν παραδόξως πεμπόμενον ἐβουλήθη γενέσθαι, ἐμμελετῆσαι τὰ σώματα ἡμῶν τὸ τῆς ἀφθορίας κάλλος διὰ τῆς τῶν παρθένων ἀφθορίας ἤδη θελήσας, δῆλόν ἐστιν ἐξ ὧν πάντα τῷ νόμῳ πεισθεὶς μόνον τὸν γάμον ἀπείπατο †Bas.Anc.*virg.*54(M.30.777B); Χριστὸς...τὴν π. τὴν ἀληθῆ...δεικνὺς ἐν ἑαυτῷ Jo.D.*f.o.*4.24(M.94. 1209C).

R. praise of virginity μεγάλη τίς ἐστιν...ἔνδοξος ἡ π. ... τὸ οὖθαρ τῆς ἐκκλησίας καὶ τὸ ἄνθος...αὐτῆς τοῦτο τὸ ἄριστον Meth.*symp.*1.1 (p.7.10; M.18.36B); *ib.*7(p.71.22; 125A); μεγάλα ἐγκώμια τῆς π. ὦ π., πλοῦτος ἀκατάληπτος· ὦ π., στέφανος ἀμαράντινος· ὦ π., ναὸς θεοῦ καὶ ἁγίου πνεύματος οἰκητήριον· ὦ π., μαργαρῖτα τίμιε Ath.*virg.*24 (p.59.11ff.; M.28.280C); παρθενίη...θεόσδοτε, δῶτερ ἐάων, μῆτερ ἀκτημοσύνης, Χριστοῦ λάχος, οὐρανίοισι κάλλεσιν ἀζυγέεσσιν ὁμόζυγε Gr.Naz.*carm.*1.2.1.11(M.37.523A); ἔπαινος δὲ μόνος ἱκανὸς τῆς π. ἐστὶ τὸ κρεῖττονα τῶν ἐπαίνων εἶναι τὴν ἀρετὴν ἀποφήνασθαι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον ἢ τῷ λόγῳ τὴν καθαρότητα Gr.Nyss.*virg.*1 (p.252.25; M.46.321B); πολλοὶ τῶν μεγάλων ἀνθρώπων τὴν π. θαυμάζουσιν· καὶ γάρ ἐστι θαυμαστή, ὡς τῶν ἀγγέλων σύμφυτος,...ὡς τῶν ἀσωμάτων φύσεων σύνδρομος, ὡς τῆς ἁγίας ἐκκλησίας λαμπαδοῦχος... θαυμαστὴ...ἡ π., ὡς ἀδούλωτον κτῆμα...ὡς συνεισελθοῦσα τῷ νυμφίῳ Χριστῷ Amph.*hom.*2.1(M.39.44C,D); οἱ καλοὶ τῆς π. λόγοι...αὕτη ὁ λογικὸς τοῦ θεοῦ παράδεισος, ἐν ᾧ πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, τουτέστιν πνευματικὴν θεωρίαν· καὶ καλὸν εἰς βρῶσιν, τὴν πνευματικὴν διδασκαλίαν...αὕτη τῆς ἀληθινῆς ἐπαγγελίας ἡ χώρα Procl.CP *or.*6.3 (M.65.724C); *M.Ner.et Ach.*8(p.7.17ff.).

S. met.; **1.** ref. Church ἡ ὑπερβάλλουσα νύμφη [sc. ἐκκλησία] τῷ κάλλει...τῆς π. πάσας Meth.*symp.*7.7(p.78.5; M.18.133B); *ib.*8.11 (p.94.3; 156A); **2.** Trin. ὃ...παράδοξον ἐν πατρὶ π. εὑρίσκεσθαι τῷ καὶ υἱὸν ἔχοντι καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ μονογενεῖ θεῷ τῷ τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται ὁμοῦ τῷ καθαρῷ...τῆς γεννήσεως αὐτοῦ συνεκλάμψασα. καὶ πάλιν τὸ ἴσον παράδοξον υἱὸς διὰ παρθενίας νοούμενος. ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῇ τοῦ ἁγίου πνεύματος φυσικῇ...καθαρότητι· τὸ γὰρ καθαρὸν καὶ ἄφθαρτον ὀνομάσας ἄλλῳ ὀνόματι τὴν π. ἐσήμανας Gr.Nyss.*virg.*2(p.253.11ff.; M.46. 321C).

παρθενικός, 1. *of the Virgin* διὰ π. μήτρας...σαρκωθέντα Just.*dial.* 84.2(M.6.673B); Meth.*symp.*3.5(p.31.19; M.18.68B); Cyr.H.*catech.*

12.28; Gr.Nyss.*Apoll.*54(M.45.1256B); ἠὐδόκησε γὰρ ὁ θεὸς...τὸν υἱὸν...κατελθόντα ἐν μήτρᾳ π. συλληφθῆναι Epiph.*inc.*1(p.227.20; M. 41.273C); ref. Valent. Christology μηδὲν δὲ ἀπὸ τῆς π. μήτρας εἰληφέναι, ἀλλὰ ἄνωθεν τὸ σῶμα ἔχειν id.*haer.*31.7(p.396.11; M.41. 488A); Chrys.*hom.12.1 in Mt.*(7.160D); τὸ μὲν γὰρ πνεῦμα αὐτὸν διέπλασεν...οὐ μὴν ἐξ οὐκ ὄντων...ἀλλ' ἐκ τῆς σαρκὸς τῆς π. id.*hom. 26.1 in Jo.*(8.149D); id.*hom.4.1 in 1Cor.*(10.24B); ἐβαστάζετο ἀγκάλαις π. Sophr.H.*ep.syn.*(M.87.3173B); **2.** *virginal, virgin* π. ὠδῖνος Chrys.*hom.26.2 in Jo.*(8.151D); π. ... μήτηρ Nonn.*par.Jo.* 2:2(M.43.760C); *ib.*19:27(904B); ἡ τοῦ σώματος σύμπηξις ἐκ πανάγνων αἱμάτων π. ‡Cyr.*Trin.*14(6^{3}.20D; M.77.1152A); met. παρθενικοῖς δὲ δραμοῦσι καλῶς ἄφθαρτον ἄεθλον δώσει *Orac.Sib.*2.48; ἀνάψυξον ἡ π. μου πίστις *Apoc.Bar.rel.*6.4; in Barbeliote Gnostic system ὑπέθεντο ...αἰῶνα τινὰ ἀνώλεθρον ἐν π. διάγοντα πνεύματι, ὃ Βαρβηλὼθ ὀνομάζουσι Thdt.*haer.*1.13(4.304); **3.** *consisting of maidens* σύλλογος π. Cyr.H.*procatech.*14.

***παρθενικῶς, 1.** *as befitting a virgin* π. ἀποκρίνεται Sophr.H.*or.*2. 45(M.87.3277B); Thdr.Stud.*nativ.BMV* 7(M.96.692B); **2.** *as from a virgin, virginally* ὁ τόκος...θεῖος διὰ τῆς ἀρραγοῦς μήτρας π. ἐδείχθη Leont.H.*Nest.*4.36(M.86.1709D); ἐκυήθη π. Thdr.Stud.*epp.*2. 23(M.99.1188C).

παρθένιος, ἡ, *chalk,* Clem.*str.*1.10(p.8.8; M.8.697A).

***παρθενογενής,** *of virgin birth,* Tim.Ant.*Sym.*(M.86.245B).

***παρθενογέννητος,** *born of a virgin* διὰ τοῦτο ἀληθινὸς θεός, ἐπειδὴ π. Leont.H.*Nest.*4.41(M.86.1716A).

παρθενοκομία, ἡ, *hostel for girls,* Gr.Naz.*or.*43.34(M.36.541C).

***παρθενόλυτος,** *ending virginity* π. ... γάμων Isid.Pel.*epp.*2.92(M. 78.536D).

***παρθενομάρτυς, ἡ,** *virgin martyr, Hymn.*(*AS* 1 p.644).

***παρθενομήτηρ, ἡ,** *virgin mother,* as adj. π. κόρη Ephr.3.534C.

***παρθενομήτωρ, ἡ,** = foreg. π. ὡς θεοτόκος ἡ...Μαρία ‡Ath.*Jov.* (M.28.532B); Cyr.*Arcad.*(p.66.33; 5^{2}.49E); id.*deip.BMV* 4(p.20.33; M.76.260C); Mod.*dorm.*3(M.86.3288A); Sophr.H.*or.*2.21(M.87.3241A); τῆς ἀχράντου π. CTrull.*can.*79.

***παρθενοποι-έω,** *make virgin,* exeg. parable of ten virgins ἀποστάσας τῆς εἰδωλολατρείας τῷ παραδέξασθαι...τὸν τοῦ θεοῦ καθαρὸν λόγον καὶ ~ηθείσας Or.*comm.ser.63 in Mt.*(p.145.23; *virginificatae* M.13.1699D).

***παρθενοπρεπῶς,** *in a manner becoming virgins* ὁσίως καὶ π. Thdr.Stud.*epp.*2.115(M.99.1384C).

παρθένος, ἡ, *virgin;*

I. of the consecrated virgin also called (π.) κανονική q.v.; **A.** as bride of Christ; **1.** in gen. π. ... Χριστὸν ἔχουσα νυμφίον Gr.Naz. *carm.*1.2.3.67(M.37.638A); *ib.*1.2.29.315(907A); **2.** as calling for renunciation εἰ γὰρ οἱ τῷ κόσμῳ συναπτόμενοι καταλιμπάνουσι τὸν πατέρα καὶ τὴν μητέρα καὶ συνάπτονται ἀνθρώποις θνητοῖς, πόσῳ μᾶλλον ἡ π. ἐγκρατευομένη ὀφείλει καταλιπεῖν τὰ γήϊνα πάντα καὶ τῷ κυρίῳ μόνῳ κολληθῆναι Ath.*virg.*2(p.36.25; M.28.253B); πᾶς μὲν τόπος...ἐν τῇ ψυχῇ τῆς π. τῆς ὄψεως Χριστοῦ πεπληρώσθω...μηδενὸς οὖν...μὴ παρόντος, μὴ ἀπόντος ἀνθρώπου κάτοπτρον ἔστω ἡ τῆς π. ψυχή, ἣ τοῦ ἁγίου αὐτῆς νυμφίου †Bas.Anc.*virg.*49(M.30.768A); ὅλῃ τέτασο πρὸς θεόν, ὦ π., τῇ ψυχῇ...καὶ οὐ μή τί σοι φανῇ τῶν ἄλλων καλόν, ὅσα τοῖς πολλοῖς· οὐ γένος, οὐ πλοῦτος...οὐ...κάλλος...εἰ ὅλην ἐκένωσας πρὸς θεὸν τοῦ φίλτρου τὴν δύναμιν, εἰ μὴ δύο σοι εἴη τὰ ποθούμενα, καὶ τὸ ῥέον, καὶ τὸ ἀόρατον· ἆρα τοσοῦτον ἐτρώθης τῷ ἐκλεκτῷ βέλει, καὶ τοῦ νυμφίου κατέμαθες, ὥστε καὶ δύνασθαι λέγειν... γλυκασμὸς εἶ [cf.Cant.5:16] Gr.Naz.*or.*37.11(M.36.296C); id.*carm.*1. 2.2.658(M.37.630A); **3.** as receiving blessings ἄφθορος οὖν οὐ τῇ πρὸς τὸν ἄφθαρτον λόγον ἑνώσει ἡ π. μένει μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἕνωσιν γίνεται...ἀλλ' ἐφθαρμένην διὰ τῶν σαρκικῶν ἡδονῶν παρὰ διαβόλου λαβών, καὶ γυναῖκα αὐτοῦ διὰ τῆς φθορᾶς κακῶς γενομένην, τῇ πρὸς αὐτὸν κοινωνίᾳ ἄφθορον ἐκ γυναικὸς παρθένον ποιεῖ †Bas.Anc.*virg.*50 (M.30.769C); ἡ δὲ π. καὶ ποθεῖ τὴν τελευτήν...σπεύδουσα τὸν νυμφίον ἰδεῖν πρόσωπον πρὸς πρόσωπον Chrys.*virg.*59(1.319B).

B. compared with angels οὐ γαμοῦσιν, οὐδὲ γαμίζονται ἄγγελοι; ἀλλ' οὐδὲ ἡ π. παρεστήκασι διαπαντὸς...τῷ θεῷ; τοῦτο καὶ ἡ π. Chrys. *virg.*11(1.275E); ἡ δὲ π. ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται id.*sac.*3.17(p.88.26; 1.398B).

C. conduct; **1.** in gen., Polyc.*ep.*5.3 cit. s. ἀγνός; δεῖν τὴν σώφρονα...π. παντὸς πάθους κατὰ πάντα τρόπον τῆς ψυχῆς ἀπτομένου χωρίζεσθαι Gr.Nyss.*virg.*15(p.313.5; M.46.385A); ἡ π. ... ἔστω ἁγία σώματι καὶ ψυχῇ, ὡσφαὸς θεοῦ, ὡς οἶκος Χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον. δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς ὅτι ἔστιν ἀληθὲς καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γινόμενον *Const.App.*4.14.2; **2.** external appearance; should express sanctity, Gr.Naz.*carm.*1.2. 6.27(M.37.645A); ὅλην σεαυτὴν ἁγνὴν τήρει π. ... ὅμμα σου σωφρονείτω ...μὴ νοῦς πορνεύῃ, μὴ γέλως, μὴ ποῦς ἄτακτα βαίνων. τὴν πιναρὰν στολὴν σου, καὶ τὴν αὐχμηρὰν κόμην, μᾶλλον αἰδοῦμαι μαργάρων *ib.*1.2. 3.49(636A); δεῖ...αὐτὴν εἰς ἀγορὰν ἐμβάλλουσαν, ὥσπερ ἅγαλμα φιλοσοφίας ἁπάσης φαίνεσθαι, καὶ πάντας ἐκπλήττειν, ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα...οὕτω καὶ τὴν π. τοὺς ὁρῶντας ἅπαντας εἰς θαῦμα...τῆς ἁγιωσύνης αὐτῆς ἐμβάλλειν δεῖ Chrys.*fem.reg.*7(1.262E); should conceal beauty, †Bas.Anc.*virg.*16(M.30.704B); *ib.*18(708A); *ib.*(708B); ἡ π. καὶ μόνη οὖσα, τῆς ἀναμαρτησίας ἑαυτῆς προνοήσεται, οὐ τὰς τῶν λοιπῶν ἀνθρώπων ὄψεις μόνον, ἀλλὰ πολλῷ πλέον...τὰς ἑαυτῆς καὶ τῶν ἁπανταχοῦ ὁρώντων ἀγγέλων ἐντρεπομένη...οὐ γὰρ δεῖ, κἂν ἐν οἴκῳ μόνῃ καθέζηται καθ' ἑαυτὴν ἡ π., διότι μηδεὶς πάρεστι τῶν ἀνθρώπων, ἀδιαφόρως γυμνοῦσθαι...αἰδεῖσθω οὖν...ἡ π. τοὺς ἀγγέλους ...καὶ ὅταν συμβαίνῃ ἀναγκαίως ἐπιμελεῖσθαι τοῦ σώματος, τά τε κατὰ κεφαλὴν καὶ τὰ καθ' ἕκαστον περιστέλλουσα, ἐπισπευδέτω τὸ ἔργον *ib.* 34(737C–740A); **3.** custody of the senses π. οὖν ἔστω τῆς π. καὶ ἡ ἀκοὴ καὶ τὸ βλέμμα, ἔτι δὲ ἡ ἁφὴ καὶ ὅλον τὸ κίνημα †Bas.Anc.*virg.*15(M. 30.704A); π., π. ἴσθι καὶ οὖσαι, καὶ φαείσαι, καὶ γλώσσῃ Gr.Naz.*carm.* 1.2.2.74(M.37.584A); ἡ π. ὀφείλει ταῖς τῶν αἰσθητηρίων ἁπαῖς τὸν λογισμὸν φρουρὸν ἐπιστήσασα, τήν τε ἐπὶ τὰ ἔξω τούτων φορὰν... ἠρεμαῖον παρέχειν †Bas.Anc.*virg.*4(M.30.677C); ref. individual senses δεῖ μάλιστα τὴν π. τάς τε διὰ τῶν βλεμμάτων καὶ τῆς φωνῆς κολακείας, τῆς φθειροποιοῦ ἡδονῆς φάρμακον οὔσας, τῶν ἰδίων αἰσθήσεων...ἐλαύνειν· τὴν μὲν ἀκοὴν ἔνδοθεν σώφρονι λογισμῷ ἀποφράττουσαν, τοὺς δὲ ὀφθαλμοὺς ἀποστρέφειν κατὰ φύσιν γινώσκουσαν *ib.*15 (700C); δεῖ τὴν π. ... καὶ π. φυλάττειν τὴν γλῶσσαν...ἐκεῖνα γὰρ μόνον τῇ π. ῥητέον, ὅσα τε ἀκουσθέντα τὸν νοῦν ὠφελήσει τῶν ἀκουόντων *ib.*20 (709C); reasons for these precautions ἰστέον οὖν τοῖς τὴν θεράπαιναν τῆς ὄντως παρθενίας, διὰ τῆς ἀποχῆς τῶν τροφῶν...παρθένον φυλάττουσιν, ὅτι δυνατόν π. ἔχοντα σῶμα, μὴ π. ἔχειν τὴν ψυχήν. ἱκανὸν γὰρ καὶ βλέμμα τύπους ἐμποιῆσαι τῶν αἰσχρῶν τῇ ψυχῇ, καὶ λόγος πεφαρμακωμένος πρὸς ἡδονὴν ἐμπεσὼν τῇ ἀκοῇ φθεῖραι πρὸς ἀκολασίαν τὸν νοῦν. εὐλαβεῖται γοῦν ὁ νυμφαγωγός, μήπως φθαρῇ οὐ τὸ σῶμα, ἀλλὰ τὰ νοήματα τῶν νυμφευομένων Χριστῷ. διὸ δεῖ τὴν π. πρὸ τοῦ σώματος μάλιστα τηρεῖν τὴν ψυχήν...ὡς ἂν μήτε διὰ φωνῆς ταύτης λόγος ῥυείς, πρὸς ἡδονὴν τὸν ἀκουστὴν τοῦ λόγου φαρμάξειε, μήτ' ἔξωθεν αὖθις διὰ τῆς ἀκοῆς λόγος...ἐμπεσών, τὴν καρδίαν αὐτῆς πρὸς ἐπιθυμίαν κυμήνῃ. οὕτω γὰρ καὶ ἐπὶ τοῦ βλέμματος προσήκει ποιεῖν...διὸ δεῖ...μηδενὶ ἀτενὲς τὴν π. ἐπιβάλλειν τὸ ὄμμα *ib.*13(693C–696B); ἐρωτικὸν βλέμμα, ἢ λόγος ἡδονῆς...εἰς τὴν τῆς π. ψυχήν, ὥσπερ εἰς καθαρὸν ὕδωρ... ἐμπεσών, ἄλλας ἐπ' ἄλλας ἐρωτικάς, ὡς ἐν βύθῳ, ἐγείρων ἐννοίας, ὅλην αὐτὴν πρὸς τὴν τοῦ βάλλοντος φαντασίαν πληγεῖσαν κυμαίνει *ib.*14 (700C); **4.** abstinence and other austerities οὕτως γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς· οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν π., ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄυπνος ἀπὸ μερίμνης βιωτικῆς Meth.*symp.*5.5(p.59.22; M.18.108A); οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς...προσψαύειν τὴν π., ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς...αἴκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος...ὅπως...μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται... ἑτέρων μὲν κρατοῦσα, ὑφ' ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων διαφερόντων ὑφαῖς ἀβρυνομένη...ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν *ib.* 5.6(p.60.6; 108A); πρώτης οὖν τῆς γεύσεως ἡ π. κρατήσει, τὰς πηγὰς τῶν γαστρὸς ἡδονῶν...παρθένον γὰρ καὶ τὴν γεῦσιν εἶναι δεῖ τῆς π. †Bas. Anc.*virg.*7(M.30.682B); ἡ π. ... διὰ νηστειῶν καὶ ἀσκήσεως τούς τε ἀναδιδομένους...βρασμοὺς καταστείλασα *ib.*47(761C); καλῶς ὁδεύεις, π., εἰς ὄρος...νηστεία σε κενούτω, ἀγρυπνία, προσευχαί, δάκρυα, χαμευνία Gr.Naz.*carm.*1.2.3.33(M.37.635A); **5.** seclusion ἡ ὑπακοὴ τῶν π. ἔστω ἁγία, καὶ μόναι ἡσυχαζέτωσαν· ἐν δὲ ταῖς προόδοις βαδιζέτωσαν δύο δύο *A.Phil.*142(p.82.8); οὐ γὰρ ἁπλῶς ἀγελαίαν δεῖ τὴν π., ἀποστραφεῖσαν τὰ γάμων δεσμά, ἁπανταχοῦ μετὰ αὐθεντίας σοβεῖσθαι †Bas. Anc.*virg.*19(M.30.709A); κάλλιον τὴν π. τὸ ἀσφαλὲς ἑαυτῇ καὶ ἀπρόσκοπον τῶν ὁρώντων πραγματευομένην, πανταχόθεν φρονίμως ἀνεπίμικτον εἶναι *ib.*53(776B); χρὴ τὴν π. πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις...προβαίνειν τῆς οἰκίας Chrys.*sac.*3.17(p.91.19; 1.399C); **6.** various virtues οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον... ἀγνεύειν χρὴ τὴν παρθένον ψυχήν,...ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων Mac.Aeg.*perf.*5(M.34.845A); τὴν π. οὐ τοῦτο ποιεῖ π., τὸ μὴ ὠμληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου Chrys.*hom.13.2 in 1Tim.*(11.619D); id.*ep.*2.4(3.539A); ποῖον γὰρ ὄφελος ἔσται τῷ τὸ σῶμα π. τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μεμολίχευται δαίμονος; Diad.*perf.*42(p.48.19); τὸ γὰρ

λέγεσθαι π., καὶ τὰς ἀρετὰς μὴ ἔχειν ἀναλόγους, καὶ...ἁρμοζούσας τῇ π., μωρὰν τὴν τοιαύτην π. φησὶν ὁ κύριος Ant.Mon.*hom.*21(M.89.1497B); πρὸ δὲ πάντων χρὴ τὴν π. τῷ ἐλαίῳ τῆς εὐποιΐας κατακοσμῆσαι τὴν ἑαυτῆς λαμπάδα *ib.*(1500C).

D. opp. married women; **1.** separation advocated μεμερισμένη γοῦν πρὸς τὴν ἔγγαμον ἡ π., τόν τε βίον, καὶ ὅλον τὸ ἦθος, τὰ ἐπιβάλλοντα ἔργα τῇ π. ἐν παντὶ ἐπιγνώσεται †Bas.Anc.*virg.*21(M.30.713C); *ib.*(712C); **2.** sorrows of married women and joys of virgins δεσπότην μετὰ προικὸς ἡ γυνὴ ὠνουμένη τὸν ἄνδρα, δούλη μὲν ἀντὶ ἐλευθέρας ἐστί, μικρᾶς τῆς κατὰ τὸν γάμον ἡδονῆς τὴν φυσικὴν ἐλευθερίαν ἀπεμπολήσασα, θύραν δὲ ἀμυθήτων ὠδίνων...ἑαυτῇ τὸν γάμον ἀνοίξασα...ἡ δὲ π. τὸν πρὸς τὸν ἄνδρα ζυγὸν ἀπορρήξασα, καὶ πρὸς τὸν κύριον ὅλη δραμοῦσα, συναπέρρηξε τῷ ζυγῷ καὶ τὴν ἐκ τῆς κατάρας ὀδύνην...τὴν ἐκ τῆς συμπλοκῆς τῶν σαρκῶν συμβαίνουσαν φθορὰν πρώτην φυγοῦσα, ἄφθορος ὅλη ἐν ἀσάρκῳ ψυχῇ, τῷ κυρίῳ νυμφεύεται *ib.*23(717C); ἡ δὲ π. ἀνωτέρω ταύτης ἕστηκε τῆς ὠδῖνος [sc. childbirth] καὶ τῆς ἀρᾶς. ὁ γὰρ τὴν ἀπὸ τοῦ νόμου κατάραν λύσας καὶ ταύτην ἔλυσε μετ' ἐκείνης Chrys.*virg.*65(1.322A); *ib.*68(323B); **3.** their spiritual state καὶ ἡ ὑπὸ ζυγὸν ἔστω τι Χριστοῦ· καὶ ἡ π. ὅλη Χριστοῦ. ἡ μὲν μὴ παντελῶς ἐνδεσμείσθω τῷ κόσμῳ· ἡ δὲ μηδ' ὅλως γινέσθω τοῦ κόσμου. ὃ γάρ ἐστι τῇ ὑπὸ ζυγὸν τὸ μέρος, τοῦτο παντελὲς τῇ π. Gr.Naz.*or.*37.10(M.36.296A); αἱ ὑπὸ ζυγόν, δότε τι καὶ θεῷ...αἱ π., τὸ πᾶν θεῷ *ib.*44.8(616B); **4.** their mutual harmony ἀλλήλαις συνδεσμεῖσθε, καὶ π., καὶ γυναῖκες, καὶ ἔν ἐστε ἐν κυρίῳ, καὶ ἀλλήλων καλλώπισμα. οὐκ ἂν ἦν ἄγαμος, εἰ μὴ γάμος. πόθεν γὰρ εἰς τοῦτον παρῆλθε τὸν βίον π.; οὐκ ἂν ἦν γάμος σεμνός, εἰ μὴ π. καρποφορῶν *ib.* 37.10(293C).

E. temptations; **1.** to become '*subintroductae*', v. συνείσακτος; **2.** spiritual trials ἡ δὲ π. δι' ὅλου θαλαττεύειν ἀναγκάζεται, καὶ πέλαγος πλεῖν ἀλίμενον· κἂν ὁ χαλεπώτατος διεγερθῇ χειμών, οὐδὲ οὕτως θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι...ὁ...πειρατὴς τῇ π. πολὺν ἐπάγει τὸν χειμῶνα...πάντα ἄνω καὶ κάτω κυκῶν,...ἤκουσε γὰρ ὅτι τὸ Ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ π. οὐκ ἔχει, ἀλλ' ἀνάγκη δι' ὅλου παλαίειν αὐτήν Chrys.*virg.*34(1.292B,C); ἡ δὲ π. οὐκ ἔχουσα ὅπως σβέσῃ τὸ πῦρ...ἑνὸς γίνεται μόνου τοῦ μὴ φλεχθῆναι μαχομένην πυρί *ib.*(292E).

F. work and influence ἔστωσαν...πᾶσαι αἱ π. αἱ πιστεύουσαι καθ' ἑκάστην τὴν ἡμέραν ἐπισκέπτουσαι τοὺς νοσοῦντας *A.Phil.*142(p.79.5); ἡ π. σωφροσύνης εἰκών, μᾶλλον δὲ αὐτοαρετῆς ἄγαλμα οὖσα, καὶ μόνον ὀφθεῖσα, τὰς τῶν ὁρώντων ὄψεις πρὸς τὴν τοῦ θείου ἔννοιαν ἐπιστρέφειν ὀφείλει †Bas.Anc.*virg.*22(M.30.716A); μεταρυθμιζέσθω τῶν ἀπαντώντων τῇ π. καὶ βλέμμα καὶ κίνημα πρὸς τὴν τοῦ καλοῦ φαντασίαν· καὶ πάντες μὲν οἱ συντυγχάνοντες ἐπιστυφέσθωσαν τὴν διάνοιαν *ib.*(716B); ἡ π. καὶ γνώμης καὶ κινήσεως καὶ μορφῆς καὶ σχήματος...τοῖς τοῦ νυμφίου φίλοις καθαρῶς ὁμιλήσει. οὐ γὰρ εἰς μισανθρωπίαν φέροντες αὐτὴν ἀπεκλείσαμεν, ἀλλ' ἀκριβέσι τύποις ὅλην ἄνωθεν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν θεοῦ ἄγαλμα ζωγραφήσαντες, οὕτω πρὸς τοὺς τῆς πίστεως οἰκείους ἐπιδεξίως προάγομεν, ἵνα καὶ σχήματι, καὶ λόγῳ, νύμφη ἀληθῶς τοῦ κυρίου ὀφθεῖσα, ὠφελήσῃ τοὺς ὁμιλοῦντας *ib.*36(740C).

G. reward στέφανος τῶν π. ἐγώ [sc. Christ] *A.Mi.*2(p.219.4); †Bas.Anc.*virg.*24(M.30.720B); τῶν μοναζόντων καὶ τῶν π. τάγμα, τῶν τὸν ἰσάγγελον βίον ἐν κόσμῳ κατορθούντων...μέγας ὑμῖν ἀπόκειται στέφανος Cyr.H.*catech.*4.24; *ib.*13.34; αἱ δὲ π. προσδοκώμεναί εἰσι μετὰ τῶν συνεταιρίδων ἐν οὐρανοῖς Μαρίας ἅμα ἀδελφῆς Ἀαρών, καὶ τῆς Μαρίας καὶ Θέκλης τῆς ἐκτιλάσης τὴν σαρκικὴν ἐπιθυμίαν ἀφ' ἑαυτῆς ‡Ath.*pat.*7(M.26.1305C).

H. in persecutions; gen. sufferings, Ath.*apol.Const.*33(M.25.640C); id.*ep.encycl.*4(p.173.17f.; M.25.232A,B); Gr.Naz.*or.*33.3(M.36.217C); *ib.*43.46(556C); rape, †Bas.Anc.*virg.*52(M.30.773B,C).

I. lapsed virgins; their sin λέγει...ὁ κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ἡ π., ἐμὲ ἐγκατέλιπε τὸν ἀληθινὸν...νυμφίον, καὶ ἀπέδρα πρὸς ἀσεβῆ...ψυχῆς ὁμοῦ καὶ σώματος φθορέα Bas.*ep.*46.3(3.137E; M.32.376B); ἡ π., μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαφθαρεῖσα, μοιχείας χεῖρον ἐτόλμησεν Chrys.*vid.*2.3(1.353B); to be judged strictly περὶ τῶν ἐκπεσουσῶν π. τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ, εἶτα...ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν...πραῶς συμπεριφερόμενοι ταῖς ἀσθενείαις...ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτόν...ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ...πληθύνεται νῦν τὸ τάγμα τῶν π., προσέχειν ἀκριβῶς τῷ τε κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς γραφῆς διανοίᾳ...οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ π. τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται Bas.*ep.* 199.*can.*18(3.291B–E; M.32.717A–720A); 1Cor.7:28 not applying to them, Chrys.*virg.*39(1.298C); sin of intercourse with virgins μηδεὶς οὕτως ἔστω ἀνόσιος...αὐτὸν τὸν ναὸν τοῦ κυρίου, τουτέστι, τῆς π. τὸ σῶμα, καὶ αὐτὴν τὴν...ψυχὴν τῆς π., ἱερώτατον ἐν τῷ ναῷ τοῦ κυρίου ἀνάθημα, τοῖς ἀκολασίας πυρσοῖς βαρβαρικῶς καταφλέξαι. ἀλλ' εἰ ἐκοῦσαν ἐπέδωκεν ἑαυτὴν ἡ π. ... μὴ χωρεῖς τοιαύτῃ σαυτὸν εἰς κοινωνίαν τῆς ἁμαρτίας †Bas.Anc.*virg.*41(M.30.749D–752A).

J. ideal of a virgin; **1.** attitude to the world τοιοῦτον δεῖ ἔρωτα τὴν π. ἐρῶσαν, καταφρονεῖν μὲν ἡδυπαθείας, καὶ τοῦ πλούτου καὶ τῆς νομιζομένης ἐν τῷ κόσμῳ τρυφῆς· πατοῦσαν δὲ τὴν πρόσκαιρον δόξαν... καὶ τὰς ἐμπαθεῖς κολακείας, ἀμεταστρεπτὶ τῷ κυρίῳ ἀκολουθεῖν †Bas.Anc.*virg.*26(M.30.724B); **2.** perfect purity, *ib.*27(725B); Gr.Naz.*carm.* 1.2.3.1(M.37.632A); **3.** perfect equilibrium ἡ π. ... οὔτε τοῖς ἐκ σαρκὸς πάθεσι τὸ τῆς ψυχῆς φωτεινὸν συνταράξει, οὔτε τοῖς ἀπὸ ψυχῆς ἔχουσι τὴν ἀρχὴν συγχεῖν τὸ ἑαυτῆς κάλλος ἀνέξεται· ἀλλ' ἑκάτερον ἐν τῇ ἰδίᾳ χώρᾳ...καθ' ἡσυχίαν φυλάττουσα, εἰρήνην μὲν τοῖς μέρεσι μετὰ σοφίας βραβεύσει, ἐν ἠρεμίᾳ δὲ μένειν καὶ ψυχὴν καὶ σῶμα κατὰ φύσιν ἀσκήσασα, τὸ ἐξ ἀμφοῖν ἐναρμόνιον εἶδος καθαρὸν ἐπιδείξει †Bas.Anc. *virg.*47(M.30.760D); *ib.*49(765C); ἡ π. ... μυστικῶς...σαββατιζέτω, μὴ χεῖρα, μὴ πόδα, μὴ ὀφθαλμόν, μήτ' ἄλλο τι τῶν μελῶν, ἀλλὰ μηδὲ νοῦν φθοροποιὸν τοῦ φυσικοῦ κάλλους κινοῦσα· ἀλλ' ἑστηκέτω ὡς ἀγαθὸν γλύμμα θεοῦ ἀκίνητον πρὸς πᾶσαν φαντασίαν *ib.*58(785C); *ib.* 66(804B).

***πενητοκόμος**, *ministering to the poor*, Gr.Naz.*carm.*2.2(epitaph.) 13.4(M.38.49A); *ib.*2.1.50.47(M.37.1388A).

***πενηχρός**, = *πενιχρός, humble, poor, Mir.Geo.*6(p.75.20).

***πενηχρόφρων**, *small-minded, of narrow understanding*, Ph.Carp. *Cani.*proem.(M.40.28A).

πενθαλέος, *sorrowful*, Gr.Naz.*carm.*1.2.17.26(M.37.783A); Nonn. *par.Jo.*11:32(M.43.844C); *ib.*20:1(908B).

πενθερίδης, **ὁ**, *brother-in-law*; of Aquila as brother-in-law of Hadrian, Epiph.*mens.*14(M.43.261A); *Dial.Tim.et Aquil.*117 v° (p.91); in gen. πενθερὸν δὲ αὐτὸν κέκληκεν, ὡς τῆς γαμετῆς ἀδελφόν. καὶ γὰρ νῦν πολλοὶ τοὺς τοιούτους π. καλοῦσι Thdt.*qu.4 in Jud.*(1. 322).

πενία, **ἡ**, **A.** *poverty* (dist. from πτωχεία); **1.** not a good in itself οὔτε τοὺς πένητας ἡ π. ῥύσεται ἀπὸ τῆς δίκης *A.Thom.*A 83 (p.199.10); οὔτε ἡ π. καλόν, ἀλλὰ τὸ καλῶς κεχρῆσθαι τῇ π. Chrys.*pecc.* 2(3.345B); ἀκόρεστόν πως κακὸν ἡ ἀκούσιος π., καὶ μεμψίμοιρον, καὶ ἀχάριστον...τῆς π. τὴν φύσιν καταμαθών, δεινὴν οὖσαν καὶ τὴν γενναιοτάτην ψυχὴν καταβαλεῖν id.*sac.*3.16(pp.85.3,86.2; 1.396C,E); πονηρὰ ἡ π., ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἐν στόμασι ἀσεβοῦς id.*pecc.*2(3. 346A); δεινόν...ἡ π., καὶ ἴσασιν ὅσοι πεῖραν ταύτης εἰλήφασι id.*Laz.*1.9 (1.720C); π. γὰρ ἀκούσιος καὶ καμίνου καὶ θηρίων χαλεπώτερον id.*hom. 81.3 in Mt.*(7.778B); **2.** its possibilities for good or evil περὶ τῆς π. ἐστὶν εἰπεῖν· ἂν μὲν γὰρ γενναίως αὐτὴν ἐνέγκῃς εὐχαριστῶν τῷ δεσπότῃ, γέγονέ σοι στεφάνων τὸ πρᾶγμα ἀφορμή...ἂν δὲ βλασφημῇς διὰ τοῦτο τὸν πεποιηκότα...ἐπὶ κακῷ πάλιν ἐχρήσω τῷ πράγματι Chrys.*pecc.*2(3.345D); ἐπῃνεῖτο ὁ πένης ἐκεῖνος [sc. Lazarus] ὁ ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, οὐκ ἐπειδὴ πένης ἦν, ἀλλ' ἐπειδὴ μετ' εὐχαριστίας τὴν π. ἤνεγκε *ib.*(345C); **3.** of scriptural attitude to poverty, ref. Eccl.9:16, Pr.30:8 etc. ταῦτα ἐλέγετο ἐν τῇ παλαιᾷ, ἔνθα πολὺς ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς π. πολλὴ ἦν ὑπεροψία, ἔνθα τὸ μὲν κατάρα ἦν, τὸ δὲ εὐλογία...ἀλλὰ θέλεις ἀκοῦσαι τῆς π. ἐγκώμια; αὐτὴν μετῆλθεν ὁ Χριστὸς...ἐν αὐτῇ δὲ τῇ παλαιᾷ...τίνες ἦσαν οἱ θαυμαστοί; οὐχὶ Ἠλίας...; οὐχὶ Ἐλισσαῖος, οὐχὶ Ἰωάννης; μηδεὶς τοίνυν ἔστω ταπεινὸς διὰ πενίαν· οὐκ ἔστι π. ἡ ποιοῦσα ταπεινόν, ἀλλὰ πλοῦτος, ὁ πολλῶν δεῖσθαι καταναγκάζων...ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν καὶ Ἰωάννην; οὐχ ὁ μὲν τὸν Ἀχαὰβ ἤλεγχεν, ὁ δὲ τὸν Ἡρῴδην;...ὁρᾷς ὅτι τοῦτο μάλιστα ποιεῖ τὴν παρρησίαν, ἡ π.;...οὐκ ἂν οὖν, εἰ ἡ π. ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς μετὰ πενίας ἔπεμπε τοὺς μαθητὰς εἰς πρᾶγμα παρρησίας πολλῆς δεόμενον Chrys.*hom.18.2 in Heb.*(12. 176C–177B); **4.** poverty and riches; **a.** as morally indifferent οὐδὲν ὁ πλοῦτος ἀγαθόν, οὐδὲν ἡ π. κακόν, ἀλλ' ἀδιάφορά ἐστι πράγματα Chrys.*hom.2.4 in 2Thess.*(11.521D); id.*Laz.*2.1(1.727A); id.*exp.in Ps.* 48:3(5.205A); **b.** virtue can be practised in either state ὡς ἐν π. βίου ὀρθῶς ἔστι βιοῦν, οὕτω δὲ καὶ ἐν περιουσίᾳ ἔξεστιν Clem.*str.*1.6(p.23.12; M.8.729B); Chrys.*stat.*15.3(2.156C) cit. s. πλοῦτος; **c.** but poverty more conducive to it πρὸς ἀρετὴν ἐπιτηδειότερον π. πλούτου id. *eleem.*5(3.256E); εἰ δέ τις εἴποι, καὶ πῶς π. ἡ ταπεινοφροσύνη; ἐκεῖνο ἐροῦμεν, ὅτι αὕτη ἐπιτηδειοτέρα πρὸς ἀρετήν. ὁ μὲν γὰρ πλουτῶν ἀλύει, καὶ θορυβεῖται· ὁ δὲ πένης πάντα ῥᾳδίως φέρει, καθάπερ ἐν παλαίστρᾳ τῇ π. πολλάκις γυμναζόμενος id.*exp.in Ps.*9:19(5.106C); **d.** true poverty and true riches πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν π. Clem.*paed.*2.3 (p.181.7; M.8.440A); πλοῦτος...ἀληθὴς ὁ ἐν ταῖς κατὰ τὴν ἀρετὴν πράξεσι πλεονασμός, π. δὲ ἡ κατὰ τὰς κοσμικὰς ἐπιθυμίας ἀπορία id. *str.*6.12(p.481.32; M.9.321A); πλοῦτος, ἡ τῆς ἐντολῆς μόνη τήρησις ἦν· π. δὲ ἀληθὴς...ἡ ταύτης παράβασις Gr.Naz.*or.*14.25(M.35.892B); οὐδὲ βλάβος πενίας, ψυχῆς οὔσης πλουσίας. καὶ πῶς ἂν γένοιτο πλουσία, φησί, ψυχή, ἐν π. χρημάτων οὖσα; μάλιστα ἂν τότε γένοιτο·...εἰ γάρ...τοῦτο πλουτοῦντος τεκμήριον, τὸ καταφρονεῖν χρημάτων...εὐκολώτερον δ' ἂν τις ἐν π. ἢ ἐν πλούτῳ καταφρονήσειε χρημάτων· εὔδηλον ὅτι μάλιστα τὸ ἐν π. εἶναι μᾶλλον ποιεῖ πλουτεῖν...εἰ τοίνυν τὸ πλειόνων ἐφίεσθαι, πενίας, ὁ δὲ ἐν πλούτῳ τοιοῦτος, οὗτος μάλιστα ἐν π. ὁρᾷς ὅτι τότε μάλιστα πένεται ἡ ψυχή, ὅταν πλουτῇ, καὶ τότε πλουτεῖ, ὅταν ἐν π. ᾖ; Chrys.*hom.80.4 in Mt.*(7.771E,772B); **e.** spiritual poverty of world opp. true riches ὁ εἰς τὴν τοῦ κόσμου π. ἀγαγών με καὶ εἰς πλοῦτον ἀληθινὸν παρακαλέσας με *A.Thom.*A 144(p.251.6); ἐν τῇ τοῦ κόσμου π. παρέμεινον, ἕως οὗ ὁ ἀληθινὸς πλοῦτος ὀφθεὶς κἀμὲ...ἐπλήρωσας πλούτου *ib.*145(p.252.5); μήτε ἐπὶ πενίᾳ καταπίπτωμεν· ἀλλ' ἐκεῖνον ζητῶμεν τὸν πλοῦτον, τὸν ἐν ἔργοις ἀγαθοῖς· ἐκείνην φεύγωμεν τὴν π., τὴν ἐν κακίᾳ...δι' ἣν καὶ ὁ πλούσιος ἐκεῖνος πένης ἦν...ὅτι οὐδὲ παραμυθήσασθαί ποθεν τὴν π. ἠδύνατο Chrys.*hom.9.5 in Mt.*(7.137B); **f.** in gen. ἐπὶ τοῦ παρόντος βίου καὶ π. καὶ πλοῦτος προσωπεῖα μόνον εἰσίν

id.*Laz.*2.3(1.731B); *οὐ γὰρ τῷ μέτρῳ τῆς οὐσίας, ἀλλὰ τῇ διαθέσει τῆς γνώμης ὁ πλοῦτος καὶ ἡ π. κρίνονται· καὶ ἐκεῖνος μάλιστά ἐστιν ὁ πάντων πτωχότατος, ὁ ἀεὶ τοῦ πλείονος ἐπιθυμῶν* id.*hom.*23.6 *in 1Cor.*(10.211A); *ἐμοὶ γὰρ ἡ π. κόρῃ τινὶ κοσμίᾳ, καὶ καλῇ...προσοικέναι δοκεῖ· ἡ δὲ φιλαργυρία θηριομόρφῳ γυναικί* id.*hom.*90.4 *in Mt.*(7.843D); *ἃ μὲν τῆς π. δοκεῖ εἶναι κακά, κοινὰ ἑκατέρων ἐστίν· ἃ δὲ τοῦ πλούτου, μόνα ἐκείνου* id.*hom.*13.4 *in 2Cor.*(10.536C); *πλουτεῖς; ἔλπιζε π. καθ' ἑκάστην ἡμέραν. τίνος ἕνεκεν...; ὅτι τὰ μάλιστά σε ὠφελῆσαι δυνήσεται ἡ προσδοκία αὕτη. ὁ γὰρ ἐλπίζων π., ἐν πλούτῳ ὢν οὐ τυφοῦται* id.*Saturn.*3(3.407E); ref. Pr.10:4 *τὴν φειδωλίαν π. λέγει, καθ' ἣν οἱ πλούσιοι πένονται μεταδόσεως, ὡς οὐκ ἔχοντες* Clem.*paed.*3.4(p.254.9; M.8.600A); **5.** advantages of poverty rightly borne; **a.** natural *εἰ καὶ μηδὲν ἕτερον ἦν τὸ συνιστῶν τὴν τοῦ θεοῦ πρόνοιαν, ὁ πλοῦτος καὶ ἡ π. ταύτην ἂν...ἀπέδειξεν. ἂν γὰρ ἀνέλῃς τὴν π., τοῦ βίου τὴν σύστασιν ἀνεῖλες ἅπασαν...καὶ οὔτε ναύτης, οὔτε κυβερνήτης...οὐκ ἄλλος τις τῶν δημιουργῶν ἔσται τούτων...νῦν μὲν γάρ, καθάπερ διδάσκαλός τις ἀρίστη, ἑκάστῳ τούτων ἐπικαθημένη ἡ τῆς π. ἀνάγκη, πρὸς τὰ ἔργα καὶ ἄκοντας συνωθεῖ* Chrys.*Anna* 5.3(4.744A,B); id.*hom.*2.3 *in Eph.*(11.13C); **b.** spiritual and moral *π. ... καὶ νόσος καὶ τοιαῦται πεῖραι ἐπὶ νουθεσίᾳ προσφέρονται καὶ πρὸς διόρθωσιν τῶν παρεληλυθότων καὶ πρὸς ἐπιστροφὴν τῶν μελλόντων* Clem.*str.*7.13(p.58.14; M.9.513A); *π. πολλοὺς ἐσωφρόνισε τῶν ὡρμημένων κακῶς* Bas.*hom.in Ps.*45(1.171A; M.29.417B); *τὴν φίλην ἡμῖν π., καὶ φιλοσοφίας τροφόν* id.*ep.*4(3.76C; M.32.236C); *βούλει τῆς π. τὸν πλοῦτον καταμαθεῖν; οὐκ ἐπιτάττει ἀνδράσιν, ἀλλὰ δαίμοσιν ἐπιτάττει· οὐ παρίσταται βασιλεῖ, ἀλλὰ παρέστηκε θεῷ· οὐ στρατεύεται μετὰ ἀνθρώπων, ἀλλὰ στρατεύεται μετὰ ἀγγέλων* Chrys.*hom.*47.4 *in Mt.*(7.492C); *τοῖς παισὶν ἐκείνοις* [sc. three holy children] *ἴσοι γίνονται οἱ πενίαν μετ' εὐχαριστίας φέροντες. καὶ γὰρ πυρὸς φοβερώτερον ἡ πτωχεία...ἀλλὰ τοὺς παῖδας οὐκ ἐνέπρησεν ἐκείνους...οὕτω καὶ νῦν, ἂν ἐμπεσῶν εἰς π. εὐχαριστήσῃς, καὶ τὰ δεσμὰ λύεται, καὶ ἡ φλὸξ σβέννυται ib.*4.12(70A); *ἡ δὲ π. φρούριον ἀσφαλές, χαλκῷ περιβεβλημένον πολλῷ, καὶ δύσκολον ἔχον τὴν ἄνοδον* id.*hom.*13.4 *in Ac.*(9.108D); *ἡ π. προσθήκη γίνεται καὶ τρυφῆς καὶ ἀναπαύσεως ἡμῖν. ... ἁμαρτήματα ἀποτιθέμεθα, ἂν εὐχαρίστως ταύτην φέρωμεν, καὶ πολλὴν παρὰ τῷ θεῷ κτώμεθα τὴν παρρησίαν* id.*hom.*77.4 *in Jo.*(8.456E); esp. of voluntary poverty *εἰ γὰρ βούλει μηδενὸς σφόδρα δεῖσθαι, εὔχου πενίαν· κἂν τινος δεηθῇς, ὑπὲρ ἄρτου δεήσῃ μόνον ἢ ἱματίου...εἰ δὲ θέλεις τὸν ὄχλον φυγεῖν· ἔξεστι γὰρ ἐπὶ τὸν ἀνύμαντον τῆς π. καταφυγεῖν λιμένα* id.*hom.*17.3 *in 2Cor.*(10.562A,B); *τὴν τελειότητα μὲν ὁ δεσπότης ὁρίζεται...τῇ αὐθαιρέτῳ π.* Thdt.*2Cor.*8:13ff.(3.330); **6.** illustrious representatives of poverty *τίς πένης...βλέπων αὐτόν* [sc. S. Antony], *οὐ κατεφρόνει τοῦ πλούτου, καὶ παρεμυθεῖτο τὴν π.;* Ath.*v.Anton.*87(M.26.965A); *φιλοσοφῶμεν ...καὶ οὐδὲν ἡμᾶς π. παραβλάψαι δυνήσεται, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα...τί γὰρ...τοῦ Ἠλία πενέστερον ἦν; ἀλλὰ διὰ τοῦτο πάντας ἐνίκα τοὺς πλουτοῦντας, ἐπειδὴ οὕτω πένης ἦν, καὶ αὐτὴν τὴν π. ἀπὸ πλουσίας εἵλετο διανοίας. ἐπειδὴ γὰρ ἅπαντα τῶν χρημάτων τὸν πλοῦτον ἐλάττονα τῆς ἑαυτοῦ μεγαλοψυχίας ἐνόμιζεν εἶναι, καὶ οὐκ ἄξιον αὐτοῦ τῆς φιλοσοφίας, διὰ τοῦτο π. τοσαύτην ἠσπάσατο* Chrys.*stat.*2.9(2.33E–34A); *μὴ γάρ μοι τοὺς κατηγοροῦντας τῆς π. ἐνέγκῃς εἰς μέσον, ἀλλὰ τοὺς δι' αὐτῆς λάμψαντας. μετὰ ταύτης Ἠλίας τραφείς, ἡρπάγη τὴν μακαρίαν ἐκείνην ἁρπαγήν· μετὰ ταύτης Ἐλισσαῖος ἐλαμψε· μετὰ ταύτης Ἰωάννης, μετὰ ταύτης οἱ ἀπόστολοι πάντες* id.*hom.*90.4 *in Mt.*(7.843D); *ὁ Λάζαρος π. συνέζη, καὶ ἐστεφανοῦτο· καὶ ὁ Ἰακὼβ ἄρτου μόνου ἐπιτυχεῖν ἐπεθύμει· καὶ ὁ Ἰωσὴφ ἐν ἐσχάτῃ π. ἐγεγόνει* id.*hom.*76.3 *in Jo.*(8.450C); **7.** praises of poverty *ἐγὼ δὲ καυχῶμαι ἐπὶ πενίᾳ A.Thom.*A 139(p.246.11); *π. μετὰ αὐταρκείας ἀληθοῦς, πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι προτιμοτέρα* Bas.*hex.*7.3(1.65D; M.29.153B); *μέγα κτῆμα π. τοῖς φιλοσόφως αὐτὴν φέρουσι, θησαυρὸς ἄσυλος, βακτηρία ἰσχυροτάτη* Chrys.*stat.*2.8(2.33A); *π. γὰρ μυρία εἰς τὸν βίον ἡμῶν εἰσήγαγεν ἀγαθά, καὶ χωρὶς π. ὁ πλοῦτος ἄχρηστος ib.*13.3(156C); *π. ... χωρίον ἄσυλόν ἐστι καὶ ἀσφαλές...γυμνάσιον φιλοσοφίας, ἀγγελικοῦ βίου μίμημα...οὐ τὸ πένεσθαι δεινόν, ἀλλὰ τὸ μὴ βούλεσθαι πένεσθαι. μηδὲν δεινὸν νόμιζε εἶναι π., καὶ οὐκ ἔσται σοι δεινόν. οὐδὲ γὰρ ἐν τῇ φύσει τοῦ πράγματος, ἀλλ' ἐν τῇ κρίσει τῶν μαλακοψύχων ἀνδρῶν τοῦτό ἐστι τὸ δέος. μᾶλλον δὲ καὶ αἰσχύνομαι, εἰ τοσοῦτον ὑπὲρ πενίας ἔχοιμι λέγειν, ὅτι οὐδέν ἐστι δεινόν· ἐὰν γὰρ φιλοσοφῇς, καὶ μυρίων ἀγαθῶν ἔσται σοι πηγή. καὶ εἴ τίς σοι ἀρχὴν...καὶ πλοῦτον καὶ τρυφὴν προετίθει, εἶτα τὴν π. ἀντιτιθείς, αἵρεσιν ἐδίδου λαβεῖν ὅπερ ἤθελες, ταύτην ἂν εὐθέως ἥρπασας, εἴ γε αὐτῆς ἔγνως τὸ κάλλος* id.*hom.*90.3 *in Mt.*(7.843B,C); id.*Saturn.*3(3.406D); id.*hom.*18.3 *in Heb.*(12.177D); **8.** poverty and spiritual life *μηδεὶς πενίαν ὀδυρέσθω· μηδὲ ἀπογινωσκέτω ἑαυτοῦ τὴν ζωήν, ὁ μηδεμίαν οἰκοι περιουσίαν καταλιπών...μὴ διὰ πενίαν πρὸς κακουργίαν τρέπεσθαι· μηδὲ ἐν χαλεπωτάτοις πάθεσι πᾶσαν ἐλπίδα ῥίψαντα...ἀλλ' ἐπὶ θεὸν καταφεύγειν* Bas.*hex.*8.5(1.75C,E; M.29.176D–177A); *ταύτης τῆς λειτουργίας οὐκ ἂν ποτε γένοιτο κώλυμα, ἀλλὰ δυνατὸν καὶ τὸν πένητα, ἅτε πάσης ἀπηλλαγμένον φαντασίας βιωτικῆς...ὥσπερ οὖν οὐδὲ βλάβος ἔσται π., ἐὰν τὸν ἔνδοθεν ἔχῃ πλοῦτον ἐναποκείμενον* Chrys.*Anna* 3.5(4.728E–729A); **9.** poverty of Christ *ἠπάτησεν δὲ ἡμᾶς* [sc. demons] *τῇ μορφῇ αὐτοῦ ...καὶ τῇ π. αὐτοῦ A.Thom.*A 45(p.162.19); *ἀποβλέψατε γὰρ εἰς τὸν τῶν ὅλων ποιητὴν...ὃς τῆς ὑμετέρας ἕνεκα σωτηρίας τὴν ἐσχάτην μετελήλυθε π., ἡμῖν τὸν ἐκ τῆς π. φυόμενον πραγματευόμενος πλοῦτον* Thdt.*2Cor.*8:9(3.329).

B. *lack, deficiency ὀνομάτων...π.* Clem.*prot.*2(p.31.14; M.8.124C); *Παῦλος...οὐδὲ ἐγκαλύπτεται ἐπὶ τῇ τοῦ λόγου π.* Chrys.*sac.*4.5(p.117.10; 1.410D).

***πενίχρομαι,** *be poor, Orac.Sib.*3.245.

***πενόλιον, τό,** (Lat. *paenula*) *cloak, Chron.Pasch.*p.310(M.92.792A).

***πεντάβολος,** *with five projections,* Max.*qu.dub.*79(M.90.853B).

***πενταδικός,** *containing* or *consisting in five,* †Cyr.*coll.VT*(6[4].73B; M.77.1285A); ‡Proc.G.*Pr.*2:10(M.87.1237A); Max.*ambig.*(M.91.1397A).

***πενταδικῶς,** *in five ways, in a five-fold manner,* ‡Proc.G.*Pr.*2:3(M.87.1236A).

***πεντάζω,** *be fifth,* Thdr.Stud.*epp.*2.15(M.99.1161A).

πένταθλος, ὁ, 1. *victor in pentathlon*; hence *great athlete*; of Job, Sophr.H.*ep.syn.*(M.87.3149A); as adj., of Athanasius *ὁ π. τῆς ἀληθείας ἀγωνιστής* Thdt.*h.e.*3.9.1(3.921); of Symeon Stylites, id.*h.rel.*26.4(p.3.25; 3.1267); and other ascetics, *ib.*21(1239); **2.** as adj., *operating in five ways τὴν π. ... αἴσθησιν Lil.*ap.*Const.App.*8.12.17.

***πεντακισχιλιοστός,** *five-thousandth,* Dam.*troph.*4.3(p.266.9); *Chron.Pasch.*p.205(M.92.501C); †Hipp.Th.*fr.*8c.5(p.38.22; M.117.1045A).

***πεντακόρυφος,** *having five heads, five-headed*; met. of Church, ref. five patriarchates, Thdr.Stud.*epp.*2.62(M.99.1280B); *ib.*2.129(1417C).

πενταμηνιαῖος, *of five months,* ref. period of gestation *ὁ π. ... χρόνος...ὁ τὸν αἰσθητὸν ἡμῖν νόμον παραδηλῶν διὰ τὴν σύστοιχον αὐτῷ πεντάδα καὶ προσφιλῆ τῶν σωματικῶν...αἰσθήσεων* Sophr.H.*or.*7.12(M.87.3341B).

***πενταμόδιον, τό,** *measure containing five modii,* Jo.Mal.*chron.*11 p.278(M.97.420C).

πενταπλασιάζω, *multiply by five,* Or.*comm.in Mt.*14.9(p.296.15; M.13.1205A).

πενταπλοῦς, *five-fold,* Chrys.*hom.*39.1 *in 1Cor.*(10.363A).

***πενταπλόω,** *multiply by five,* Max.*comput.*16(M.19.1233A).

***πενταπλωσις, ἡ,** *five-fold increase,* Max.*comput.*1.11(M.19.1228B).

***πενταρίθμος,** *five in number,* Geo.Pis.*Pers.*3.14(M.92.1237A); id.*hex.*1794(M.92.1573A).

πεντάς, ἡ, *group of five, the number five,* hence *fifth day* of week, *Thursday τῇ ἁγίᾳ καὶ μεγάλῃ π.* Chrys.*prod.Jud.*2 tit.(2.386A).

πεντάτευχος, ἡ, *Pentateuch,* Ptol.*ep.*ap.Epiph.*haer.*33.4(p.452.11; M.41.560A); Or.*comm.in Mt.*11.10(p.50.7; M.13.933B); Epiph.*haer.*9.2(p.198.11; 225A).

***πεντάτροπος,** *of five kinds,* Dion.Ar.*ep.*7.2(M.3.1080D); Melet.*nat.hom.*30(M.64.1304D).

***πεντάφωτος,** *with five lights*; met., of body with five senses, Meth.*symp.*6.3(p.67.11; M.18.117B) cit. s. *αἰσθησις*; *ib.*9.2(p.116.22; 181B); *ἀναγνοὺς τὴν Πεντάλογον, ἀπέφηνας αὐτὴν π. εἶναι* Thdr.Stud.*epp.*1.48(M.99.1069C).

πένταχα, *in five divisions,* Paul.Sil.*Soph.*408(M.86.2135A).

πεντάχορδος, *like a five-stringed lyre π. ... δακτύλους* Geo.Pis.*hex.*1448(M.92.1545A).

πεντάχρονος, *of five units of time φοίνικος...π.* [i.e. centuries] *Orac.Sib.*8.139.

***πεντάχροος,** *of five colours,* Max.*ep.*12(M.91.476A).

πεντεκαιδεκαετηρίς, ἡ, *period of fifteen years,* Max.*comput.*3.9(M.19.1272A); *Chron.Pasch.*p.187(M.92.460A).

***πεντηκονταετηρίς, ἡ,** *period of fifty years,* Or.*sel.in Pss.*proem.(M.12.1075B); *Chron.Pasch.*p.209(M.92.512D).

πεντηκονταετία, ἡ, *period of fifty years*; as span of human life, Or.*princ.*3.1.13(p.218.10; M.11.273A).

***πεντηκοντάκις,** *fifty times,* Thdr.Stud.*epp.*2.202(M.99.1617A).

πεντηκόνταρχος, ὁ, *captain of fifty,* in analogy between eccl. order and military ranks *οὐ πάντες εἰσὶν...χιλίαρχοι οὐδὲ...π. 1Clem.*37.3; of the third captain of fifty (4Reg.1:13), identified with prophet Obadiah (perh. by confusion with 3Reg.18:13), ‡Epiph.*v.proph.Abd.*3(p.27; M.43.416A).

πεντηκοντάς, ἡ, *the fiftieth part,* Epiph.*haer.*15.1(p.211.3; M.41.249A).

***πεντηκοντάωρος**, *consisting of fifty hours*, Evagr.Pont.*vit.cog.* 7(M.40.1273B) cit. s. ἀκηδία.

πεντηκοστή, ἡ, *Pentecost*;

A. Jewish *Feast of Weeks*, Epiph.*haer.*51.31(p.304.23; M.41.945A).

B. festival period of fifty days after Easter; **1.** in gen., cf.Tert. *de idololatria* 14(M.*PL.*1.682C); id.*de baptismo* 19(M.*PL.*1.1222A); Or.*Cels.*8.22(p.239.12; M.11.1549D); *ὁ δυνάμενος μετ' ἀληθείας λέγειν· συνανέστημεν τῷ Χριστῷ...ἀεί ἐστιν ἐν ταῖς τῆς π. ἡμέραις ib.*(p.239.27; 1552A); *μεγίστης...ἑορτῆς, τῆς...σεβασμίας π. ἑβδομάσι μὲν ἑπτὰ τετιμημένης μονάδι δ' ἐπισφραγιζομένης, καθ' ἣν τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ...σωτῆρος τήν τε τοῦ ἁγίου πνεύματος...κάθοδον γεγενῆσθαι λόγοι περιέχουσι θεῖοι, ... ἐπὶ τῆς ὑστάτης ἁπασῶν ἡμέρας, ἣν δὴ ἑορτὴν ἑορτῶν οὐκ ἄν τις διαμάρτοι καλῶν* Eus.*v.C.*4.64(p.144.11; M.20.1220B); Ath.*ep.Ors.*2(M.26.980B); *ἐν...ταῖς ἁγίαις ταύταις ἡμέραις τῆς ἁγίας π.* Cyr.H.*ep.Const.*4(M.33.1169A); *πᾶσα δὲ ἡ π. τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα· ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς π. ἑβδομάδας ἀποτελεῖ. ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει...διὸ καὶ αἰῶνα μιμεῖται τῇ ὁμοιότητι* Bas.*Spir.*66(3.56C; M.32.192B); in comparison of Christ's body with first-fruits offered at Feast of Weeks *ἐπὶ τῷ τέλει τῆς π. εἰσφέροντος αὐτὸ εἰς τὰ ἐπουράνια τῷ πατρί* Epiph. *haer.*51.31(p.305.2; M.41.945A); Cyr.*hom.pasch.*1(5[a].16D); *Chron. Pasch.*p.223(M.92.544A); **2.** as period when liturgical prayer is made standing, v. *γόνυ, γονυκλισία, γονυπετέω*; **3.** and no fasting is practised, Epiph.*exp.fid.*22(p.523.6; M.42.828A); ‡Ath.*syntag.*2. 10(p.123; M.28.840A); **4.** as a season for administration of baptism, Gr.Naz.*or.*40.24(M.36.392A); v. *βάπτισμα*; **5.** when Acts is read liturgically, cf.Chrys.*hom.33.1 in Gen.*(4.331C); question discussed why reading takes place *before* actual day of Pentecost; reason given that miracles of apostles are proof of reality of Christ's Resurrection, id.*hom.4.3–6 in Ac.princ.*(3.85B–89E); **6.** when episcopal synods regularly assemble *δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω ...ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς π. Can.App.*38; *ἅπαξ μὲν μετὰ τὴν τρίτην ἑβδομάδα τῆς ἑορτῆς τοῦ πάσχα, ὥστε τῇ τετάρτῃ ἑβδομάδι τῆς π. ἐπιτελεῖσθαι τὴν σύνοδον* CAnt.(341)*can.*20; **7.** origin of feast ascribed to apostolic times, Epiph.*haer.*75.6(p.338.4; M.42.512C).

C. *day of Pentecost*, Ath.*fug.*6(p.72.9; M.25.652B) (or perh. under B.1 supra); *τιμῶσι μὲν Ἑβραῖοι τὴν π. ἡμέραν, τιμῶμεν δὲ καὶ ἡμεῖς... π. ἑορτάζομεν, καὶ πνεύματος ἐπιδημίαν καὶ προθεσμίαν ἐπαγγελίας καὶ ἐλπίδος συμπλήρωσιν* Gr.Naz.*or.*41.4–5(M.36.436A); *μετὰ δὲ δέκα ἡμέρας τῆς ἀναλήψεως, ἥτις ἀπὸ τῆς πρώτης κυριακῆς π. γίνεται, ἑορτὴ μεγάλη...ἔστω· ἐν αὐτῇ γὰρ...ἀπέστειλεν...ὁ κύριος...τὴν δωρεὰν τοῦ...πνεύματος Const.App.*5.20.8; Didym.ap.*cat.Ac.*2:3(p.21.23); as day when sickle is to be applied to harvest, hence beginning of apostles' mission, Chrys.*hom.4.1 in Ac.*(9.32D); id.*Philogon.*3(1. 497C); as *μητρόπολις τῶν ἑορτῶν*, id.*pent.*2.1(2.469A); *ἐν τοίνυν ἡμέρᾳ τῆς π. ἐδόθη νόμος...ἔδει οὖν καθ' ἣν ἡμέραν ἐδόθη ὁ παλαιὸς νόμος, κατ' αὐτὴν δοθῆναι καὶ τὴν τοῦ πνεύματος χάριν* Sever.ap.*cat.Ac.*2:1 (p.16.15); Socr.*h.e.*7.34.3(M.67.813C); *Chron.Pasch.*p.286(M.92.716B).

πεπανός, *mature φρόνημα π.* Clem.*q.d.s.*8(p.165.7; M.9.612D).

***πεπαρρησιασμένως**, *with freedom of speech, openly, boldly*, Eus.*v.C.*4.75(p.148.13; M.20.1229B); Epiph.*haer.*63.2(p.399.27; M.41. 1064C); *Mir.Artem.*10(p.10.19); ref. actions, *boldly, publicly*, Eus.*Is.* 57:7(M.24.473D).

***πεπερασμένως**, *completely, thoroughly*, *cat.Apoc.*19:16(p.462.14).

***πεπηγότως**, *firmly*, Cyr.*Jo.*10.1(4.853A).

***πεπληροφορημένως**, *with full assurance*, Pall.*v.Chrys.*20(p.125. 14; M.47.70).

πέπλος, ὁ, *woven work*; **1.** *veil, curtain*, screening sanctuary in Egyptian temples, Clem.*paed.*3.2(p.238.5; M.8.560B); of veil of Temple, *Ev.Barth.*(Vassiliev, p.13); **2.** *chalice veil*; of the *ἀνώτατος π.* covering chalice and paten, *Lit.Praesanct.*(p.348.24); **3.** *robe* of Athena carried in Panathenaic procession *τῶν τοιούτων...ἔχεσθαι νοημάτων καὶ τὸν περὶ τῆς Ἀθηνᾶς π. ... δηλοῦται γὰρ...ἀπ' αὐτοῦ ὅτι ἀμήτωρ τις καὶ ἄχραντος δαίμων ἐπικρατεῖ θρασυνομένων τῶν γηγενῶν* Cels.ap.Or.*Cels.*6.42(p.113.2; M.11.1364A); cf. Suidas s.v.; **4.** met., *patchwork of writings, anthology*, Clem.*str.*6.1(p.423.2; M.9.209A); title of work attributed to Orpheus but ascribed by Epigenes to Brontinus, *ib.*1.21(p.81.13; M.8.864B); cf. Suidas s.v. *Ὀρφεύς*.

***πεποιθέω**, *put one's trust in οὐδενὶ τῶν ματαίων...ἐπεποίθησα* Cyr.*Ps.*51:10(M.69.1105D).

πεποίθησις, ἡ, **1.** *assurance, confidence μετ' εὐσεβοῦς π. ἐξετείνετε τὰς χεῖρας...πρὸς...θεόν 1Clem.*2.3; *ποίᾳ π. εἰσελευσόμεθα εἰς τὸ βασίλειον τοῦ θεοῦ; 2Clem.*6.9; *ἡ εἰς τὸν κύριον π. αὔξει τὴν πίστιν* Clem.*str.*5.13(p.382.24; M.9.128A); *ib.*7.2(p.5.16; 408B); Eus.*Ps.*143 proem.(M.24.52C); *π. ἔχων διὰ τοῦ Χριστοῦ πρὸς τὸν θεόν* Bas.*fid.*1 (2.223D; M.31.676D); *τῆς ἐν θεῷ π.* id.*moral.*63 tit.(2.284A; M.31. 800D); *τὸ εἰπεῖν πεποιθήσει πατέρα τὸν θεόν* Didym.*Trin.*3.18(M.39. 885A); *ὦ μάρτυς...πολλή σοι π. ὑπὲρ Χριστοῦ* †Bas.Sel.*or.*41(M.85. 472C); of false confidence in pagan gods, Eus.*l.C.*9(p.218.33; M.20. 1364C); **2.** *self-confidence τίς ἂν εἰς τοσοῦτον πεποιθήσεως ἦλθεν, ὥστε ...τολμῆσαι* Gr.Nyss.*Eun.*1(1 p.22.23; M.45.249D); Nil.*Magn.*17(M. 79.992B); **3.** *assurance* given *ἡ ἡμετέρα δῆλον π. τῇ τούτων τάξει ἔπηται* (tr. Lat. *nostrae erit fiduciae istorum ordinem sequi*) *Cod.Afr.*64.

πεποιθότως, *with confidence*, Clem.*str.*7.11 (conj. p.46.18 for *πεποιθὼς* M.9.489A).

πεπονημένως, *diligently, with toil*, Hipp.*haer.*5.6(p.77.16; M.16. 3123B); Pall.*v.Chrys.*18(p.111.18; M.47.62); Gr.Mag.*dial.*(tr.Zach.) 3.1(M.*PL.*77.219C).

πεπονθέω, *be affected*, Mac.Mgn.*apocr.*3.11(p.76.8).

Πεπουζιανοί** (Πεπουζηνοί**), οἱ, *Pepuzans*, name given to Montanist sect from its belief, based on prophetic revelation, that Pepuza in Phrygia was sacred spot where heavenly Jerusalem would descend, Epiph.*haer.*49.1(p.241.20; M.41.880C); *ib.*48.14(p.240. 1; 877C); *τὸ δὲ* [sc. *βάπτισμα*] *τῶν Π., οὐδένα μοι λόγον ἔχειν δοκεῖ· καὶ ἐθαύμασα πῶς κανονικὸν ὄντα τὸν Διονύσιον παρῆλθεν* Bas.*ep.*188 *can.*1(3.268C; M.32.664C); *οἱ τοίνυν Πεπουζηνοὶ προδήλως εἰσὶν αἱρετικοί· εἰς γὰρ τὸ πνεῦμα...ἐβλασφήμησαν ib.*(269C; M.668A); Thdt.*haer.*3.2(4.341); rebaptized on admission to Church, Thdr. Stud.*epp.*1.53(*Πεπουζηνοί* M.99.1104A).

***Πεπουζῖται, οἱ**, = foreg. *Μοντανισταὶ δέ, οὓς Π. ... ὀνομάζουσι, ξένην τινὰ μέθοδον εἰσαγαγόντες, κατὰ ταύτην τὸ πάσχα ἄγουσι* Soz. *h.e.*7.18.12(M.67.1472B).

***πεπωπασμένος**, v. *πυκάζω*.

περαίνω, **1.** *fulfil* prophecy, Eus.*h.e.*1.6.11(M.20.89A); **2.** *limit*, Tat.*orat.*20(p.22.20; M.6.852A); ref. Or's. theory of limitation of God's power, Justn.*Or.*(p.190.9; M.86.947C) cit. s. *περιγραφή*; in refutation of Manich. doctrine of two ultimate principles *εἰ δὲ χωρὶς ἀλλήλων ἐστί, πάντως ἕκαστον τούτων πεπέρασται· πᾶν δὲ τὸ πεπερασμένον οὐ τέλειον. ὁρίζεται γὰρ διὰ τοῦ πεπεράσθαι* Epiph.*haer.*66.14 (p.37.4; M.42.49C); *ὁ θεὸς οὔτε κινεῖται παντελῶς οὔτε ἵσταται (τοῦτο γὰρ τῶν κατὰ φύσιν πεπερασμένων...ἴδιον)* Max.*ambig.*(M.91.1221A).

περαίτερος, *further*, neut. as subst. *εἰ δὲ περαιτέρῳ χρήσηται, γνώσεται οἷα ἰσχύει κράτος βασιλείας* [i.e. *if he goes too far, exceeds his commission*] *Pers.*(p.23.2).

περαίωσις, ἡ, *accomplishment*, ‡Meth.*Sym.et Ann.*3(M.18.353B).

πέραμα, **τό**, **1.** *crossing* of river, Ath.*v.Anton.*60(M.26.929B); met., of death *χαλεπὸν τὸ π.* Anast.S.*defunct.*(M.89.1196B); **2.** *means of crossing ἔκοψαν τὰς γεφύρας, καὶ οὐκ ἔχει π. ὁ Ναρβᾶς* Thphn.*chron.* p.270(M.108.669B); **3.** *ferry*, Ath.Scholast.*coll.*4.14(p.58).

***περαματίζω**, *cross over*, Thphn.*chron.*p.320(M.108.776A).

***περαματικός**, *overseas οἱ δὲ πρὸς π. δικαστήρια διεκκαλούμενοι παρ' οὐδενὸς ἐν τῇ Ἀφρικῇ δεχθῶσιν κοινωνίαν* (tr. Lat. *transmarina*) *Cod.Afr.*28.

πέραν, *beyond τὸ π.* ref. Mt.14:22 mystically interpreted, Or. *comm.in Mt.*11.5(p.41.2; M.13.913C) cit. s. *περατικός*.

***πέραντος**, f.l. in ‡Jo.D.*Artem.*16(M.96.1265C for *πέραν* p.59.26).

πέρας, **τό**, **1.** temporal *end*; of world, Tat.*orat.*12(p.13.24; M.6. 832C); Gr.Naz.*or.*30.15(p.132.1; M.36.124A); Thdr.Mops.*Gen.*2:2(M. 66.636C); **2.** *end, object, goal*, Clem.*str.*8.3(p.83.11; M.9.565B); Meth. *res.*1.37(p.279.7; M.41.1104C); Cyr.*Is.*5.2(2.775B); *π. τὸ καλὸν καὶ ἀγαθόν* Dion.Ar.*d.n.*4.10(M.3.705C); Max.*myst.*(M.91.677C); **3.** *completion, perfection, consummation π. τῆς γνώσεως ἡ ἀνάπαυσις* Clem. *paed.*1.6(p.107.25; M.8.285B); *π. παρθενίας* Meth.*symp.*6.2(p.65.25; M.18.116B); of a person *ὦ τῶν ἀγγέλων...π.* Chrysipp.*enc.in Mich.* (p.93.31); **4.** *fulfilment* of prophecy, Eus.*d.e.*6.15(p.272.6; M.22. 448A); Thdt.*qu.13 in Jos.*(1.311); ‡Bas.*inc.*54(p.247.7); *Χριστὸς τὸ π. πάσης προφητείας* Cosm.Ind.*top.*5(M.88.280B); **5.** local *limit, end τὰ π. the ends of the earth*, Thdr.Stud.*epp.*1.48(M.99.1076C).

***περαστυφόω**, v. *περιστύφω*.

περάτης, ὁ, *one who crosses over*, hence *emigrant, foreigner*; **1.** in explanation of *Ἑβραῖος*: *Ἑβραῖοι γὰρ οἱ π. ἑρμηνεύονται, οἳ διεπέρασαντο Εὐφράτην μετὰ Ἀβραάμ· καὶ οὐχ...ἀπὸ Ἔβερ* Afric.*chron.*8(M. 10.69A); *π. καλεῖται ὁ Ἀβραάμ, ἐπειδὴ...διαπεράσας τὴν Μεσοποταμίαν ἦλθεν εἰς τὰ μέρη τῶν Χαναναίων. ἑρμηνεύεται δὲ καὶ τοῖς περὶ Ἀκύλαν Ἑβραῖος* Or.*sel.in Gen.*14:13(M.12.113A); *ἐπειδὴ γὰρ πέραν τοῦ Εὐφράτου τὴν κατοίκησιν εἶχε, διὰ τοῦτο καὶ π. ἐλέγετο* Chrys.*hom. 35.3 in Gen.*(4.354D); id.*serm.9.3 in Gen.*(4.692C); Thdt.*qu.61 in Gen.*(1.74); **2.** as name of adherent of Gnost. sect, *one who transcends the bounds of fate καλοῦσι δὲ αὐτοὺς π., μηδὲν δύνασθαι νομίζοντες τῶν ἐν γενέσει καθεστηκότων διαφυγεῖν τὴν ἀπὸ τῆς γενέσεως τοῖς γεγενημένοις ὡρισμένην μοῖραν. ... μόνοι δὲ...ἡμεῖς..*

περᾶσαι τὴν φθορὰν μόνοι δυνάμεθα Hipp.*haer.*5.16(p.111.6; M.16.3170D); but ὁ περατικὸς Εὐφράτης, ἀφ' οὗ π. προσηγορεύθησαν Thdt. *haer.*1.17(4.310).

περατικός, 1. *from the other side,* hence *foreign*; **a.** in interpretation of Ἑβραῖος: οὐ γὰρ ἠδύναντο οἱ ὄχλοι εἰς τὸ πέραν ἀπελθεῖν, ὡς οὐ μυστικῶς Ἑβραῖοι (οἵτινες ἑρμηνεύονται π.)· ἀλλὰ τοῦτο ἔργον ἦν τῶν Ἰησοῦ μαθητῶν,...εἰς τὸ πέραν ἀπελθεῖν καὶ ὑπερβῆναι τὰ βλεπόμενα Or.*comm.in Mt.*11.5(p.41.3; M.13.913C); cf.id.*hom.19.4 in Num.*(p.183.26; M.12.725B); π. γάρ τινες ἑρμηνεύονται, τὴν ἀπὸ τῶν τῇδε ἐπὶ τὴν τοῦ τῶν ὅλων θεοῦ διάβασίν τε καὶ θεωρίαν στειλάμενοι Eus.*p.e.*7.8(309B; M.21.524B); *ib.*11.7(520C; M.864A); **b.** as name of Gnost. sect τῶν δ' αἱρέσεων αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται...αἱ δὲ ἀπὸ τόπου, ὡς οἱ π. Clem.*str.*7.17(p.76.24; M.9.552C); Hipp.*haer.*5.12(p.104.13; M.16.3159C); name derived from ὁ π. Εὐφράτης, Thdt. *haer.*1.17(4.310); cf.Hipp.*haer.*5.13(p.107.9; M.16.3166A); v. *περάτης*; **2.** *on the other side,* of district opp. CP τὰ π. μέρη Thphn.*chron.*p.264 (M.108.657A).

***περατιόω,** for *περατόω,* Gr.Nyss.*anim.et res.*(M.46.97A).

πέρατος, *limited,* Gr.Nyss.*hom.opif.*30(M.44.241D).

περατ-όω, 1. *bring to an end, A.*(*Pass.*)*Andr.*7(p.17.25); Bas.*Spir.* 35(3.29A; M.32.129B); ὃ δὴ καὶ τοῦ αἰῶνος ἴδιον, εἰς ἑαυτὸν ἀναστρέφειν, καὶ μηδαμοῦ ~οῦσθαι id.*hex.*2.8(1.21B; M.29.49C); τὸ 'ἦν', περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα σημαίνει χρόνον ἡμῖν, καὶ αὐτὸν...πεπερατωμένον· ὅταν δὲ περὶ θεοῦ, τὸ ἀίδιον ἐμφαίνει Chrys.*hom.3.2 in Jo.*(8.19A); of spiritual life ζωὴν...μηδενὶ θανάτῳ ~ουμένην Max.*ambig.*(M.91.1144C); **2.** *limit,* Clem.*ecl.*6(p.138.21; M. 9.701A); ποῦ δὲ μετρεῖται τὸ ἄπειρον, ἵν' ὁ τῶν ~ουμένων ἐστί, τοῦτο πάθῃ θεότης; Gr.Naz.*or.*18.16(M.35.1005A); id.*hom.6 in Cant.*(M.44. 885D); πνεῦμα...οὔποτε...~ούμενον Didym.*Trin.*2.6(M.39.516B); Chrys.*hom.4.1 in Jo.*(8.28A); view that incarnate Son was not with Father κατὰ τὸν τῆς ὑποστάσεως λόγον means that οὐσία of God would be καταληπτὴ and πεπερατωμένη, Cyr.*resp.*2(p.577.15; 6^2.385E); **3.** *bring to completion,* CSard.*can.*5 ap.*Cod.Afr.*134(H.1. 941E); Max.*myst.*(M.91.677C); **4.** *accomplish, fulfil*; of a prophecy, Thdt.*affect.*11(p.296.17; 4.1009); **5.** *bring to perfection,* Ant.Mon.*hom.* 111(M.89.1776A).

περάτωσις, ἡ, *consummation,* Dion.Ar.*c.h.*10.1(M.3.273A).

περατωτικός, *limiting* πνεῦμα...οὔποτε...περατούμενον, τῶν δ' ὑπ' αὐτοῦ γενομένων δυνάμενον εἶναι π. Didym.*Trin.*2.6(M.39.516B).

περ-άω, 1. *cross*; *pass over* οἱ ~άσαντες ἀπὸ τῆς γῆς, τῷ ἔχειν ἐν οὐρανῷ τὸ πολίτευμα Didym.*Ps.*21:28(M.39.1288B); in Peratic doctrine, v. *περάτης*; **2.** *transport* ~άσας τὰ καβαλλαρικὰ θέματα εἰς τὴν Θρᾴκην Thphn.*chron.*p.314(M.108.761B).

***περδικοφασιανός, ὁ,** *cross between a partridge and a pheasant,* Leont.H.*Nest.*4.8(M.86.1665D).

***περεηφικόλα, ἡ,** word inscribed on a *παστάς* in Phlius, interpreted by Sethian Gnostics allegorically ἐπιγέγραπται δὲ ἐπὶ τοῦ πρεσβύτου· φάος ῥυέντης, ἐπὶ δὲ τῆς γυναικός· π. ἔοικε δὲ εἶναι...ὁ φάος ῥυέντης τὸ φῶς, τὸ σκοτεινὸν ὕδωρ δὲ ἡ φικόλα Hipp.*haer.*5.20(p.122.9, conj. *Περσεφόνη Φλυά*; M.16.3187A).

***περιαγερμός, ὁ,** *gathering together,* Clem.*paed.*2.8(p.201.14; ἐπεγερμός M.8.481B).

περιάγ-ω, 1. intrans., *go about, live, exist* ὁ ἅγιος...~ων ἐν σαρκί Call.*v.Hyp.*(p.109); **2.** med., *bear about* Σκύθης ἀνὴρ Βολοκαλάβρα τὴν ἐπωνυμίαν ~όμενος Thphyl.*exc.Rom.*3(p.222.26; M.113.929B).

περιαγωγή, ἡ, 1. *? outline,* Chrys.*hom.19.4 in Eph.*(11.139E); **2.** *distraction* ἡδονῶν περιαγωγαῖς Meth.*res.*2.1(p.330.2; M.41.1161D).

***περιαγωγικός,** *prolix* π. *βίβλος Pers.*(p.5.5).

περιαγωγός, ὁ, *one who leads astray,* †Nil.*vit.*4(M.79.1144B).

περιαθρητέον, *one must consider thoroughly,* Cyr.*Zach.*16(3.671E).

περιαίρεσις, ἡ, *opening* ἡ π. τῆς θύρας Andr.Caes.*Apoc.*4(M.106. 253A).

περιαιρετέον, *one must do away with,* Justn.*Or.*(p.190.11; M.86. 947C) cit. s. *περιγραφή*.

περιαίρω, *remove, A.Barth.*6(p.142.34); Epiph.*haer.*76.54(p.410. 30; M.42.632C).

περίακτος, *unstable, wavering,* Max.*ascet.*32(M.90.937B).

περίαλλα, adv., *before all,* as prep. c. genit. *βροτέης* π. *γενέθλης* †Apoll.*met.Ps.*44:3 (περὶ ἄλλα M.33.1373C).

περίαμμα, τό, *amulet* μηδὲ...πετάλων ἐπιγραφαῖς καὶ π. χρῆσθαι Eus.*d.e.*3.6(p.133.29; M.22.225C); μαντεία...ἢ π., ἢ ἐν πετάλοις ἐπιγραφαί...λατρεῖαί εἰσι διαβόλου Cyr.H.*catech.*19.8; those using them to be excommunicated, *Const.App.*8.32.11; used by Jews in effecting magical cures, Chrys.*Jud.*8.5(1.681C); and by superstitious people in gen., id.*hom.3.5 in 1Thess.*(11.447D); id.*hom.10.3 in 1Tim.* (11.603B).

[*]περιαμφιάζω, = *περιαμφιέννυμι, clothe completely,* of God in baptism περιαμφιάσας ἡμᾶς ἀφθάρτῳ πανοπλίᾳ †Hipp.*theoph.*8(p.262. 9; M.10.860A).

περιανθ-έω, *bloom*; hence met., *be rich in colour* ~ούσης πορφυρίδος ‡Meth.*Sym.et Ann.*6(M.18.361C).

***περιανθίζ-ω,** *deck out with colours, adorn* βαφαῖς...τὴν εἰκόνα περιανθίσαντα Gr.Nyss.*hom.opif.*5.1(M.44.137A); ἀρετῶν χάρισι ~ων id.*or.dom.*3(p.46.23; M.44.1149A); id.*Eun.*1(1 p.158.19; M.45.400B); περιηνθισμένην ἔχουσα τὴν καρδίαν Cyr.*Joel.*6(3.204E); id.*Nah.*22(3. 501A); id.*Jo.*2.1(4.149A); Jo.Clim.*scal.*7(M.88.812B).

περιαντλ-έω, 1. *overwhelm, exhaust* ψυχὴν...~ουμένην ταῖς τρικυμίαις τῶν παθημάτων Meth.*symp.*11.3(p.139.7; M.18.217B); αἱ τοῦ βίου περιστάσεις ~οῦσι τοὺς τῆς ἀρετῆς ἐμπορίαν ἀνύοντας Bas. Sel.*or.*8.1(M.85.113A); τὴν ὁδὸν ἀχθόμενοι ~ούμενοι διεπεράναμεν Thdr.Stud.*epp.*1.3(M.99.916C); **2.** *pour out upon,* c. dupl. acc., met. τοσαύτας αὐτοὺς θαυματουργίας ὁ Χριστὸς περιήντλησε Hesych.H. *serm.*4(M.93.1457D).

περιαπλόω, *enfold all round,* Bas.Sel.*or.*12.3(M.85.168C).

περιαπτέον, *one must attribute, cat.Rom.*7:18(p.112.21).

περίαπτον, τό, *amulet,* Clem.*prot.*11(p.81.14; M.8.233B) cit. s. *περιάπτω*; τὰ γὰρ π. ... μάταια βοηθήματα ὑπάρχουσιν †Ath.*fr.*(M.26. 1320A); ref. Job οὐκ ἐπέδησε περίαπτα, ἀλλ' ἀνέμενε τὴν παρὰ τοῦ θεοῦ βοήθειαν Chrys.*Jud.*8.6(1.682D); used by nominal Christians, id. *hom.4.6 in 1Cor.*(10.32B); id.*hom.13.1 in 1Tim.*(11.617D); a snare of the Devil, Thdt.*Eph.*4:14(3.425); Leont.B.*mesopent.*(M.86.1989D); penance for women who make them, ‡Jo.Jej.*exc.poenit.*(M.88. 1933B).

περιάπτ-ω, 1. *fasten, tie round,* of fastening amulets upon oneself; hence **i.** of making sign of cross σφραγῖδα τοῦ σταυροῦ ~ειν ἑαυτοῖς Arc.C.*v.Sym.*ap.Jo.D.*imag.*3(M.94.1396B); **ii.** met. οἱ μὲν τοῖς γόησι πεπιστευκότες τὰ περίαπτα...ἀποδέχονται, ὑμεῖς δὲ οὐ βούλεσθε τὸν οὐράνιον αὐτὸν περιάψασθαι, τὸν σωτῆρα λόγον Clem. *prot.*11(p.81.16; M.8.233B); **2.** *attribute* τὴν ὕδατος ἀξίαν τῷ πνεύματι ...~εις Didym.(‡Bas.)*Eun.*5(1.308B; M.29.740A); Chrys.*hom.4.2 in 2Tim.*(11.680E); Cyr.*Nest.*2.8(p.44.17; 6^1.48A).

***περιαργ-έω,** *be amazed, be left entirely at a loss* ~ήσας τοῖς ῥήμασι Bas.Sel.*or.*31.3(M.85.345B).

περιάργυρος, *covered with silver,* Cyr.*Is.*4.3(2.627B).

περιαργυρόω, *ornament as with silver* γυνὴ...ὀρθοδοξίᾳ περιηργυρωμένη Thdr.Stud.*epp.*2.149(M.99.1465A).

***περιάρπαστος,** *eagerly grasped at,* Eus.*theoph.*(M.24.673C).

***περιασπασμός, ὁ,** *embrace,* Cyr.*Lc.*16:1(M.72.812B).

περιαστράπτ-ω, 1. *shine round, M.Thdot.*1 32(p.80.35); pass., *be surrounded with light,* Or.*hom.13 in Lc.*(p.92.22); Gr.Naz.*or.*19.12 (M.35.1057B); **2.** *dazzle,* Gr.Nyss.*v.Mos.*20(M.44.305C); Ast.Am. *hom.*3(M.40.209D); **3.** *illuminate,* Cyr.*Ps.*91:2(M.69.1225B); met. ἡ γνῶσις...~ουσα τὸν νοῦν Clem.*paed.*1.6(p.108.6; M.8.285C); θεοῦ δὲ ὅταν εἴπω, ἐνὶ φωτὶ περιαστράφθητε καὶ τρισί Gr.Naz.*or.*39.11(M.36. 345C); Isid.Pel.*epp.*3.142(M.78.840A); **4.** med., *glitter,* Bas.*hom.*7.4 (2.56C; M.31.292A); Eus.Al.*serm.*21.17(M.86.444B); **5.** intrans., *shine, be brilliant* βασίλεια...~οντα τῇ τῶν λίθων αἴγλῃ Chrys.*hom.10.1 in 1Thess.*(11.496C).

***περιασφαλίζομαι,** *be secured on every side,* Ephr.3.211F.

***περιάσχολος,** *very busy,* Pall.*v.Chrys.*6(p.36.9; M.47.22).

περιαυγάζ-ω, 1. *illuminate,* Gr.Nyss.*hex.*10(M.44.73A); of mental and spiritual illumination, Clem.*str.*6.2(p.424.8; M.9.212B); Gr. Nyss.*v.Mos.*20(M.44.305C); Dion.Ar.*d.n.*1.4(M.3.592C); Sophr.H.*or.* 2.25(M.87.3248A); **2.** *dazzle,* met. περιαυγασθέντας ὑπὸ τῆς τῶν ἐνθάδε δοκούντων ἀγαθῶν τιμίων λαμπρότητος Nil.*exerc.*63(M.79. 796D); **3.** med., *shine round about* ἡ δόξα...τῷ ἀληθινῷ φωτὶ παντοχόθεν ~εται Gr.Nyss.*Eun.*8(2 p.180.17; M.45.773B).

περιαυγασμός, ὁ, *illumination,* Or.*comm.in Pr.*1:9(M.13.28A).

***περιαυλίζ-ω, 1.** *pitch* tent, Tim.Ant.*cruc.*(M.86.264A); **2.** med., *stay round about* ἄλλην περίβλεψαί τινα σκάφην, εἴ γε βούλει τὴν λίμνην ~εσθαι ‡Chrys.*hom.*13(13.252E).

***περιαυτία, ἡ,** *boastfulness,* ‡Nil.*narr.*3(M.79.624B).

περιαυτίζ-ομαι, 1. *be selfish, concerned with oneself* ~εται γὰρ ἀεὶ τὰ τῶν γυναίων ἑταιριζόμενα Cyr.*Am.*34(3.288E; περιανδρίζεται Aubert); **2.** *boast,* Gr.Nyss.*ep.*17(M.46.1067C); Cyr.*Is.*1.4(2.94C); ~εται...ὅτι καταδράξηται *ib.*1.6(175E); id.*Juln.*3(6^2.100D).

περιαυτολογία, ἡ, *egotistical speech,* Or.*Cels.*1.48(p.99.29; M.11. 752B); Chrys.*hom.38.4 in 1Cor.*(10.356E, v.l. περιαυτολογία); id. *hom.22.1 in 2Cor.*(10.588C).

***περιαυτόλογος,** *speaking of oneself, boastful,* neut. as subst. τὸ τῶν φαρισαίων π. Or.*Jo.*6.23(13; p.133.3; τὸν...περὶ αὐτῶν λόγον M. 14.241A); Eus.*fr.Lc.*20:3(M.24.596A).

***περιαφίημι**, *leave over*, Bas.*hom.*13.6(2.119E; M.31.437C); †Bas. *Is.*247(1.568A; M.30.553C).

***περιαφρίζω**, *foam violently*, Gr.Nyss.*anim.et res.*(M.46.37A).

περιβάδην, *astride*, Evagr.*h.e.*3.25(p.122.22; M.86.2649A).

περιβάλλ-ω, *surround*;

A. *charge with, accuse of σφάλμασί τε εὐηθείας αὐτὸν π.* Thphyl. *exc.Rom.*5(p.226.5; M.113.933C).

B. med., *put on* garment, *clothe with*; **1.** ref. relationship of body and soul *σάρκα περιβεβλημένη ψυχή* Eus.*d.e.*5.20(p.243.26; M. 22.401B); of soul putting on resurrection body, Cyr.H.*catech.*15. 20; **2.** man's mortal nature, Meth.*res.*1.38(p.281.14; M.18.293B) cit. s. *νεκρότης*; garment of immortality, Thdt.*2Cor.*5:3(3.313) cit. s. *ἔνδυμα*; cf.Gr.Nyss.*hom.*1 *in Cant.*(M.44.764D) cit. s. *περιβόλαιον*; **3.** Christol., ref. Inc. *κατοικεῖ δὲ ἐπὶ τῆς γῆς, σάρκα ~όμενος* Clem.*fr.* 36(p.218.31; M.9.769A); *σώματι, ὃ...ἐνανθρωπήσας περιβέβληται* Eus. *d.e.*5.21(p.244.24; M.22.404B); *ἐθεμελίωσέ με· ἴσον τῷ εἰπεῖν· λόγον ὄντα με περιέβαλε γηίνῳ σώματι* Ath.*Ar.*2.74(M.26.305A); *ἀνθρώπινόν με περιβεβλημένον σῶμα ib.*3.56(440A); *σῶμα γὰρ περιβέβλημαι cat. Jo.*14:9(p.346.29); *τὴν ἡμῶν σάρκα περιεβάλετο* Cyr.*thes.*10(5[1].72C); *ib.*15(166A); *τὴν αὐτὴν ἡμῖν περιεβάλετο φύσιν* Thdt.*haer.*5.12(4.428); *~όμενος ἄνθρωπον* Bas.Sel.*or.*19.1(M.85.237C); Marcosian *ἐφανερώθη τὸ ἑξαγράμματον ὄνομα, ὃς σάρκα περιεβάλλετο, ἵνα εἰς αἴσθησιν τοῦ ἀνθρώπου κατέλθῃ* Iren.*haer.*1.15.2(M.7.620A).

C. med., *acquire*, Chrys.*hom.*13.10 *in Rom.*(9.573B); Thdt.*affect.* 6(p.162.24; 4.861); *win* victory *νίκας περιεβάλετο* Men.*exc.Rom.*3 (p.177.4; M.113.860D).

D. med., *appropriate*, of Arian heresy *~ομένη τὰς τῶν γραφῶν λέξεις* Ath.*Ar.*1.1(M.26.13A).

E. pass., *revert* property *ἐὰν...περιβληθῇ εἰς τὸν πατέρα ἡ...προῖξ* Ath.Scholast.*coll.*10.6(p.124).

***περιβλάπτω**, Hipp.*antichr.*52(M.10.772C; *περιλειπομένων* p.35.8).

περίβλεψις, ἡ, 1. *looking about, idle glance*, Mac.Aeg.*pat.*1(M.34. 865C); **2.** *circumspection ἐν τῇ π. τοῦ φόβου τοῦ θεοῦ* Philox.*ep.*20 (p.172).

περίβλημα, τό, *garment, covering*; of the body, as garment of soul, Meth.*res.*3.18(p.416.1; M.18.328A); *σῶμα...γεῶδες...π. ψυχῆς* Eus.*p.e.*7.10(316A; M.21.533D); id.*v.C.*1.2(p.8.1; M.20.912C); Gr. Naz.*or.*18.38(M.35.1036B); of Christ's flesh, Cyr.*Jo.*12(4.1063B); of sinful human nature *ἔνδυμα...εἰ βούλεσθε γενέσθαι θείου πνεύματος, σπουδάσατε πρῶτον ἐκδύσασθαι τὸ ῥυπαρὸν ὑμῶν πρόλημμα, ὅπερ ἐστὶν ἀκάθαρτον πνεῦμα, καὶ μιαρὸν π. Hom.Clem.*8.23.

***περίβλητος, 1.** *to be acquired*, Clem.*g.d.s.*17(p.170.31; M.9. 621B); **2.** *surrounding, covering*, Areth.*Apoc.*2:9(M.106.533A).

περιβόλαιον, τό, A. *envelope, covering*, Gr.Nyss.*v.Mos.*(M.44. 417C); of the hair *τῷ ἐκ φύσεως π. ἐκμάσσουσα* [sc. *Μαρία*] *τὸ ἁγίασμα* Eust.*Laz.*22(p.44.12).

B. *cloak*, as monastic habit *εἴ τις...διὰ νομιζομένην ἄσκησιν περιβολαίῳ χρῆται* CGangr.*can.*12; *τὸ δὲ π., ἐπειδὴ τετράγωνόν ἐστιν, ἐκ τεσσάρων δὲ στοιχείων καὶ ὁ κόσμος, σημαίνει ὅτι χρὴ περιβεβλῆσθαι ἡμᾶς τὴν φυσικὴν θεωρίαν, ὥστε μὴ πρὸς αἴσθησιν καὶ πάθη τὰ ὁρώμενα βλέπειν* Max.*qu.dub.*67(M.90.841B); as robe of bishop *ἁρπάσαντες τὸ π. τῆς ἐμῆς ἱερωσύνης* Bassn.*supplic.*(p.45.15; H.2.548B); *π.* of Alex. Al. borne by Ath. as young deacon, and equated with ephod of child Samuel, Jo.Mosch.*prat.*197(M.87.3085A); as typical garment of town-dweller, Thdr.Stud.*epp.*2.137(M.99.1437C); met.; **1.** exeg. Gen.49:11 *τὰ ἔθνη ἀπολουόμενα καθαίρονται, ἅτινα ὡς π. λελόγισται Χριστῷ* Hipp.*antichr.*11(p.10.20; M.10.737A); interpreted of man's sinful nature cleansed by blood of Christ, Eus.*d.e.*8.1(p.366.3; M. 22.593D); **2.** of carnal nature *τὸν παλαιὸν ἄνθρωπον, ὥσπερ τι π. ῥυπαρὸν ἀπεδύσασθε...καὶ τὰ φωτεινὰ τοῦ κυρίου ἱμάτια...διὰ τῆς καθαρότητος τοῦ βίου περιεβάλεσθε* Gr.Nyss.*hom.*1 *in Cant.*(M.44. 764D); **3.** of the body *τὸ μὲν π., τουτέστι, τὸ σῶμα λιπαίνοντες* Chrys. *hom.*13.1 *in Phil.*(11.298C); **4.** of garment of virtue, *cat.Lc.*10:30 (p.87.28); **5.** Christol., of Christ's body *ἐν τάφῳ παρῆν* [sc. *ἡ θεότης*] *ἀπαθῶς, ἄφθαρτον φυλάττουσα τὸ ἑαυτῆς π.* Gr.Ant.*mul.ung.*2(M.88. 1849B); human nature *οὐχ ἡ θεότης ἐσταυρώθη, ἀλλὰ τὸ π. τῆς θεότητος* ‡Chrys.*serm.pasch.*(p.110).

C. *surrounding country κάτελθε ἐπὶ τὰ π. καὶ τὰς νήσους Apoc. Dan.*C(p.115).

περιβολή, ἡ, A. *covering, wrapping, envelope*; **1.** *dress, vesture*; of the body, ref. Platonic conception of immortality *τῷ γὰρ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφοίτησιν ὀχήματος αὐτὴν δέεσθαι καὶ περιβολῆς λέγειν...πῶς οὐκ ἂν καθ' ἑαυτὴν ἀσώματος εἴη;* Meth.*res.*3.18(p.415. 2; M.18.325B); of Christ's flesh *τὸν...λόγον ἠξειν...οὐκ ἀφανῶς...οὐδ' ἄνευ τινὸς σωματικῆς π.* Eus.*d.e.*6.22(p.285.20; M.22.469A); *οὐδὲν ἧττον ἦν θεός· οὐ γὰρ ἠλαττοῦτο τῇ π. τοῦ σώματος* Ath.*decr.*14(p.12. 30; M.25.'448'(440)D); id.*Ar.*3.67(M.26.465C); *σάρκωσις κένωσις οὐκ ἄνθρωπον, ἀλλὰ υἱὸν ἀνθρώπου τὸν κενώσαντα ἑαυτὸν ἀπέφηνε κατὰ τὴν π., οὐ κατὰ μεταβολήν* Apoll. *fr.*124(p.237.31)ap.Thdt.*eran.*1(4.70); *ἄκτιστος θεὸς κτιστῇ π. φανερούμενος* id.*corp.et div.*6(p.187.21; M.*PL.* 8.874A); *διὰ τῆς τοῦ σώματος π. χωρητὴν τὴν θείαν δύναμιν...γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ ἡμῶν οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς ὑψηλῆς ἐμφανείας* Gr.Nyss.*or.catech.*23(p.90.8; M.45.64A); *σχέσει καὶ οἰκονομίᾳ...ἐγγύτερος ἡμῖν γενόμενος διὰ τῆς κατὰ σάρκα π.* Chrys.*hom. 44.3 in Mt.*(7.470C); *ἀγνοούμενος...διὰ τὴν ἐκ τῆς σαρκὸς π.* Cyr.*Jo.* 1.10(4.111A); *ἰδού σοι καὶ τὸ τῆς π. ὄνομα προσενήνοχεν ὁ τῶν σῶν δογμάτων διδάσκαλος* Thdt.*eran.*1(4.70) commenting on Apoll.*fr.* 124 (cit. supra); *οὐκ ἠμαύρωσε γὰρ αὐτοῦ τὰς τῆς θεότητος ἀκτῖνας ἡ π. τῆς σαρκός* id.*affect.*2(p.60.20; 4.752); **2.** *habit ἀποδύσασθαι τὴν πάτριον π. Hom.Clem.*4.11; **3.** in oratory; **a.** *ornament*, Clem.*str.*1.2 (p.14.2; M.8.709B); *κάλλος καὶ π. φράσεως* Or.*Jo.*4.2(p.99.11; M.14. 185B); id.*Cels.*3.39(p.236.7; M.11.972B); **b.** of involved or obscure style as wrapping up meaning *μήποτε τῇ π. τῶν γραμμάτων ἀπάτη τις γένηται* Ath.*ep.Aeg.Lib.*20(M.25.585A); *αἰνιγματώδη τῶν λόγων... π.* Cyr.*Jo.*2.5(4.200D).

B. *protection, defence περισκεπτόμενοι τῇ π. ... τοῦ κυρίου A.Andr. fr.*2(p.39.4); *ψυχῆς ἄρρηκτον π. Hom.Clem.*3.20; Gr.Nyss.*hom.*9 *in Cant.*(M.44.969C).

C. *endowment, wealth ἐπίγειον...περιβεβλημένος π.* Clem.*q.d.s.*3 (p.161.28; M.9.608B); Ephr.2.171C; Bas.*hom.in Ps.*48(1.187B; M.29. 456B); Thphyl.*exc.gent.*8(p.485.27; M.113.948B).

D. *enclosure, precinct*, Cyr.*Jo.*2.1(4.140B).

περίβολος, ὁ, 1. *covering, vesture τὸν π. τὸν σαρκικόν* Clem.*paed.* 3.2(p.238.18; M.8.560C); **2.** *surrounding wall*, Chrys.*sac.*4.4(p.112. 13; 1.408E); Thdt.*Ps.*16:8(1.697); met. *εἰρήνη...τῶν οὐρανῶν π.* Serap.*ep.mon.*3(M.40.929A); **3.** *enclosed precinct, sacred court, temple*; **a.** pagan, Tat.*orat.*21(p.24.8; M.6.853B); Clem.*prot.*3(p.34. 13; M.8.132A); Or.*Cels.*6.80(p.151.27; M.11.1420B); **b.** in Jewish Temple *κάλυμμα...εἴργον τοὺς ἐν τῷ π.* Clem.*str.*5.6(p.348.1; M.9. 57A); symbolism of its courts, *ib.*(p.347.4; 56B); Eus.*h.e.*10.4.40(M. 20.865A); **c.** of Christian Church, id.*l.C.*proem.(p.195.19; M.20. 1317B); Chrys.*nativ.*1(2.355B); Thdt.*eran.*3(4.230); Gel.Cyz.*h.e.*3.10. 14; **d.** of heaven *θείων...περιβόλων* Meth.*symp.*6.3(p.67.2; M.18. 117A); Const.ap.Gel.Cyz.*h.e.*2.7.5(M.85.1233A); **e.** met., of widows as a temple court where offerings are sacrificed, Meth.*symp.*5.8 (p.62.21; M.18.112A); of order of priesthood *τοιούτους...τῶν τῆς ἱερωσύνης ἀπείρξομεν π.* Chrys.*sac.*3.13(p.70.2; 1.389E).

περιβομβ-έω, 1. *buzz round*, Cels.ap.Or.*Cels.*3.16(p.215.8; M.11. 940B); Ath.*Ar.*3.59(M.26.445C); v. *περικομπέω*; **2.** *make a noise about* something *round about, bruit abroad τοῦτο...~οῦσιν ὡς ἀγέλη κωνώπων* Ath.*decr.*14(p.12.4; M.25.'448'(440)A); id.*fug.*2(p.69.19; M. 25.648A); **3.** pass., *be surrounded with noise* of, *resound* with *δεῖ ...ἀγορὰν ~εἶσθαι τοῖς τούτων λόγοις* Gr.Naz.*or.*27.2(p.3.5; M.36. 13A).

***περιβουκολ-έω**, *pasture round about, lead about to feed*, met., *αὐτὸν ταύταις ~ήσας ταῖς ἐννοίαις* Nil.*exerc.*40(M.79.769A).

***περιβράσσω**, *surge round*, ‡Nil.*fr.pasch.*1(M.79.1496C).

***περιβρέχω**, *bedew all round*, Geo.Pis.*carm.*1.53.

***περιβρύχομαι**, *roar round*; c. dat., Bas.*hex.*9.6(1.87E; M.29. 205B).

***περιβυθίζω**, *immerse*, met. *τῷ τῆς εὐσεβείας κάλλει περιβυθισμέναις* Cyr.*Abac.*30(3.545B).

***περιβωμβέω**, s.v.l., *lead round in procession περιεβωμβήθησαν ἐν καμήλοις* Jo.Mal.*chron.*18 p.451(M.97.661D; perh. for *περιεπομπεύθησαν* or *περιεβωμίσθησαν*).

***περιβωμίζομαι**, *be led round in procession*; of criminals, Jo. Mal.*chron.*18 p.473(M.97.688C); *ib.*p.491(712A); *Mir.Artem.*18(p.23. 15).

περίβωτος, poet. for *περιβόητος*, *famous*, Gr.Naz.*carm.*2.1.50.65 (M.37.1390A).

περιγανόω, *make smooth all round*, Melet.*nat.hom.*22(M.64. 1229D); *ib.*(1232A).

***περιγάνυμαι**, *be very glad*, Thphyl.*exc.gent.*5(p.482.1; M.113. 941C).

περιγεγονότως, *successfully*, Didym.*Trin.*2.8(M.39.616A); Chrys. *hom.*12.2 *in Heb.*(12.124A).

περίγειος, *of the earth, earthly*; **1.** in gen. *ἡ...τῶν π. διοίκησις* Athenag.*leg.*25.2(M.6.949A); Clem.*str.*6.16(p.504.20; M.9.369C); Thdr. Stud.*epp.*2.29(M.99.1197D); *τὸ π. the whole world*, Jo.VI H.*v.Jo.D.* 1(M.94.432A); *ib.*14(453A); **2.** opp. heavenly, Or.*princ.*4.3.10(p.337. 6; M.11.393A); id.*Cels.*1.60(p.111.6; M.11.769C); *τοὺς π. δαίμονας ib.*8.54(p.271.7; 1600A); id.*Cant.*3(p.178.25; M.13.149D); of Christ

καταλείπει...τὴν ἄνω Ἰερουσαλήμ, καὶ ἔρχεται εἰς τὸν π. τόπον id.*hom.* 10.7 *in Jer.*(p.77.14; M.13.365C); id.*Jo.*1.15(p.19.21; M.14.49A); π.... πνεύματα Eus.*d.e.*6.2(p.254.6; M.22.417B); τῆς νοητῆς Αἰγύπτου, εἰς ἣν ἐνανθρωπήσας κατελήλυθεν, οὗτω δηλουμένου τοῦ π. τόπου *ib.*9.4(p.413.9; 665C); Ath.*inc.*11.2(M.25.116A); Didym.*Ps.*30:8(M.39.1313C); ἐν τῷ π. βίῳ τούτῳ Pall.*v.Chrys.*18(p.116.26; M.47.65); **3.** opp. divine, Thdt.*Cant.*1:1(2.25); id.*Os.*2:21(2.1324).

***περιγέλαστος,** *very ridiculous,* Epiph.*haer.*52.1(p.312.13; M.41.956B); of Montanist prophetesses' utterances, *ib.*79.1(p.476.15; M.42.741A); *ib.*80.3(p.487.4; 760C).

***περιγέλως, ὁ,** *laughing-stock* μήπως π. γένωμαι τοῖς υἱοῖς Ἰσραήλ *Protev.*9.2(p.18).

περιγί(γ)ν-ομαι, 1. *prevail over, overcome,* c. genit. pers.; c. dat. ὁ ὕπνος μοι περιεγένετο *T.Isach.*3.5(vv.ll. μου, με, π.); **2.** *secure, win* τὸ ἔργον...~εται τοῦ πράγματος οὗ θέλει Herm.*vis.*1.3.2; Tat.*orat.*11(p.12.8; M.6.829B); νίκης ~εσθαι Const.ap.Eus.*v.C.*3.60(p.107.18; M.20.1129B); ἵνα...τὸ σπουδαζόμενον περιγένηται Bas.*Eun.*2.12(1.247B; M.29.593B).

περιγλύφω, 1. *peel away,* Geo.Pis.*hex.*1584(M.92.1558A); **2.** *hatch out,* ‡Eust.*hex.*(M.18.733B); **3.** *efface* an impression, Gr.Nyss.*Eun.*4(2 p.94.13; M.45.672A).

περιγνάμπτω, *bend* περιγναμφθέντας ἀγοστούς Paul.Sil.*Soph.*374(M.86.2134A).

***περίγοργος,** *very quick,* Jo.Mal.*chron.*2 p.35(M.97.105A); *ib.*5 p.103(192B); τὸ σπουδαῖον καὶ π. τῆς φρονήσεως *ib.*8 p.195(308A); *Chron.Pasch.*p.38(M.92.152A).

***περιγραμμός, ὁ,** *thing circumscribed*; of man, Thdr.Stud.*epp.*2.84(M.99.1328B).

***περιγραπτικός,** *limiting* οὐδὲν γάρ ἐστι περὶ αὐτὴν [sc. divine nature] θεωρούμενον, οὐ χρόνος, οὐ τόπος,...οὐδὲ ἄλλο τι τῶν π. ὄνομα Gr.Nyss.*hom.*5 *in Cant.*(M.44.873C).

περιγραπτός, *circumscribed, limited*; **1.** in gen., of the mind πῶς ὁ νοῦς καὶ π. καὶ ἀόριστος, ἐν ἡμῖν μένων, καὶ πάντα ἐφοδεύων; Gr.Naz.*or.*28.22(p.54.13; M.36.56A) = Melet.*nat.hom.*30(M.64.1284A); **2.** ref. God, against theory that God is σῶμα: πῶς γὰρ σεπτόν, εἰ π.; Gr.Naz.*or.*28.7(p.31.14; M.36.33B); θεός,...οὐ π. id.*carm.*1.1.1.25(M.37.400A); οὐκ ἐν τόπῳ ἐστὶ π. Didym.ap.*cat.Ac.*17:23(p.292.8); Cyr.*Jo.*1.9(4.77A); οὐ γὰρ πεποσῶσθαι τὸ θεῖον, ἢ καὶ σχήματι π. *ib.*2.8(230E); εἰ ἐν τόπῳ τῆς οὐσίας ὁ θεός, πῶς οὐ π. τὴν οὐσίαν ὁ θεός; εἰ δὲ π. τὴν οὐσίαν ὁ θεός, πῶς παγνώστης τῆς οὐσίας ὁ θεός; πῶς θεὸς τὴν οὐσίαν ὁ θεός; εἰ ἐν τῷ τί ἐστι π. ὁ θεός, ἐν δὲ τῷ ποσῷ ἐστιν ἀπερίγραπτος, πῶς ταὐτόν ἐστι τὸ ποσὸν τοῦ θεοῦ καὶ τὸ τί αὐτό; *Disp.Phot.*45(M.88.569D); Jo.D.*f.o.*1.4(M.94.797B); ref. problem of locality of Devil εἰ...ἴδιον τόπον ἔχειν τὸν σατανᾶν, καὶ ἴδιον τὸν θεόν, ποιεῖ αὐτὸν καὶ π. εἰς ἐκεῖνον τὸν τόπον ἔνθα κατοικεῖ ὁ πονηρός Mac.Aeg.*hom.*7.2(M.34.524D); **3.** ref. Son ὁ τοίνυν ἀριθμὸν ἢ κτίσμα ὁμολογῶν τὸν υἱὸν...ἢ τὸ πνεῦμα...λανθάνει ἔνυλον καὶ π. φύσιν εἰσάγων. π. δὲ λέγω, οὐ μόνον τὴν περιεχομένην ὑπὸ τόπου, ἀλλ' ἥπερ καὶ τῇ προγνώσει ἐμπεριείληφεν ὁ μέλλων αὐτὴν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν...πᾶν οὖν ἅγιον, ὃ π. ἔχει τὴν φύσιν...οὐκ ἀνεπίδεκτόν ἐστι κακίας Evagr.Pont.*ep.*2(M.32.249B); ἀεὶ συνυπάρχει τῷ πατρὶ ὁ υἱός,...οὐ π. τόπῳ Gel.Cyz.*h.e.*2.15.3(M.85.1257C); **4.** ref. Inc., Gr.Naz.*ep.*101(M.37.177B) cit. s. ἀπερίγραπτος; ἐν τῷ π. νοεῖται τὸ ἀπερίγραπτον Isid.Pel.*epp.*2.192(M.78.640D); ref. Nestorian division of Christ πῶς οὐ θατέρα μὲν ὁρατὴ καὶ π. ὑπόστασις, θατέρα δὲ ἀόρατος καὶ ἀπερίγραπτός ἐστιν; Leont.H.*Nest.*2.17(M.86.1576A); Leont.B.*Nest.et Eut.*1(M.86.1284B); θεὸν ἄπειρον ὁμοῦ καὶ π. ἄνθρωπον ὄντα τε καὶ νοούμενον ‡Hipp.*Ber.Hel.*1(p.321.31; M.10.832B); definition of π. φύσις which is implied when Son or H. Ghost is regarded as creature, Evagr.Pont.*ep.*2(M.32.249B) cit. s. 3 supra.

περιγραφή, ἡ, A. *circumscription, limitation*; **1.** denied of God, Or.*Jo.*10.4(3; p.174.29; M.14.313A); οὐ γὰρ ἐν τόπῳ καὶ π. τὸ θεῖον εἶναι φαμέν, ὅτι καὶ ἁπλοῦν ἐστι καὶ ἀσώματον Cyr.*Is.*5(2.883D); π. πάσης ἐλεύθερον Zach.Mit.*opif.*(M.85.1048A); of Logos φύσεως περιγραφῆς οὐδαμῶς ἀνεχόμενος Sophr.H.*ep.syn.*(M.87.3160C); **2.** but asserted by Or. in respect of limitation set on creation of rational beings ἐν τῇ...ἀρχῇ τοσοῦτον ἀριθμὸν τῷ βουλήματι αὐτοῦ ὑποστῆσαι τὸν θεὸν νοερῶν οὐσιῶν ὅσον ἠδύνατο διαρκέσαι· πεπερασμένην γὰρ εἶναι καὶ τὴν δύναμιν τοῦ θεοῦ λεκτέον, καὶ μὴ προφάσει εὐφημίας τὴν π. αὐτῆς περιαιρετέον. ἐὰν γὰρ ἄπειρος ἡ θεία δύναμις, ἀνάγκη αὐτὴν μηδὲ ἑαυτὴν νοεῖν Justn.*Or.*(p.190.10; M.86.947C); **3.** of Son, ref. Inc. σώματος, ὃ κατὰ περιγραφὴν τόπον ἔνθεον ἑαυτῷ καθιέρωσεν ἐπὶ γῆς Clem.*fr.*36(p.219.6; M.9.769A); τῇ π. τῆς σαρκὸς καθάπερ ἀγγείῳ τινὶ ἡ ἀπειρία τῆς θεότητος περιελήφθη; Gr.Nyss.*or.catech.*10(p.54.10; M.45.41B); Leont.H.*Nest.*2.17(M.86.1576A); Leont.B.*Nest.et Eut.*1(M.86.1284B); ‡Hipp.*Ber.Hel.*1(p.321.28; M.10.832B); περιγραφῆς ἠνέσχετο σώματος Sophr.H.*ep.syn.*(M.87.3173A); of BMV ἡ π. ... τοῦ ἀπεριγράπτου ‡Meth.*Sym.et Ann.*10(M.18.372C).

B. *delimitation as an individual, individuality*; **1.** in gen. εἰς μορφὴν καὶ...π. ἰδίαν ἀγαγών Heracleon ap.Or.*Jo.*2.21(15; p.77.29; παραγραφήν M.14.149D); Const.*or.s.c.*21(p.187.11; M.20.1301A); Gr. Nyss.*tres dii*(M.45.125C); *ib.*(132A); **2.** of Son ὁ ἐν ταὐτότητι λόγος, κατὰ π. καὶ οὐ κατ' οὐσίαν γενόμενος [ὁ] υἱός Clem.*exc.Thdot.*19(p.112.29; M.9.665D); ref. heretics ἤτοι ἀρνουμένους ἰδιότητα υἱοῦ ἑτέραν παρὰ τὴν τοῦ πατρός...ἢ ἀρνουμένους τὴν θεότητα τοῦ υἱοῦ τιθέντας δὲ αὐτοῦ τὴν ἰδιότητα καὶ τὴν οὐσίαν κατὰ περιγραφὴν τυγχάνουσαν ἑτέραν τοῦ πατρός Or.*Jo.*2.2(p.54.28; M.14.109A); τὸν λόγον ἰδίαν π. ἔχοντα *ib.*1.39(42; p.51.17; 104A); ref. heresy of Beryllus τὸν... κύριον...μὴ προϋφεστάναι κατ' ἰδίαν οὐσίας π. πρὸ τῆς εἰς ἀνθρώπους ἐπιδημίας Eus.*h.e.*6.33.1(M.20.593A).

περίγραφος, *limited, circumscribed,* of Christ incarnate π. ἀλλ' ἀμέτρητος Gr.Naz.*carm.*1.1.2.64(M.37.406A); *ib.*1.1.4.42(419A); *ib.*1.2.10.423(710A).

*tamen non putentur velut dogmata esse prolata, sed tractandi more ac requirendi discussa, ib.*2.8.4(p.162.7; 224A); cf.*ib.*3.1.23(21; p.242.19; 302A); of souls into angels, cf. *tertius vero creaturae rationabilis ordo est eorum spirituum, qui ad humanum genus replendum apti judicantur a deo, id est animae hominum, ex quibus per profectum etiam in illum angelorum ordinem quosdam videmus assumi, ib.*1.8.4(p.101.29; 180A); cf. *ἀνεστοιχειοῦτο γοῦν αὐτῇ ψ.* [sc. Helena's] *ἐπὶ τὴν ἄφθαρτον καὶ ἀγγελικὴν οὐσίαν* Eus.*v.C.*3.46(p.97.10; M.20.1105D); Epiph.*haer.*64.4(p.411.2; M.41.1107BD); **b.** traces of idea of metempsychosis *εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψ. πολιτείας, μετὰ τὸ ἅπαξ γεύσασθαι τοῦ σωματικοῦ βίου πάλιν ἄνθρωπος γίνεται, ἐμπαθέστερος...ὁ ἐν σαρκὶ βίος ὁμολογεῖται παρὰ τὸν... ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινομένην βίῳ ἐν ᾧ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τε κακίᾳ γενέσθαι... ἀνθρωπίνης δὲ ψ. πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις. τούτῳ δὲ προσοικειωθεῖσαν αὐτήν, εἰς κτηνώδη φύσιν μεταρρυῆναι* Or.*princ.*1.8.4(p.103.17ff.); *ἡ ψ. ἀπορρέουσα τοῦ καλοῦ...εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται...καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔνυδρον, ἵν' οὕτως εἴπω, βίον· καὶ τάχα κατ' ἀξίαν τῆς ἐπὶ πλεῖον ἀποπτώσεως τῆς κακίας ἐνδύεται σῶμα ⟨τοι⟩οῦδε ἢ τοιοῦδε ἀλόγου ζῴου ib.*(p.104.8; 180B); **2.** development of creationism; **a.** its roots in account in Gen. of different origin of man's body and soul, cf. *insufflavit enim in faciem hominis deus flatum vitae et factus est homo in animam viventem, flatus autem vitae incorporalis,* Iren.*haer.*5.7.1(M.7.1140A); *πλάσμα ὑμᾶς τοὺς ἀνθρώπους [ἐπι]γεγονότας τοῦ θεοῦ καὶ παρ' αὐτοῦ τὴν ψ. εἰληφότας* Clem.*prot.*10(p.67.33; M.8.205A); *ἐκ γῆς μὲν τὸ σῶμα διαπλάττεσθαι λέγει ὁ Μωυσῆς...ψ. δὲ τὴν λογικὴν ἄνωθεν ἐμπνευσθῆναι ὑπὸ τοῦ θεοῦ εἰς πρόσωπον* id.*str.*5.14(p.388.10; M.9.140A); soul infused before physical conception *εἰσιοῦσαν γὰρ τὴν ψ. εἰς τὴν μήτραν ἀπὸ τῆς καθάρσεως ηὐτρεπισμένην εἰς σύλληψιν ...καταβληθέντος δὲ τοῦ σπέρματος ὡς εἰπεῖν ἐξοικειοῦσθαι τὸ ἐν τῷ σπέρματι πνεῦμα καὶ οὕτως συλλαμβάνεσθαι τῇ πλάσει...καὶ αἱ στεῖραι διὰ τοῦτό εἰσι στεῖραι, ὡς ἂν μὴ εἰσκρινομένης τῆς ψ. τὴν τοῦ σπέρματος καταβολὴν συναγούσης εἰς κατοχὴν συλλήψεως καὶ γεννήσεως* id.*ecl.*50(pp.150.22–151.9; M.9.721A); *παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψ. καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος)* Gr.Naz.*or.*38.11(M.36.321D); *ἐν...τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παραγίνεται, καὶ τότε ἡ ψ. ἡ τιμιωτέρα...πρὸ τῆς ψ. τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψ. παραχθῇ...* Chrys.*hom.13.3 in Gen.*(4.102C); Anast.Ant.*serm.*3(M.89.1165C); **b.** this, however, does not imply that soul is part of the divinity, Chrys.*hom.13.2 in Gen.*(4.101A–D); Thdt.*qu.23 in Gen.*(1.39); **c.** creationist doctrine clearly stated *ἡ δὲ ἐκκλησία, τοῖς θείοις πειθομένη λόγοις...λέγει, τὴν ψ. συνδημιουργεῖσθαι τῷ σώματι, οὐκ ἐκ τῆς ὕλης τοῦ σπέρματος ἔχουσαν τῆς δημιουργίας τὰς ἀφορμάς, ἀλλὰ τῇ βουλήσει τοῦ ποιητοῦ μετὰ τὴν τοῦ σώματος συνισταμένην διάπλασιν* id.*haer.*5.9(4.414); *ἡ δὲ τοῦ ἀνθρώπου ψ. ἰδιάζουσαν ὑπόστασιν ἔχει· ἐνεργεῖ δὲ καὶ τὴν ζωὴν ἐν σαρκί...ὁ σπόρος ἐκ συνουσίας· ἡ δὲ πλάσις ἐκ θείου νεύματος· κτίζεται ἡ ψ. ὅτε καὶ τὸ σῶμα εἰκονίσθη, θεοῦ τὴν πλάσιν παρέχοντος* Proc.G.*Gen.*2:7(M.87.153B); **3.** traducianism (cf. Tertullian); **a.** not always clearly distinguishable from creationism *λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψ. τε καὶ σώματος ἀρχὴν τῆς συστάσεως οἴεσθαι* Gr.Nyss.*anim.et res.*(M.46.125A); *ἐπὶ τῆς τοῦ ἀνδρὸς καὶ γυναικὸς συμπλοκῆς συνίσταται θεοῦ κελεύσει σῶμα καὶ ψ.* ‡Ath.*qu.Ant.*16(M.28.608B); **b.** explicitly taught *Ἀπολιναρίῳ δὲ δοκεῖ τὰς ψ. ἀπὸ τῶν ψ. τίκτεσθαι ὥσπερ ἀπὸ τῶν σωμάτων. προϊέναι γὰρ τὴν ψ. κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου πάντας τεχθέντας καθάπερ τὴν σωματικὴν διαδοχήν· μήτε γὰρ ἀποκεῖσθαι ψ. μήτε νῦν κτίζεσθαι* ‡Gr.Nyss.*anim.*(M.45.205C); *ὥσπερ ἐπὶ τῆς πρώτης πλάσεως τὸ μὲν σῶμα ἐκ τῆς γῆς ἔσχεν ὁ ἄνθρωπος, τὴν δὲ ψ. ἐξ αὐτοῦ τοῦ θεοῦ γεννηθεῖσαν· οὕτω καὶ νῦν τὸ μὲν σῶμα ἐκ τῆς γυναικείας γῆς καὶ αἵματος συνίσταται, ἡ δὲ ψ. διὰ τῆς σπορᾶς ὥσπερ διά τινος ἐμφυσήματος ἐκ τοῦ ἀνθρώπου ἀρρήτως μεταδίδοται...τὸ μὲν σῶμα διὰ τῶν οἰκείων... χειρῶν αὐτοῦ ἔπλασεν ὁ θεός, τὴν δὲ ψ. ὡς ἀόρατον ἐκ τῆς παναοράτου αὐτοῦ ψ. διὰ τοῦ ἐμφυσήματος προήγαγε καὶ ἐποίησε παρ' ἑαυτοῦ* Anast.Ant.*serm.*3(M.89.1165B); **4.** Gnost.; **a.** origin of souls from different seed as cause of their difference from each other (Valentinian) *τὰς δὲ ἐσχηκυίας τὸ σπέρμα τῆς Ἀχαμὼθ ψ. ἀμείνους λέγουσι γεγονέναι τῶν λοιπῶν· διὸ καὶ πλεῖον τῶν ἄλλων ἠγαπῆσθαι ὑπὸ τοῦ Δημιουργοῦ, μὴ εἰδότος τὴν αἰτίαν, ἀλλὰ παρ' αὐτοῦ λογιζομένου εἶναι τοιαύτας. διὸ καὶ εἰς προφήτας, φασίν, ἔτασσεν αὐτούς* [l. *αὐτάς*], *καὶ ἱερεῖς, καὶ βασιλεῖς. καὶ πολλὰ ὑπὸ τοῦ σπέρματος τούτου εἰρῆσθαι διὰ τῶν προφητῶν ἐξηγοῦνται, ἅτε ὑψηλοτέρας φύσεως ὑπαρχούσας* [sc. *ψυχὰς τὸ σπέρμα ἐχούσας*]· *πολλὰ δὲ καὶ τὴν μητέρα περὶ τῶν ἀνωτέρω εἰρηκέναι λέγουσιν, ἀλλὰ καὶ διὰ τούτου καὶ τῶν ὑπὸ τούτου γενομένων ψ.* Iren.*haer.*1.7.3(M.7.516A,B); refutation, cf. *sermo arguitur falsus ...in eo quod dicant eas animas quae habuerint a Matre semen, meliores reliquis fieri: quapropter...principes, et reges, et sacerdotes ordinatas esse. si enim erat hoc verum, primus utique Caiaphas... et Annas, et reliqui summi sacerdotes...et principes populi credidissent Domino...et ante hoc etiam Herodes rex. quoniam autem nec hic, nec summi sacerdotes...accurrerunt ei; sed e contrario qui erant in viis mendici sedentes...non itaque erant meliores tales animae, ib.*2.19.7(775A,B); *οἱ ἀντίμιμοι τοῦ Δημιουργοῦ, οἱ τῇ ἐκ μεσότητος ψ., τῇ σφετέρᾳ εἰκόνι, ἐμφυσῶντες τὴν ζωὴν τὴν ἄνωθεν* Clem.*str.*4.13(p.288.17; M.8.1300A); cf.*ib.*(p.288.2ff.; 1297B); *οἱ δ' ἀπὸ Οὐαλεντίνου πλασθέντος φασὶ τοῦ ψυχικοῦ σώματος τῇ ἐκλεκτῇ ψ. οὕτω ἐν ὕπνῳ ἐντεθῆναι ὑπὸ τοῦ λόγου σπέρμα ἀρρενικόν* id.*exc.Thdot.*2(p.105.15; M.9.653A). view rejected, Cyr.H.*catech.*4.20; **b.** soul's embodiment as a punishment (Marcion, Basilides) *οἱ φιλόσοφοι...παρ' ὧν τὴν γένεσιν κακὴν εἶναι ἀσεβῶς ἐκμαθόντες οἱ ἀπὸ Μαρκίωνος...φρυάττονται, οὐ φύσει κακὴν βούλονται ταύτην εἶναι, ἀλλὰ τῇ ψ. τῇ τὸ ἀληθὲς διδούσῃ· κατάγουσι γὰρ ἐνταῦθα τὴν ψ. θείαν οὖσαν καθάπερ εἰς κολαστήριον τὸν κόσμον, ἀποκαθαίρεσθαι δὲ ταῖς ἐνσωματουμέναις ψ. προσήκει κατ' αὐτούς. κἄστιν τὸ δόγμα τοῦτο οὐ τοῖς ἀπὸ Μαρκίωνος ἔτι, τοῖς δὲ ἐνσωματοῦσθαι...τὰς ψ. ἀξιοῦσιν οἰκεῖον* Clem.*str.*3.3(p.201.16ff.; M.8.1116A,B); *τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψ. ἐν ἑτέρῳ βίῳ τὴν κόλασιν ὑπομένειν ἐνταῦθα ib.*4.12(p.285.4; 1292C).

D. in rel. to body, cf. *σάρξ, σῶμα, αἴσθησις*; **1.** manner in which soul is in body, diffused through it, *Diogn.*6.1 cit. s. *Χριστιανός*; *ἔστι ψ. ἐν ὅλοις τοῖς μέλεσι, καὶ ἄνω ἐν τῷ ἐγκεφάλῳ ἐνεργεῖ, καὶ κάτω τοὺς πόδας αὐτὴ κινεῖ* Mac.Aeg.*hom.*40.3(M.34.764C); *τὴν μὲν ζωτικὴν δύναμιν, ἐπεὶ συγκέκραται τῷ σώματι ἡ ψ., φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προαιρέσεως χορηγεῖ...ψ. ἀμήχανον μὴ ζωοποιεῖν σῶμα, ᾧ ἂν ἐγγένηται* ‡Bas.*const.*2.2(2.542A; M.31.1341A); denied *τί λέγω, τί τὴν οὐσίαν ἐστὶν ἡ ψ.; ὅπως ἡμῶν ἐστιν ἐν τῷ σώματι, οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. τί γὰρ ἔχοι τις ἂν εἰπεῖν ὅτι παρεκτείνεται τῷ τοῦ σώματος ὄγκῳ; ἀλλὰ τοῦτο ἄλογον, σωμάτων γὰρ ἴδιον τοῦτο· ὅτι δὲ ἐπὶ ψ. οὐκ ἔστι τοῦτο ἐντεῦθεν δῆλον. πολλάκις καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκκεκομμένων, ὁλόκληρος ἐκείνη μένει...ἀλλ' οὐκ ἔστιν ἐν ὅλῳ τῷ σώματι, ἀλλ' ἐν μέρει τινὶ συνείληπται. οὐκοῦν νεκρὰ ἀνάγκη τὰ λοιπὰ εἶναι μέλη· τὸ γὰρ ἄψυχον πάντως νεκρόν. ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ὅτι μέν ἐστιν ἐν τῷ σώματι τῷ ἡμετέρῳ ἴσμεν, τὸ δὲ πῶς ἐστιν οὐκ ἴσμέν* Chrys.*incomprehens.*5.4(1.485C); discussion, Nemes.*nat.hom.*3(M.40.592Aff.); Max.*anim.*(M.91.356D–357A); **2.** soul superior to body, Clem.*str.*4.26(p.321.16f.; M.8.1373C); Chrys.*hom.21.6 in Gen.*(4.190E); *ib.12.5*(97E–98A); Max.*ep.*12(M.91.488D–489A); hence honour due to body as receptacle of soul, Or.*Cels.*8.30 (pp.245.27–246.5; M.11.1561A,B); **3.** soul as guide of body *τῆς ψ. οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει καὶ διαπονούσης ἃ πέφυκεν (πέφυκεν δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς καὶ τὸ προσπίπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις)* Athenag.*res.*12(p.63.1; M.6.1000A); Iren.*haer.*2.33.3(M.7.832B); *ib.*2.33.4(833A); Dion.Al.*fr.*(p.227.7f.); Cyr.H.*hom.*18(M.33.1152C); *ὅπερ ἐστὶ θεὸς ψυχῇ, τοῦτο ψ. σώματι γένηται παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα θεῷ τὸ ὁμόδουλον* Gr.Naz.*or.*2.17(M.35.428A); *ἐὰν...ὁ ἡνίοχος τὰς ὁρμὰς τοῦ ὑποζυγίου δεόντως οἰκονομήσῃ, ἑαυτῷ τε πρὸς τὸ συμφέρον ἐχρήσατο, καὶ τοῦ σκοποῦ τοῦ προκειμένου τετύχηκε, καὶ αὐτὸς δὲ σέσωσται, καὶ τὸ ὑποζύγιον ὤφθη τὴν χρῆσιν ἄριστον,...οὕτω καὶ ἐπὶ τῆς ψ. καὶ τοῦ σώματος ὑπολάμβανε ...ἐὰν μὲν γὰρ αὐτὴ τὰς τοῦ σώματος ὁρμὰς δεόντως οἰκονομῇ, αὐτό τε περιεσώσατο, καὶ αὐτὴ ἔξω κινδύνων διατελεῖ* ‡Bas.*const.*2.3(2.542D; M.31.1341C); *ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψ. ὁ πλάστης ἐνομοθέτησεν. αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰς χορδὰς ἀνακρούεται* Chrys.*hom.in Mt.*7:14(3.25D); **4.** gives life and movement to body *ὑπὸ ψ. κινεῖται* [sc. *σῶμα*], *τῆς καὶ τὸ ζῆν αὐτῷ παρεχούσης. εἰ τοίνυν τῷ σώματι ἡμῶν ψ. δείκνυται τὸ ζῆν παρέχουσα, ἔσται καὶ καθ' ἑαυτὴν ἡ ψ. ἐκ τῶν ἐναντίων γνωριζομένη* Max.*anim.*(M.91.356B); id.*ep.*6(M.91.425B); which is its instrument, Iren.*haer.*2.33.4(M.7.833A); Cyr.H.*catech.*4.23; ‡Bas.*struct.hom.*1.7(1.327D; M.30.17C); Chrys.*hom.14.5 in Gen.*(4.113C); but limits its capacities, cf. *anima...tantum autem impeditur a sua velocitate, quantum corpus participat de ejus motione; sed non amittit suam scientiam...anima participans suo corpori, modum quidem impeditur, admixta velocitate ejus in corporis tarditate,* Iren. *haer.*2.33.4(M.7.833A); Clem.*paed.*2.9(p.207.20ff.; M.8.496C); *ψυχῆς οὐσία, τὴν φύσιν οὖσα νοερὰ καὶ λογική, ἐν νηπιάζοντι κατὰ φύσιν σώματι παρὰ φύσιν αὐτὴ χώραν ἄλογον μετείληφε* Eus.*p.e.*6.6(247A; M.21.720D); *ὅμως...ἐξακολουθεῖ...τῷ σώματι ἡ ψ. ὁμοῦ γὰρ εἶναι δεῖ τὸ σύνθετον. ἀλλὰ προηγουμένως μέν, τοῦ σώματος ὁ τόπος, ἡ ψ. δὲ*

κατ' ἐπακολούθησιν περικλείεται τόπῳ, διὰ τῆς πρὸς τὸ σῶμα σχέσεως †Bas.*parad.*7(1.349F–350A; M.30.68B); cf. Jo.Clim.*scal.*26(M.88.1072C); **5.** interaction of both, cf. δεσμὸς δὲ τῆς σαρκὸς ψ., σχετικὴ δὲ τῆς ψ. ἡ σάρξ Tat.*orat.*15(p.16.21; M.6.837B); idea that both grow together, resulting from a material conception of soul ὅτι μὲν οὐκ εἰσὶν ἀγέννητοι αἱ ψ., τοῦτο δείκνυσι σαφέστερον ἡ τῶν ἀρτιγόνων ἡλικία βρεφῶν. εἰ...ἅμα τῷ τεχθῆναι τὰ παιδία, τελείας ἐξῆπτο φρονήσεως, ἐξῆν ἴσως ὑποκρίνεσθαί τινας ἄνοιαν· εἰ δὲ λείπεται νοῦ...οὐκ ἄρα καθέστηκαν ἀγέννητοι τὴν φύσιν αἱ ψ. σύμπαντες οὖν ἴσμεν ὅτι τοῖς τῶν σωμάτων ὄγκοις ἡ ψ. συνεκτέταται διαρκῶς, οὐ μεγέθει μόνον...μελῶν, ἀλλὰ καὶ ταῖς ἄλλαις τῆς γνώμης ἀναλογίαις...εἰ δὲ ταῦτα ἴδια μέν ἐστι ψυχῆς, ἐκ περιουσίας δὲ τὰς κρείττους ἐπιδέχονται προσθήκας ...δῆλον ὅτι συναυξάνει μὲν τῷ σώματι Eust.*fr.*4(Spanneut p.96.2) ap.Leont.et Jo.*sacr.*2(M.86.2040B,C); orthodox conception of a progressive revelation of its functions ἐπὶ τῆς ἀνθρωπίνης συστάσεως, πρὸς λόγον τῆς σωματικῆς ποσότητος, καὶ ἡ τῆς ψ. διαφαίνεται δύναμις· πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη. μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα, εἶθ' οὕτω...τὴν λογικὴν ἐμφαίνουσα δύναμιν Gr.Nyss.*anim.et res.*(M.46.128A); without idea of growth θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψ. σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς μέχρι τῶν περάτων αὐτοῦ διϊκνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν...ἄγειν. σκόπει τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψ. ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψ. τὸ σῶμα, δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψ. Bas.*hom.*3.7(2.23E; M.31.216A,B); πῶς τρέφεται διὰ ψ. σῶμα, καὶ πῶς ψ. διὰ σώματος κοινωνεῖ πάθους; Gr.Naz.*or.*32.27(M.36.205A); soul reflected in face, ‡Nil.*perist.*9.2(M.79.865B); **6.** heret. views; **a.** that soul is imprisoned in body τὴν ψ. συνέδησε [sc. ὁ θεός] τῷ σώματι πρὸς κόλασιν Or.*princ.*1.8.1(p.96.11); ἡ ὕλη...κατεσκεύασε τὸν ἄνθρωπον τὸν κατὰ τὴν ἰδέαν τοῦ πρώτου ἀνθρώπου ἐκείνου καὶ ἔδησε τὴν ψ. ἐν αὐτῷ Hegem.*Arch.*8(7; p.12.6; M.10.1440A); rejected εἰ γὰρ πρὸ τῆς παραβάσεως...σῶμα ἐκέκτητο αἱ ψ., πῶς ⟨ὡς⟩ εἰς παγίδα ὕστερον, μετὰ τὴν παράβασιν, εἰς ⟨τὸ⟩ σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου, ἐν ᾧ πρὶν αὐτὰς τὸ σῶμα λαβεῖν ἐξημάρτησαν; Meth.*res.*1.54(p.310.18; M.41.1145A); ἦν ἄρα ἡ ψ. μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας *ib.*(p.311.19; 1145C); on ground that soul could not sin without body χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν ψ. ὑπάρχειν μετὰ σώματος. ἐπεὶ εἰ ἄληπτος ἡ ψ. καθ' ἑαυτὴν τῇ ἁμαρτίᾳ, οὐκ ἂν ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος *ib.*1.57(p.318.18; 1152Dff.); εἰ πρὸ τοῦ ἐνδεθῆναι τὴν ψ. φῆς ἡμαρτηκέναι, περισσὸν τὸ λέγειν αἴτιον τῶν κακῶν τὸ σῶμα. εἰ γὰρ πρὸ τοῦ σώματος ἥμαρτε, καὶ ἀπαλλαγεῖσα νῦν ἐκ τοῦ σώματος αὖθις ἁμαρτήσει διὰ τὸ καὶ πρὸ τούτου ἡμαρτηκέναι, καὶ οὐκ αἴτιον τὸ σῶμα, ἀλλ' ἡ ψ. εἰ δεσμὸν ψ. τὸ σῶμα ὑπέθετο, ὁ δὲ δεσμὸς ἐπέχειν πέφυκε τὸν ἁμαρτάνοντα...τὸ σῶμα οὐ δεσμός ἐστι ψ., ἀλλὰ συνεργόν. πῶς; ὁ δεσμὸς οὐ συνεργεῖ τῷ δεδεμένῳ πρὸς ἁμαρτίαν ἀλλ' ἐπέχει...τὸ δὲ σῶμα συνεργεῖ τῇ ψ. εἰς φόνους καὶ μοιχείας. δείκνυται οὖν ὁ θεὸς οὐ δεσμὸν δοὺς τῇ ψ. τὸ σῶμα, ἀλλὰ συνεργόν Adam.*dial.*5.21(p.218.4ff.; M.11.1861A,B); οὐ γὰρ κατ' οὐρανὸν ἁμαρτοῦσαι ψ. ἐν σώματι κατεκρίθησαν τιμωρεῖσθαι, μηκέτι δυνάμεναι συμπεριπολεῖν τῇ ὑπερκοσμίῳ τελευτῇ. εἰ γὰρ πρὸς διόρθωσιν ...τοῖς σώμασι τούτοις κατεκλείσθησαν, πῶς ἐν τούτῳ βαρυτέρως ἁμαρτάνουσιν; ‡Caes.Naz.*dial.*3.149(M.38.1100); **b.** that body is cause of sin to soul οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψ., ἅπαγε...ἀλλ' ἡ τρυφὴ ...οὐδὲ γὰρ ψ. μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι...πολέμιον ἡ τρυφὴ Chrys.*hom.*39.9 *in 1Cor.*(10.376B); ὅτι δὲ οὐδὲ κακίας αἴτιον τῇ ψ. τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσι· τοῦτο γάρ ἐστι καὶ νοῦς, καὶ ψ., καὶ σώμασι κακόν, ἡ τῆς ἕξεως τῶν οἰκείων ἀγαθῶν ἀσθένεια καὶ ἀπόπτωσις Dion.Ar.*d.n.*4.27(M.3.728D); **c.** that God is cause of the soul, but not of body; discussed and refuted, Or.*Cels.*4.54–61(pp.326.24–333.3; M.11.1117A–1128C); **7.** relation of Christians to world analogous to that of soul to body, *Diogn.*6.1–9.

E. in rel. to νοῦς and πνεῦμα qq.v.; **1.** dist. from νοῦς: ἡμεῖς...ἐσμεν ἡ ψ. καὶ ὁ νοῦς Bas.*hom.*3.3(2.18C; M.31.204A); αἱ κινήσεις αἱ τῶν νοῶν, αἱ τῶν ψ. Dion.Ar.*d.n.*4.7(M.3.704C); πόλις τροπικῶς ἡ ψ.· ἧς ὁ βασιλεὺς νοῦς Olymp.*Eccl.*10:16f.(M.93.604A); **2.** νοῦς as part of ψ.: ἐν...τοῖς μαχίμοις ζῴοις δι' ἐμψύχων τε καὶ ἀψύχων ψ. τὸ τάττον ἐστὶ καὶ νοῦς, ἐν δὲ τοῖς τῆς ψ. πάθεσιν...λογισμός ἐστι τὸ τακτικόν Clem.*str.*1.24(p.100.16f.; M.8.908A); τῆς λογικῆς ψ. αὐλὴ μὲν ἡ αἴσθησις· ναὸς δέ, ἡ διάνοια· ἀρχιερεὺς δέ, ὁ νοῦς ‡Max.*cap.al.*158(M.90.1437B); **3.** change of νοῦς into ψ. and vice versa (Origen), cf. *mens de statu ac dignitate sua declinans, nuncupata est anima; quae si reparata fuerit et correcta, redit in hoc, ut sit mens,* Or.*princ.*2.8.3(p.159.1; M.11.223C); νοῦς...*corruens facta est anima, et rursum anima instructa virtutibus mens fiet, ib.*(p.161.7; 223C); idea rejected τοὺς γὰρ βαθμοὺς τῶν ψ. καὶ τὰς ἀναβάσεις καὶ καταβάσεις, ἃς Ὠριγένης εἰσάγει, μηδὲν προσηκούσας ταῖς θείαις γραφαῖς, μηδὲ συνᾳδούσας τοῖς τῶν Χριστιανῶν δόγμασι, παραλειπτέον Nemes.*nat. hom.*3(M.40.608A); **4.** position of soul between flesh and spirit Χριστός, εἰς ὃν ἐλπίζουσιν σαρκί, ψ., πνεύματι Ign.*Philad.*11.2; ψ. ἐν σώματί ἐστιν, οὐ ζῇ δὲ ἄψυχον. σῶμα, ψ. ἀπολειπούσης, οὐκ ἔστιν. οἶκος γὰρ τὸ σῶμα ψ.· πνεύματος δὲ ψ. οἶκος. τὰ τρία ταῦτα τοῖς ἐλπίδα εἰλικρινῆ καὶ πίστιν ἀδιάκριτον ἐν τῷ θεῷ ἔχουσι σωθήσεται †Just.*fr.res.*10(M.6.1589B); cf. *sunt tria, ex quibus...perfectus homo constat, carne anima et spiritu: et altero quidem salvante et figurante, qui est spiritus; altero quod unitur et formatur, quod est caro; id vero quod inter haec est duo, quod est anima: quae aliquando quidem subsequens spiritum, elevatur ab eo; aliquando autem consentiens carni, decidit in terrenas concupiscentias,* Iren.*haer.*5.9.1(M.7.1144B); *spiritus* understood as Holy Spirit, cf. *cum autem spiritus hic commistus animae unitur plasmati, propter effusionem spiritus, spiritualis et perfectus homo factus est...si autem defuerit animae spiritus, animalis est vere, qui est talis, ib.*5.6.1(1137C–1138C); Or.*princ.*2.8.4(p.162.18ff.; M.11.224B); a disembodied soul called πνεῦμα τῆς ψ. Clem.*prot.*11(p.82.30; M.8.237A); ψ. equated with πνεῦμα, Serap.*euch.*30.2.

F. soul after death; **1.** its eternal life dependent on God ἡ ψ. ἤτοι ζωή ἐστιν ἢ ζωὴν ἔχει. εἰ μὲν οὖν ζωή ἐστιν, ἄλλο τι ἂν ποιήσειε ζῆν, οὐχ ἑαυτήν,...ὅτι δὲ ζῇ ψ., οὐδεὶς ἀντείποι. εἰ δὲ ζῇ, οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβάνουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινὸς ἐκείνου οὗ μετέχει. ζωῆς δὲ ψ. μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ θεὸς βούλεται. οὕτως ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν. οὐ γὰρ ἴδιον αὐτῆς ἐστι τὸ ζῆν ὡς τοῦ θεοῦ· ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ διὰ παντός ἐστιν οὐδὲ σύνεστιν ἀεὶ τῇ ψ. τὸ σῶμα καὶ ὁ ἄνθρωπος οὐκ ἔστιν, οὕτως καί, ὅταν δέῃ τὴν ψ. μηκέτι εἶναι, ἄπεστι ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα καὶ οὐκ ἔστιν ἡ ψ. ἔτι, ἀλλὰ καὶ αὐτὴ ὅθεν ἐλήφθη ἐκεῖσε χωρεῖ πάλιν Just.*dial.*6.1,2(M.6.489B–492A); οὐκ ἐστὶν ἀθάνατος...ἡ ψ. καθ' ἑαυτήν, θνητὴ δέ· ἀλλὰ δυνατὸς ἡ αὐτὴ καὶ μὴ ἀποθνήσκειν. θνήσκει...μετὰ τοῦ σώματος μὴ γινώσκουσα τὴν ἀλήθειαν, ἀνίσταται δὲ εἰς ὕστερον ἐπὶ συντελείᾳ τοῦ κόσμου σὺν τῷ σώματι θάνατον διὰ τιμωρίας ἐν ἀθανασίᾳ λαμβάνουσα· πάλιν τε οὐ θνήσκει, κἂν πρὸς καιρὸν λυθῇ, τὴν ἐπίγνωσιν τοῦ θεοῦ πεποιημένη. καθ' ἑαυτὴν γὰρ σκότος ἐστίν, καὶ οὐδὲν ἐν αὐτῇ φωτεινόν...ψ. γὰρ οὐκ αὐτὴ τὸ πνεῦμα ἔσωσεν, ἐσώθη δὲ ὑπ' αὐτοῦ...λόγος μέν ἐστι τὸ τοῦ θεοῦ φῶς, σκότος δὲ ἡ ἀνεπιστήμων ψ. διὰ τοῦτο μόνη μὲν διαιτωμένη πρὸς τὴν ὕλην νεύει κάτω συναποθνήσκουσα τῇ σαρκί, συζυγίαν δὲ κεκτημένη τὴν τοῦ θείου πνεύματος οὐκ ἔστιν ἀβύθητος, ἀνέρχεται δὲ πρὸς ἅπερ αὐτὴν ἀδηγεῖ χωρία τὸ πνεῦμα· τοῦ μὲν γάρ ἐστιν ἄνω τὸ οἰκητήριον, τῆς δὲ κάτωθέν ἐστιν ἡ γένεσις· γέγονεν...συνδίαιτον ἀρχῆθεν τῇ ψ. τὸ πνεῦμα· τὸ δὲ πνεῦμα ταύτην ἔπεσθαι μὴ βουλομένην αὐτῷ καταλέλοιπεν Tat.*orat.*13(p.14.10ff.; M.6.833A,B); **2.** retaining its identity, cf.Iren.*haer.*2.34.1(M.7.834C); ἡ νοερὰ τῆς ψ. φύσις, καὶ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται, καὶ διαλυθέντων οὐκ ἀποκρίνεται, ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ ἐν τῷ χωρισμῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται, οὐδὲ πρὸς τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μερικὰ τμήματα κατακερματίζεται Gr.Nyss. *anim.et res.*(M.46.48B); which extends also to future resurrection body, *ib.*(109A); ἡ ψ. οὖν ἀεί τε οὖσα, ἀφ' οὗ γέγονεν, καὶ ὑφισταμένη διὰ τὸν οὕτως αὐτὴν δημιουργήσαντα θεόν, ἀεὶ νοεῖ καὶ λογίζεται...καὶ καθ' ἑαυτήν, καὶ μετὰ σώματος, δι' ἑαυτὴν καὶ τὴν ἑαυτῆς φύσιν. οὐδεὶς οὖν εὑρεθήσεται λόγος, ὁ τὴν ψ. τῶν προσόντων αὐτῇ φυσικῶς, καὶ οὐ διὰ τὸ σῶμα, μετὰ τὴν τούτου λύσιν ἀλλοτριῶσαι δυνάμενος Max.*ep.*7(M.91.436D–437A); which, acc. those who attribute a certain materiality to soul (v. I.B.6.a), is linked to body, cf. *animas... habere hominis figuram, ut etiam cognoscantur,* Iren.*haer.*2.34.1(835A); τότε ἡ ψ. ἐξέρχεται ἀπὸ τοῦ σώματος, καὶ ἀσπάζονται αὐτὴν οἱ ἄγγελοι· ἡμεῖς δὲ θεωροῦμεν τὸ εἶδος τῆς ψ. ὡς εἶδος φωτὸς πεπληρωμένον καθ' ὅλου τοῦ σώματος χωρὶς τοῦ ἄρσενος καὶ τῆς θηλείας *V.Zos.*14(p.105.21ff.); cf. Methodius' view that soul has teeth to gnash ζητητέον τῶν κολαζομένων τὸν βρυγμὸν τῶν ὀδόντων τῆς ψ. δύναμιν μασητικὴν ἐχούσης, ἤτις ἐν καιρῷ τοῦ ἐλέγχου περὶ τῶν ἁμαρτημάτων κατὰ τὸν συγκρουσμὸν τῶν ὀδόντων ὧν ἐφρόνησε βρύξει τοὺς ὀδόντας *res.*1.24(p.248.19; M.41.1093C); hence **3.** rejection of: **a.** metempsychosis ἕως ἐν τῷ σώματί ἐστιν ἡ ψ. βλέπει, ἢ ἀπαλλαγεῖσα τούτου; καὶ ἕως μέν ἐστιν ἐν ἀνθρώπου εἴδει...μάλιστα δὲ ἀπολυθεῖσα τοῦ σώματος τυγχάνει οὗ ἦρα...πάντως. ... ἢ καὶ μέμνηται τούτου πάλιν ἐν ἀνθρώπῳ γενομένη; οὔ μοι δοκεῖ, ἔφην. τί οὖν ὄφελος ταῖς ἰδούσαις...; οὐκ ἔχω εἰπεῖν...αἱ δὲ ἀνάξιαι ταύτης τῆς θέας κριθεῖσαι τί πάσχουσιν; ἔφη· εἰς τινα θηρίων ἐνδεδυμένουσι σώματα, καὶ αὖτη ἐστὶ κόλασις αὐτῶν. οἶδασιν οὖν ὅτι διὰ ταύτην τὴν αἰτίαν ἐν τοιούτοις εἰσὶ σώμασι καὶ ὅτι ἐξήμαρτόν τι; οὐ νομίζω. οὐδὲ ταύταις ἄρα ὄφελός τι τῆς κολάσεως, ὡς ἔοικεν· ἀλλ' οὐδὲ κολάζεσθαι αὐτὰς λέγοιμι...οὔτε οὖν ὁρῶσι τὸν θεὸν αἱ ψ., οὔτε μεταμείβουσιν εἰς ἕτερα σώματα Just.*dial.*4.4–7(M.6.485A,B);

cf. *de corpore autem in corpus transmigrationem ipsorum subvertamus ex eo, quod nihil omnino eorum quae ante fuerint, meminerint animae,* Iren.*haer.*2.33.1(M.7.830C); *perseverare animas, et non de corpore in corpus transire, ib.*2.34.1(835A); Manich. view stated ἐρῶ...πῶς μεταγγίζεται ἡ ψ. εἰς πέντε σώματα. πρῶτον καθαρίζεται μικρόν τι ἀπ' αὐτῆς, εἶτα μεταγγίζεται εἰς κυνός ἢ εἰς καμήλου ἢ εἰς ἑτέρου ζώου σῶμα. ἐὰν δὲ ᾖ πεφονευκυῖα ψ., εἰς κελεφῶν σώματα μεταφέρεται· ἐὰν δὲ θερίσασα εὑρεθῇ, εἰς μογγιλάλους. τῆς δὲ ψ. ἐστι τὰ ὀνόματα ταῦτα, νοῦς, ἔννοια, φρόνησις, ἐνθύμησις, λογισμός Hegem.*Arch.*10(p.15.6ff.; M.10.1441C); τινὲς...ὑβρίζουσι τῇ κοινότητι τὸ ἀνθρώπινον, τὴν αὐτὴν ἀνὰ μέρος ἀνθρώπου τε καὶ ἀλόγου ψ. διοριζόμενοι γίνεσθαι, μετενδυομένην τὰ σώματα...ἢ πτηνόν, ἢ ἔνυδρον, ἢ χερσαῖόν τι ζῶον γινομένην μετὰ τὸν ἄνθρωπον Gr.Nyss.*anim.et res.*(M.46.108B); **b.** belief that souls can become demons, Chrys.*hom.28.2 in Mt.*(7.336B–D); **c.** that they dissolve into air, v. ἀήρ; **4.** soul leaving earth immediately after death ἔγνω δὲ ἐπακουσθείς [sc. Christ], ἐπείπερ πνεύματι εἶδεν ὅτι ἀποκατέστη ἡ τοῦ Λαζάρου ψ. ἐπὶ τὸ σῶμα αὐτοῦ, ἀναπεμφθεῖσα ἀπὸ τοῦ χωρίου τῶν ψ. οὐ γὰρ νομιστέον ὅτι ἡ ψ. τοῦ Λαζάρου παρῆν τῷ σώματι μετὰ τὴν ἔξοδον, καὶ ὡς παροῦσα ταχέως ἤκουσεν κράξαντος Ἰησοῦ...ἢ εἴπερ τις τοῦτο περὶ τῆς Λαζάρου ψ. ὑπολαμβάνει καὶ προσίεται τὸ περὶ τῆς ἀπαλλαγείσης ψ. σώματος ἄτοπον, ὡς παρακαθεζομένης τῷ νεκρῷ, λεγέτω πῶς ἠκούσθη ὁ Ἰησοῦς ἀπὸ τοῦ πατρός, μένοντος ἔτι νεκροῦ τοῦ Λαζάρου σώματος, καὶ τῆς ψ. κεχωρισμένης μέν,...παρακαθεζομένης δὲ τῷ σώματι. ἵνα γὰρ τοῦτο συγχωρηθῇ, οὐκ ἂν ἠκούσθαι εἴποι μὲν τὸν Ἰησοῦν μέλλοντα ἀκούεσθαι ὅτε ἡ ψ. ἐνοικίζετο τῷ σώματι...ἦτησεν γὰρ ἐπανελθεῖν τὴν ψ. καὶ ἐνοικισθῆναι πάλιν τῷ σώματι Or.*Jo.*28.6(5; pp.395.31–396.10; M.14.689C–692A); τοῦ σώματος αἱ ψ. ἐξελθοῦσαι, οὐκ ἔτι ἐνταῦθα διατρίβουσιν, ἀλλ' εὐθέως ἀπάγονται Chrys.*Laz.*2.2(1.729A); οὐδὲ γὰρ ἕνι ψ. ἀπορραγεῖσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι λοιπὸν...αἱ τῶν δικαίων, καὶ αἱ τῶν παίδων...καὶ αἱ τῶν ἁμαρτωλῶν δὲ εὐθέως ἐντεῦθεν ἀπάγονται. καὶ δῆλον ἀπὸ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου... οὐχ οἷόν τε ψ. ἐξελθοῦσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι...πῶς ἡ τοῦ σώματος ἀπορραγεῖσα ψ. καὶ τῆς συνηθείας ἐξελθοῦσα πάσης, εἶσεται ποῦ δεῖ βαδίζειν ἄνευ τοῦ καθοδηγοῦντος αὐτήν; καὶ πολλαχόθεν δὲ ἑτέρωθεν ἂν τις κατίδοι, ὅτι οὐκ ἕνι ψ. ἐξελθοῦσαν ἐνταῦθα μεῖναι id. *hom.28.3 in Mt.*(7.336D–337A); this doctrine discussed, ref. apparition of saints in their sanctuaries, ‡Ath.*qu.Ant.*26(M.28.613B); **5.** intermediate state of souls before gen. resurrection; assumed by some authors against those who deny resurrection of body βλασφημεῖν τολμῶσι τὸν θεὸν...οἳ καὶ λέγουσι μὴ εἶναι νεκρῶν ἀνάστασιν, ἀλλὰ ἅμα τῷ ἀποθνήσκειν τὰς ψ. αὐτῶν ἀναλαμβάνεσθαι εἰς τὸν οὐρανόν Just.*dial.*80.4(M.6.665A); αἱ ψ. ἀπέρχονται εἰς τὸν...τόπον τὸν ὡρισμένον αὐταῖς ἀπὸ τοῦ θεοῦ, κἀκεῖ μέχρι τῆς ἀναστάσεως φοιτῶσι, περιμένουσαι τὴν ἀνάστασιν· ἔπειτα ἀπολαβοῦσαι τὰ σώματα, καὶ ὁλοκλήρως ἀναστᾶσαι, τουτέστι σωματικῶς Iren. *haer.*5.31.2(M.7.1209B); Hipp.*Graec.*2(M.10.800A); δῆλον, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς χώραν τινὰ ἀπάγονται αἱ ψ., οὐκ ἔτι κυρίαι οὖσαι ἐπανελθεῖν, ἀλλὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν ἀναμένουσαι Chrys.*hom.28.3 in Mt.*(7.337B); v. ᾅδης; **6.** difference in souls' eternal destiny dependent on their earthly life, opp. pagan philosophers' views ὁ τοῦτ' αὐτό, φησί [sc. Plato], ὃν ἐπέκεινα πάσης οὐσίας,...ἐξαίφνης ταῖς ἐὖ πεφυκυίαις ψ. ἐγγινόμενον διὰ τὸ συγγενὲς καὶ ἔρωτα τοῦ ἰδέσθαι...τίς οὖν ἡμῖν, ἔλεγε [sc. Trypho], συγγένεια πρὸς τὸν θεόν ἐστιν; ἢ καὶ ἡ ψ. θεία καὶ ἀθάνατός ἐστι καὶ αὐτοῦ ἐκείνου τοῦ βασιλικοῦ νοῦ μέρος; ὡς δὲ ἐκεῖνος ὁρᾷ τὸ θεῖον, οὕτω καὶ ἡμῖν ἐφικτὸν τῷ ἡμετέρῳ νῷ συλλαβεῖν τὸ θεῖον;...πᾶσαι δὲ αὐτὸ διὰ πάντων αἱ ψ. χωροῦσι τῶν ζώων, ἠρώτα, ἡ ἄλλη μὲν ἀνθρώπου, ἄλλη δὲ ἵππου καὶ ὄνου; οὐκ, ἀλλ' αἱ αὐταὶ ἐν πᾶσίν εἰσιν, ἀπεκρινάμην. ὅψονται ἄρα, φησί, καὶ ἵπποι...τὸν θεόν; οὔ, ἔφην· οὐδὲ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, εἰ μή τις ἐν δίκῃ βιώσαιτο Just.*dial.*4.1,2(M.6.484A,B); εἰ δὲ κόσμος γεννητός, ἀνάγκη καὶ τὰς ψ. γεγονέναι...ἀλλὰ μὴν οὐδὲ ἀποθνήσκειν φημὶ πάσας τὰς ψ. ἐγώ· ἔρμαιον γὰρ ἦν ὡς ἀληθῶς τοῖς κακοῖς. ἀλλὰ τί; τὰς μὲν τῶν εὐσεβῶν ἐν κρείττονί που χώρῳ μένειν, τὰς δὲ ἀδίκους...ἐν χείρονι, τὸν τῆς κρίσεως ἐκδεχομένας χρόνον τότε. οὕτως αἱ μέν, ἄξιαι τοῦ θεοῦ φανεῖσαι, οὐκ ἀποθνήσκουσιν ἔτι· αἱ δὲ κολάζονται, ἕστ' ἂν αὐτὰς καὶ εἶναι καὶ κολάζεσθαι ὁ θεὸς θέλῃ *ib.*5.2,3(488A); Clem.*str.*4.26(p.322.29; M.8.1377A); Or.*Cels.*6.23 (p.93.24; M.11.1325C); ὅταν ἐξέλθῃ ἐκ τοῦ σώματος ψ. ἀνθρώπου μυστήριόν τι μέγα ἐκεῖ ἐπιτελεῖται. ἐὰν γὰρ ᾖ ὑπεύθυνος ἐν ἁμαρτίαις, ἔρχονται χοροὶ δαιμόνων...παραλαμβάνουσι τὴν ψ. ἐκείνην, καὶ κρατοῦσιν εἰς τὸ ἴδιον μέρος...ἀπὸ τοῦ μέρους τοῦ ἀγαθοῦ ὀφείλεις νοῆσαι, ὅτι οὕτως ἔχει τὰ πράγματα...ὅταν ἐξελθῶσιν ἀπὸ τοῦ σώματος, οἱ χοροὶ τῶν ἀγγέλων παραλαμβάνουσιν αὐτῶν τὰς ψ. Mac.Aeg.*hom.* 22(M.34.660A,B); souls can be saved only if they have image of Christ impressed on them, *ib.*30.5(724C,D); ὅταν γὰρ ἐξέλθῃ ἡ ψ. ἀπὸ τοῦ σώματος, πορεύονται μετ' αὐτῆς οἱ ἄγγελοι. καὶ τότε ἐξέρχονται εἰς συνάντησιν αὐτῆς πᾶσαι αἱ δυνάμεις τοῦ σκότους, θέλουσαι αὐτὴν κατασχεῖν, ἐξερευνῶντες εἰ ἄρα ἔχουσί τι τῶν ἑαυτῶν ἐν αὐτῇ. τότε οὖν οἱ ἄγγελοι πολεμοῦσιν αὐτοῖς, ἀλλὰ τὰ ἔργα ἃ ἔπραξε περιτειχίζει καὶ φυλάττει αὐτὴν ἀπ' αὐτῶν, ἵνα μὴ ἁψωνται αὐτῆς Esaias 57.16; ‡Ath. *qu.Ant.*19(M.28.609A); **7.** necessity of purification either before or after death in order to obtain beatitude εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας, εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψ. τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφύσεως, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐναποδισθήσεται...εἰ οὖν πάσης κακίας ἡ ψ. καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται Gr.Nyss.*anim.et res.*(M.46.89B); τῆς κακίας τῷ ἀκοιμήτῳ πυρὶ δαπανωμένης, ἀνάγκη πᾶσα καὶ τὴν ἐνωθεῖσαν αὐτῇ ψ. ἐν τῷ πυρὶ εἶναι, ὡς ἂν τὸ κατεσπαρμένον νάθου καὶ ὑλώδες, καὶ κίβδηλον ἀπαναλωθῇ τῷ αἰωνίῳ πυρὶ δαπανώμενον *ib.*(100A); hence souls can profit if eucharist is offered for them οὐκ αἰσθάνονταί τινος εὐεργεσίας καὶ αἱ τῶν ἁμαρτωλῶν ψ., γινομένων ὑπὲρ αὐτῶν συνάξεων καὶ εὐποιῶν καὶ προσφορῶν; εἰ μή τινες εὐεργεσίας μετεῖχον ἐκ τούτου, οὐκ ἂν ἐν τῇ προσκομιδῇ ἐμνημονεύοντο. ἀλλ' ὥσπερ ὅταν ἡ ἄμπελος ἀνθεῖ ἔξω ἐν τῷ ἀγρῷ, αἰσθάνεται δὲ τῆς ὀσμῆς αὐτῆς ὁ ἀποκεκλεισμένος οἶνος, καὶ συναν θεῖ καὶ αὐτός· οὕτω νόει καὶ τὰς τῶν ἁμαρτωλῶν ψ. μετέχειν εὐεργεσίας τινὸς ἐκ τῆς ὑπὲρ αὐτῶν γενομένης ἀναιμάκτου θυσίας καὶ εὐποιΐας, ὡς μόνος ἐπίσταται...θεὸς ἡμῶν ‡Ath.*qu.Ant.* 34(M.28.617B); and they are prayed for in liturgy, Seraj.*Luc.*13.18; **8.** description of soul's eternal life; **a.** of beatitude, ref. 2Cor.5:3 ἐὰν γὰρ καταλυθῇ ἡμῶν ὁ οἶκος τοῦ σώματος, οὐκ ἔχομεν ἄλλον οἶκον, εἰς ὃν καταλύσει ἡμῶν ἡ ψ. 'εἶγε', φησί, 'καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα' τουτέστιν ἀπὸ τῆς κοινωνίας...τοῦ ἁγίου πνεύματος, εἰς ἣν μόνον ἡ πιστὴ ψ. ἀναπαύεσθαι δύναται Mac.Aeg.*hom.*5.7(M.34. 512D); ψ. πᾶσα καλὴ καὶ θεοφιλής, ἐπειδάν, τοῦ συνδεδεμένου λυθεῖσα σώματος, ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη Gr.Naz.*or.*7.21(M.35.781B); ἡ ψ. ἐξέρχεται τοῦ σώματος καὶ προσέρχεται τοῖς ἀγγέλοις· καὶ ἰδόντες τὴν ψ. ἅσπιλον ἐξερχομένην χαίρουσιν οἱ ἄγγελοι, καὶ ἁπλώσαντες τὰς στολὰς αὐτῶν δέχονται αὐτήν· τότε μακαριοῦσιν αὐτὴν οἱ ἄγγελοι λέγοντες· μακαρία σὺ ψ., ὅτι ἐπληρώθη τὸ θέλημα τοῦ κυρίου ἐν σοί *V.Zos.*13 (p.105.2ff.); **b.** of damnation ἐμπαθὴς ψ., πάντοτε κολάζεται...ὑπὸ τῆς ἰδίας κακοεξίας, ἔχουσα ἀεὶ τὴν πικρὰν μνήμην...τῶν παθῶν...πικροτέρα πάσης γεέννης ἡ κόλασις τῆς αἰσχύνης...πάντα γὰρ μέμνηνται αἱ ψ. τῶν ἐνταῦθα...καὶ λόγων καὶ ἔργων καὶ ἐνθυμήσεων Dor.*doct.*12.3(M.88. 1752C–1753A); **c.** of souls' partic. characteristics and activities in eternity; facilities for knowing each other, ‡Ath.*qu.Ant.*22(M.28. 612A); relations to the living ἆρα δὲ μέμνηνται ἡμῶν αἱ ἀπελθοῦσαι ψ.;...αἱ μὲν τῶν ἁγίων πάντως, αἱ δὲ τῶν ἁμαρτωλῶν...οὐδαμῶς. τὴν γὰρ μένουσαν αὐτοῖς ἐκδεχόμενοι κόλασιν, εἰκότως περὶ ταύτης καὶ μόνον μεριμνῶσι, μηδενὸς ἑτέρου φροντίζοντες *ib.*32(616C,D); their way of life τί...τὸ ἔργον ἐκεῖ τῶν προαπελθουσῶν ψ.; ψ. σώματος ἀπηλλαγμένη οὔτε ἀγαθόν τι οὔτε πονηρὸν διαπράξασθαι δύναται... ὥσπερ γὰρ ἡ λύρα, ἐὰν μὴ ἔχει τὸν κρούοντα, ἀργὴ ὁρᾶται καὶ ἄπρακτος· οὕτω καὶ ἡ ψ. καὶ τὸ σῶμα, ἐξ ἀλλήλων χωρισθέντα, οὐδὲν ἐνεργῆσαι δύναται. αἱ γοῦν τῶν ἁγίων ψ., ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνεργούμεναι, μετὰ ἀγγέλων ἐν χώρᾳ ζώντων θεὸν ὑμνοῦσι *ib.*33(617A); **9.** soul's reunion with body, v. ἀνάστασις; **a.** in gen. ἑκάστῳ σώματι ἡ ἰδία ψ. ἀποδοθήσεται Iren.*fr.*12(M.7.1236A); exeg. Eccl.12:5 παχύνεται ἡ ἀκρίς (ἡ πτερωτὴ ψ., τὸ σῶμα περιβαλλόμενη) Cyr.H.*catech.*15.20; ἐν δὲ τῇ ἀναστάσει τῶν σωμάτων, ὧν προανέστησαν καὶ προεδοξάσθησαν αἱ ψ., τότε καὶ τὰ σώματα συνδοξάζονται, καὶ φωτίζονται τῇ ἀπὸ τοῦ νῦν πεφωτισμένῃ καὶ δεδοξασμένῃ ψ. Mac.Aeg.*hom.*34.2(M.34.745A); Gr.Nyss.*or.catech.*16(p.72.9; M.45.52D) cit. s. ἀνάστασις; **b.** exeg. 1Thess.4:15f. οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον (τουτέστι τὰ σκηνώματα. ἐνεκρώθησαν γὰρ ἁπαμβλισθέντα τῶν ψ.). ἔπειτα ἡμεῖς οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα, τὰς ψ. λέγων· ἡμεῖς γὰρ κυρίως οἱ ζῶντές ἐσμεν αἱ ψ., αἵτινες μετὰ τῶν σωμάτων, ἀπειληφυῖαι ταῦτα, ἐν νεφέλαις ὑπαντησόμεθα Meth.*symp.*6.4(p.69.8ff.; M.18.120B); **c.** its necessity argued on ground of justice εἰ δὲ φθείροιτο μὲν τὸ σῶμα ...μένοι δὲ ἡ ψ. καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὐδ' οὕτως ἕξει χώραν ἡ κατ' αὐτῆς κρίσις, μὴ παρούσης δικαιοσύνης...κατορθωμάτων τε γὰρ τιμωμένων, ἀδικηθήσεται τὸ σῶμα σαφῶς ἐκ τοῦ κοινωνῆσαι μὲν τῇ ψ. τῶν ἐπὶ τοῖς σπουδαζομένοις πόνων, μὴ κοινωνῆσαι δὲ τῆς ἐπὶ τοῖς κατορθωθεῖσι τιμῆς καὶ συγγνώμης μὲν τυγχάνειν πολλάκις τὴν ψ. ἐπί τινων πλημμελημάτων διὰ τὴν τοῦ σώματος ἔνδειαν ...ἐκπίπτειν δὲ αὐτὸ τὸ σῶμα ἐπὶ τοῖς κατορθωθεῖσι κοινωνίας, ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ συνδιήνεγκεν πόνους. καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σῴζεται τῇ ψ. τὸ δίκαιον, εἴ γε μόνῃ τίνοι δίκην ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ συνδιήνεγκεν πόνους. καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σῴζεται τῇ ψ. τὸ δίκαιον, εἴ γε μόνη τίνοι δίκην ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ συνδιήνεγκεν πόνους. καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σῴζεται τῇ ψ. τὸ δίκαιον, εἰ

20f.(pp.73.17–74.7; M.6.1013C–1016B); Epiph.*anc.*88(p.109.26f.; M.43.180D); *ἀδικεῖς τὴν ψ. συνηγορίας προσχήματι, καὶ τῇ πρὸς τὸ σῶμα μάχῃ κατ' ἐκείνης ὁπλίζῃ. τὰς γὰρ τῶν πραττομένων ἀμοιβὰς μὴ μερίζων τῇ ψ., καὶ τὴν τῆς σαρκὸς ὡς μόνῃ πλημμελούσῃ τιμωρίαν εἰσάγεις. εἰ γὰρ ψ. μόνης αἱ τῶν πόνων...ἀμοιβαί, δῆλον ὅτι καὶ ὧν ἥμαρτεν ὁ ἄνθρωπος αἱ τιμωρίαι...μὴ σώματι καὶ ψ. καθίζῃς κατ' ἀλλήλων κριτήριον. σῶμα μὲν γὰρ εἰκότως καταβοήσεται ψυχῆς, τῶν κατορθωμάτων αὐτοῦ τὰς τιμὰς ἁρπαζούσης· ψ. δ' αὖ σώματος, τὰς ὀφειλομένας πληγὰς ἐκείνῳ μόνῃ εἰσπραττομένη* ‡Nil.*fr.Pasch.*1(M.79.1493B,C); *αἱ...ἱεραὶ ψ. πρὸς τὴν ἐπὶ τὰ χείρω κατὰ τὸν τῇδε βίον δυνάμεναι καταπίπτειν τροπήν, ἐν τῇ παλιγγενεσίᾳ τὴν ἐπὶ τὸ ἄτρεπτον ἕξουσι...μετάταξιν. τὰ δὲ καθαρὰ τῶν ἱερῶν ψ., ὁμόζυγα...σώματα συναπογραφέντα...κατὰ τοὺς θείους αὐτῶν ἱδρῶτας, ἐν τῇ τῶν ψ. ἀτρέπτῳ...ἱδρύσει, συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν· ἐνωθέντα γὰρ αἷς ἤνωντο κατὰ τὸν τῇδε βίον ἱεραῖς ψ. ... τὴν θεοειδῆ...ἀπολήψεται λῆξιν* Dion.Ar.*e.h.*7.1.1(M.3.553A,B); heterodox opinions refuted *τῶν δὲ ἀνιέρων...οἱ δὲ τὴν σωματικὴν εἰσάπαξ ἀπορρήγνυσθαι τῶν οἰκείων ψ. συζυγίαν, ὡς ἀνάρμοστον αὐταῖς, ἐν θεοειδεῖ ζωῇ καὶ μακαρίαις λήξεσιν, οὐκ ἐννοήσαντες...ἀρχθεῖσαν ἤδη τὴν καθ' ἡμᾶς ἐν Χριστῷ...ζωήν. ἄλλοι δὲ σωμάτων ἄλλων ἀπονέμουσι ταῖς ψ. συζυγίας, ἀδοκοῦντες τὸ ἐπ' αὐτοῖς...τὰ συμπονήσαντα ταῖς θείαις ψ. ib.*7.1.2 (553B,C); *εἰ γὰρ ἐν ψ. καὶ σώματι τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψ. καὶ τὸ συναθλῆσαν αὐτῇ σῶμα... ἔνθεν ἡ θεία δικαιοσύνη μετὰ τοῦ σφετέρου σώματος αὐτῇ δωρεῖται τὰς ἀμοιβαίας λήξεις...διὸ καὶ τῶν ἱερῶν ἡ θεία θεσμοθεσία τὰς θεαρχικὰς κοινωνίας ἀμφοῖν δωρεῖται· τῇ ψ. μὲν ἐν καθαρᾷ θεωρίᾳ...τῷ σώματι δὲ κατὰ τὸ θειότατον ὡς ἐν εἰκόνι μύρον ib.*7.3.9(565B); **10.** Gnost.; **a.** distinction between different types of souls and their destiny *τὸ μὲν χοϊκὸν εἰς φθορὰν χωρεῖν· καὶ τὸ ψυχικόν, ἐὰν τὰ βελτίονα ἕληται, ἐν τῷ τῆς μεσότητος τόπῳ ἀναπαύ[σ]εσθαι· ἐὰν δὲ τὰ χείρω, χωρήσειν καὶ αὐτὸ πρὸς τὰ ὅμοια· τὰ δὲ πνευματικά, ἃ ἂν κατασπείρῃ ἡ Ἀχαμὼθ ἕκτοτε ἕως τοῦ νῦν δικαίαις ψ., παιδευθέντα ἐνθάδε καὶ ἐκτραφέντα, διὰ τὸ νήπια ἐκπεπέμφθαι, ὕστερον τελειότητος ἀξιωθέντα, νύμφας ἀποδοθήσεσθαι τοῖς τοῦ Σωτῆρος ἀγγέλοις δογματίζουσι, τῶν ψ. αὐτῶν ἐν μεσότητι κατ' ἀνάγκην μετὰ τοῦ Δημιουργοῦ ἀναπαυσαμένων εἰς τὸ παντελές. καὶ αὐτὰς μὲν τὰς ψυχικὰς [sc. ψυχάς] πάλιν ὑπομερίζοντες λέγουσιν, ἃς μὲν φύσει ἀγαθάς, ἃς δὲ φύσει πονηράς· καὶ τὰς μὲν ἀγαθὰς ταύτας εἶναι τὰς δεκτικὰς τοῦ σπέρματος γινομένας· τὰς δὲ φύσει πονηρὰς μηδέποτε ἂν ἐπιδέξασθαι ἐκεῖνο τὸ σπέρμα* Iren.*haer.*1.7.5(M.7.520A); cf.*ib.*1.7.1(512B–513A); *λαβὼν χοῦν ἀπὸ τῆς γῆς...ποικίλης ὕλης μέρος, ψ. γεώδη καὶ ὑλικὴν ἐτεκτήνατο ἄλογον καὶ τῇ τῶν θηρίων ὁμοούσιον* Clem.*exc.Thdot.*50(p.123.10; M.9.681D); *ἡ...τῶν πνευματικῶν ἀνάπαυσις ἐν κυριακῇ, ἐν ὀγδοάδι, ἣ κυριακὴ ὀνομάζεται, παρὰ τῇ μητρί, ἐχόντων τὰς ψ., τὰ ἐνδύματα, ἄχρι συντελείας, αἱ δὲ ἄλλαι πίστεις ψ. παρὰ τῷ δημιουργῷ, περὶ δὲ τὴν συντέλειαν ἀναχωροῦσι καὶ αὗται εἰς ὀγδοάδα ib.*63(p.128.10ff.; 689B); exeg. Gen.2:23 *ἐν τῷ παραδείσῳ... χοϊκὴ σὰρξ οὐκ ἀναβαίνει, ἀλλ' ἦν τῇ ψ. ⟨τῇ⟩ θείᾳ οἷον σὰρξ ἡ ὑλική. ταῦτα σημαίνει 'τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου', τὴν θείαν ψ. αἰνίσσεται τὴν ἐγκεκρυμμένην τῇ σαρκί...'καὶ σὰρξ ἐκ τῆς σαρκός μου' τὴν ὑλικὴν ψ. σῶμα οὖσαν τῆς θείας ψ. ib.*51(pp.123.20–124.3; 684A,B); **b.** salvation of souls only, not of bodies, Iren.*haer.*1.24.5(M.7.678A); refuted, *ib.*2.29.1(812C); Adam.*dial.*2.7(p.70.8ff.; M.11.1769A); scriptural argument *οὔτε προφῆται οὔτε ἀπόστολοι μνήμην ἐποιήσαντο σαρκὸς ἢ αἵματος ἀλλὰ ψ. μόνης, ἣν καὶ ηὔχοντο σῶσαι ib.*5.20(p.214.4; 1860A); refuted *δέδεικται δὲ ὅτι ὅλον τὸν ἄνθρωπον ψ. ὀνομάζει ἡ γραφή ib.*(p.214.25; 1860B); **c.** description of progressive purification of souls (Manichean), Hegem.*Arch.*8(pp.12.14–13.13; M.10.1440B–1441A); cf.Thdt.*haer.*1.26(4.320); **11.** resurrection of souls (heret.) *ἐπὶ τῆς Ἀραβίας...ἐπιφύονται δόγματος ἀλλοτρίου τῆς ἀληθείας εἰσηγηταί, οἳ ἔλεγον τὴν ἀνθρωπείαν ψ. τέως μὲν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἅμα τῇ τελευτῇ συναποθνήσκειν τοῖς σώμασιν... αὖθις δέ ποτε κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν σὺν αὐτοῖς ἀναβιώσεσθαι* Eus.*h.e.*6.37(M.20.597B); refuted *ἐὰν γὰρ ἀνάστασιν εἴπωσιν αἱ αἱρέσεις καὶ ὅλως ἀνάστασιν ἡγοῦνται, περὶ ψ. δὲ τοῦτο ὁρίζωνται, εὔηθές ἐστι τὸ τοιοῦτον. πῶς γὰρ ψ. ἀναστήσεται ἡ μὴ πεπτωκυῖα; οὐ γὰρ θάπτομεν τὰς ψ. ἐν τοῖς μνημείοις, ἀλλὰ τὰ σώματα. ψ. γὰρ οὐ πίπτουσιν, ἀλλ' αἱ σάρκες...τοίνυν εἰ ἀνάστασις παρ' αὐτοῖς ὁμολογεῖται ...δῆλόν ἐστιν ⟨ὅτι⟩ οὐ ψ., ἀλλὰ σώματος τοῦ πεπτωκότος* Epiph.*anc.* 86(p.106.11ff.; M.43.176C); **12.** pagan; superstitious practices as evidence of belief in immortality *ψ. ἀνθρωπίνων κλήσεις...πεισάτωσαν ὑμᾶς, ὅτι καὶ μετὰ θάνατον ἐν αἰσθήσει εἰσὶν αἱ ψ.* Just.*1apol.* 18.3(M.6.356A); punishment after death also taught by pagans *τῷ δὲ κολάζεσθαι ἐν αἰσθήσει καὶ μετὰ θάνατον οὔσας τὰς τῶν ἀδίκων ψ., τὰς δὲ τῶν σπουδαίων ἀπηλλαγμένας τῶν τιμωριῶν εὖ διάγειν ib.*20.4 (357C); who derived ideas from scripture, *ib.*44.9(396A); Or.*Cels.*7.5(p.156.25; M.11.1425C).

G. non-human souls; **1.** essential difference between human and non-human souls *ψ. ... ἀόρατοι, οὐ μόνον αἱ λογικαί, ἀλλὰ καὶ αἱ τῶν ἀλόγων ζώων* Clem.*str.*6.18(p.516.11; M.9.396C); *βούλεται ὁ Κέλσος (καὶ γὰρ ἐν πολλοῖς Πλατωνίζειν θέλει) ὁμοειδῆ εἶναι πᾶσαν ψ., καὶ μηδὲν διαφέρειν τὴν τοῦ ἀνθρώπου τῆς τῶν μυρμήκων καὶ τῶν μελισσῶν· ὅπερ κατάγνοντός ἐστι τὴν ψ. ἀπὸ τῶν ἀψίδων τοῦ οὐρανοῦ οὐκ ἐπὶ τὸ ἀνθρώπινον σῶμα μόνον ἀλλὰ καὶ ἐπὶ τὰ λοιπά. τούτοις δ' οὐ πείσονται Χριστιανοί, προκατειληφότες τὸ ⟨κατ' εἰκόνα⟩ γεγονέναι θεοῦ τὴν ἀνθρωπίνην ψ. καὶ ὁρῶντες ὅτι ἀμήχανόν ἐστι τὴν ⟨κατ' εἰκόνα⟩ θεοῦ δεδημιουργημένην φύσιν πάντῃ ἀπαλεῖψαι τοὺς χαρακτῆρας αὐτῆς καὶ ἄλλους ἀναλαβεῖν οὐκ οἶδα κατ' εἰκόνας τίνων γεγενημένους ἐν τοῖς ἀλόγοις* Or.*Cels.*4.83(p.354.12ff.; M.11.1157B); which rules out metempsychosis, Bas.*hex.*8.2(1.71C,D; M.29.168A,B); **2.** world soul; **a.** in pagan philosophy *ὅ γε τῆς αἱρέσεως πατήρ* [sc. Aristotle], *τῶν ὅλων οὐ νοήσας τὸν πατέρα, τὸν καλούμενον ὕπατον ψ. εἶναι τοῦ παντὸς οἴεται· τουτέστι τοῦ κόσμου τὴν ψ. θεὸν ὑπολαμβάνων αὐτὸς αὐτῷ περιπείρεται* Clem.*prot.*5(pp.50.29–51.1; M.8.169B); *Ἑλλήνων...τινες, ψ. τοῦ κόσμου τὸν θεὸν εἶπον* Cyr.H.*catech.*8.2; **b.** Ophite *ἡ τῶν ὅλων ψ. καὶ ὠνομάζετο Λευϊαθάν, ὄντινα αἱ Ἰουδαίων γραφαὶ ὅ τί ποτ' οὖν αἰνισσόμεναι ἔλεγον πεπλάσθαι ὑπὸ τοῦ θεοῦ παίγνιον* Or.*Cels.*6.25 (p.95.5; M.11.1329A); *ib.*6.35(p.104.15; 1349B); **3.** souls of stars, cf. *de caelestibus requirendum est quod non eo tempore, quo factus est mundus, solis anima vel quodcumque eam appellari oportet, esse coeperit, sed antequam lucens illud et ardens corpus intraret. de luna et stellis similiter sentiamus, quod ex causis praecedentibus licet invitae conpulsae sint subici vanitati,* Or.*princ.*2.8.3(p.161.8ff.; M.11. 223C,D); *ἡ ψ. τοῦ ἡλίου ἐν σώματι καὶ πᾶσα ἡ κτίσις, περὶ ἧς ὁ ἀπόστολός φησι· πᾶσα ἡ κτίσις στενάζει* id.*Jo.*1.17(p.21.21; M.14.52C); *πρεσβυτέρα ἡ ψ. τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα* id. *princ.*1.7.4(p.91.5; M.11.174A); **4.** plant and animal souls *Ἀριστοτέλης δὲ τῆς φυτικῆς τε καὶ θρεπτικῆς ψ. μετέχειν οἴεται τὰ φυτά* Clem.*str.*8.4(p.86.2; M.9.573A); ref. divination *εἴπερ δὲ θεία ἐστὶν ἡ τῶν ὀνείρων ψ. διὰ τὸ δι' αὐτῶν προλέγεσθαι τὰ μέλλοντα, πῶς οὐχὶ μᾶλλον ὅπου κληδόνες ἀπὸ ἀνθρώπων λαμβάνονται, θείαν εἶναι φήσομεν τὴν ψ. ἐκείνων, δι' ὧν αἱ κληδόνες ἀκούονται;...ἤδη δὲ ὅρα, εἴπερ οἱ ὄρνιθες θείαν ἔχουσι ψ. καὶ αἰσθάνονται τοῦ θεοῦ ἤ, ὡς Κέλσος ὀνομάζει, τῶν θεῶν· δηλονότι καὶ ἡμεῖς πταρνύμενοι οἱ ἄνθρωποι ἀπό τινος ἐν ἡμῖν οὔσης θειότητος καὶ μαντικῆς περὶ τὴν ψ. ἡμῶν πταρνύμεθα* Or. *Cels.*4.94(p.367.3ff.; M.11.1172D–1173D); Anast.S.*serm.imag.*3(M.89. 1165D).

II. spiritual life of soul; **A.** foundations; **1.** affinity between God and soul made in his image (cf. εἰκών). Or.*princ.*2.3.3(p.117.20; M. 11.191B); id.*mart.*47(p.42.30; M.11.629A); *τὸ συγγενὲς ἐπιγνοῦσα ἡ λογικὴ ψ. ἀπορρίπτει μὲν ἃ τέως ἐδόξαζεν εἶναι θεοὺς φίλτρον δ' ἀναλαμβάνει φυσικὸν τὸ πρὸς τὸν κτίσαντα* id.*Cels.*3.40(p.236.22; M.11. 972C); *ib.*7.66(p.216.9; 1516A); Meth.*symp.*6.1(p.64.18; M.18.113B); Cyr.H.*catech.*4.18; *οὔτε γὰρ φύσεως τῆς θεότητός ἐστιν ἡ ψ., οὔτε φύσεως τοῦ σκότους τῆς πονηρίας, ἀλλ' ἐστὶ κτίσμα τι νοερόν, καὶ ὡραῖον...καὶ καλὸν ὁμοίωμα καὶ εἰκὼν θεοῦ* Mac.Aeg.*hom.*1.7(M.34. 457B); *ὥσπερ βρέφος νεογενὲς εἰκόνα τοῦ τελείου διασώζει ἀνδρός, οὕτω δὴ καὶ ψ. εἰκὼν τίς ἐστι τοῦ πεποιηκότος αὐτὴν θεοῦ. ὡς οὖν καὶ παιδίον κατὰ μέρος μὲν αὐξανόμενον ἐκ μέρους ἐπιγινώσκει καὶ τὸν πατέρα...οὕτω καὶ ἡ ψ. πρὸ τῆς παρακοῆς προκόπτειν ἔμελλε* id. *pat.*18(M.34.877D–880A); cf. *χρὴ καὶ τὴν ψ. πρὸς τὴν ἰδίαν ἀπιδεῖν εἰκόνα, καὶ ὅπερ ἂν ἴδῃ ἐν τῷ χαρακτῆρι, ᾧ ἀφωμοίωται, ὡς ἴδιον ἑαυτῆς τοῦτο θεάσασθαι...ἐπὶ...τῆς ἐν τῷ κατόπτρῳ μορφῆς, ἡ εἰκὼν πρὸς τὸ ἀρχέτυπον σχηματίζεται· ἐπὶ δὲ τοῦ τῆς ψ. χαρακτῆρος, τὸ ἔμπαλιν νενοήκαμεν· κατὰ γὰρ τὸ θεῖον κάλλος, τὸ τῆς ψ. εἶδος ἀπεικονίζεται. οὐκοῦν ὅταν πρὸς τὸ ἀρχέτυπον ἑαυτῆς βλέπῃ ἡ ψ., τότε δι' ἀκριβείας ἑαυτὴν καθορᾷ. τί τοίνυν ἐστὶ τὸ θεῖον, ᾧ ἡ ψ. προσωμοίωται; οὐ σῶμα, οὐ σχῆμα...οὐκ ἄλλο τι τοιοῦτον οὐδέν, δι' ὧν ἡ ὑλικὴ κτίσις γνωρίζεται· ἀλλὰ...νοερόν τι καὶ ἄϋλον...εἰ τοίνυν τοιοῦτος ὁ χαρακτὴρ τοῦ ἀρχετύπου καταλαμβάνεται, ἀκόλουθον πάντως κατὰ τὸ εἶδος ἐκεῖνο μεμορφωμένην τὴν ψ. διὰ τῶν αὐτῶν χαρακτήρων ἐπιγνωσθῆναι· ὥστε καὶ ταύτην ἄϋλον τε εἶναι...καὶ ἀσώματον* Gr. Nyss.*mort.*(M.46.509C,D); *κατ' εἰκόνα εἶπεν, ἐπειδὴ ἄφθαρτον καὶ αὐτεξούσιον ἐποίησεν ὁ θεὸς τὴν ψ.* Dor.*doct.*12.6(M.88.1757C); but dist. from image *δύο πνευμάτων διαφορὰς ἴσμεν ἡμεῖς, ὧν τὸ μὲν καλεῖται ψ., τὸ δὲ μεῖζον μὲν τῆς ψ., θεοῦ δὲ εἰκὼν καὶ ὁμοίωσις· ἑκάτερα δὲ παρὰ τοῖς ἀνθρώποις τοῖς πρώτοις ὑπῆρχεν, ἵνα τὸ μέν τι ὦσιν ὑλικοί, τὸ δὲ ἀνώτεροι τῆς ὕλης* Tat.*orat.*12(p.12.19; M.6.829C); hence reason for the soul's existence is to diffuse divine goodness, Gr.Nyss.*anim.et res.*(M.46.105A); **2.** dignity and beauty of soul, Clem.*paed.*3.6(p.257.18; M.8.605B); *ψ. γὰρ παντὸς σώματος... πρᾶγμα τιμιώτερον, εἰ καὶ τὸ κατ' εἰκόνα τοῦ κτίσαντος ψ. μὲν χωρεῖ οὐδαμῶς δὲ τὸ σῶμα* Or.*Cels.*8.49(p.265.24; M.11.1589B,C); *μὴ ἁπλῶς*

τῇ νοερᾷ τῆς ψ. οὐσίᾳ πρόσχῃς,...τίμιόν τι σκεῦός ἐστιν ἡ ἀθάνατος ψ. Mac.Aeg.*hom.*26.1(M.34.676A); τὴν...ψ., ὡς ἐκ θειοτέρων ἔχων ἦκεν, ἄλλῳ νομίζειν ὑποκεῖσθαι προσῆκον, καὶ θεῷ ὀφείλεσθαι παρ' αὐτῆς χρέα τὰ πάντων χρεῶν πρεσβύτατα Bas.*ep.*276(3.421A; M.32.1012B); ψ. ... τὴν ἐκ θεοῦ καὶ θείαν, καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν Gr. Naz.*or.*2.17(M.35.425B); εἴ γε ἐνῆν τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸ τῆς ψ. κάλλος ἰδεῖν, κατεγέλασας ἂν τῶν σωματικῶν ὑποδειγμάτων Chrys. *Thdr.*1.14(1.22E); not affected by time or disease, id.*anom.*12.5 (1.556E); reflected in body, id.*hom.34.5 in Mt.*(7.396A); consisting in virtue, id.*Eutrop.*2.17(3.403D); αἱ ψ. ἡμῶν συγγενεῖς εἰσι τῶν ἀγγέλων Sever.*creat.*1.3(M.56.434); ἐκ τοῦ κυρίου μέρους τῆς ὄψεως δεικνὺς τὸ ἀξίωμα τῆς ψ., ὅτι ἡγεῖται πάσης αὐτοῦ τῆς ὑποστάσεως Proc.G.*Gen.*2:7(M.87.153C); πᾶς ὁ κόσμος ψυχῆς οὐκ ἀντάξιος· ὁ μὲν γὰρ παροίχεται· ἡ δὲ ἄφθαρτος Jo.Clim.*past.*13(M.88.1196D); **3.** divine indwelling, cf. *deus...eas animas, quae verbi ejus ac sapientiae efficiuntur capaces, una cum filio suo inhabitans,* Or. *princ.*1.1.2(p.17.27; M.11.122A); *ib.*2.3.2(p.116.4; 189C); ἐν τῇ ἐμῇ ψ. ὀφείλω ἔχειν ἔνδον μου τὸν Χριστόν id.*hom.5.6 in Jer.*(p.36.21; M.13. 304D); ἐν ταῖς γραφαῖς λέγεται, τὸ εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ἐν τῇ τοῦ ἀνθρώπου ψ. *ib.8.1*(p.56.2; 336C); καθαρὰν ἔχουσιν αὐτὴν τὴν ψ. καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν αὐτῇ κατοικεῖ Meth. *symp.*11(p.138.11; M.18.216B); οἰκείωσις δὲ πνεύματος πρὸς ψ. οὐχ ὁ διὰ τόπου προσεγγισμὸς...ἀλλ' ὁ χωρισμὸς τῶν παθῶν, ἅπερ ἀπὸ τῆς πρὸς τὴν σάρκα φιλίας ὕστερον ἐπιγινόμενα τῇ ψ., τῆς ἀπὸ τοῦ θεοῦ οἰκειότητος ἠλλοτρίωσε Bas.*Spir.*23(3.20A; M.32.109A); τὴν περὶ θεοῦ ἔννοιαν, οἷον ἐν ναῷ τινι...τῇ σαυτοῦ ψ. ἐνιδρυμένην ἔχοντα id.*ep.* 146(3.237A; M.32.596B); πνεύματος ἁγίου...μετέλαβον...σωτηριώδους πυρός...λαμπρύνοντος δὲ τὴν ψ. τοῦτο μέλλει νῦν ἔρχεσθαι καὶ ἐφ' ὑμᾶς· καὶ τὰς μὲν ἀκανθώδεις ὑμῶν ἁμαρτίας...ἀναλίσκειν, τὸ δὲ τῆς ψ. ὑμῶν κτῆμα τὸ τίμιον ἔτι λαμπρύνειν Cyr.H.*catech.*17.15; ἐνοικεῖ...ἡ θεία τριὰς ἐν τῇ καθαρῶς ἐχούσῃ ψ. Mac.Aeg.*carit.*28(M.34.932A).

B. its disturbance through sin; **1.** sin not natural to soul, but rather a disease πάθη...ἃ δὴ ψυχῆς νόσοι Clem.*prot.*11(p.81.17; M. 8.233B); id.*paed.*1.8(p.128.12; M.8.328C); εἰσὶ...παρ' ἡμῖν αἱ ἀρεταὶ κατὰ φύσιν, πρὸς ἃς οἰκείωσις τῆς ψ. οὐκ ἐκ διδασκαλίας ἀνθρώπων, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἐνυπάρχει. ὡς γὰρ οὐδεὶς ἡμᾶς λόγος διδάσκει τὴν νόσον μισεῖν, ἀλλ' αὐτόματον ἔχομεν τὴν πρὸς τὰ λυποῦντα διαβολήν· οὕτω καὶ τῇ ψ. ἔστι τις ἀδίδακτος ἔκκλισις τοῦ κακοῦ. κακὸν δὲ πᾶν ἀρρωστία ψυχῆς Bas.*hex.*9.4(1.83D,E; M.29.196B,C); ψ. ... ἐποίησεν ὁ θεός, οὐχὶ δὲ ἁμαρτίαν· ἐκακώθη δὲ ἡ ψ., παρατραπεῖσα τοῦ κατὰ φύσιν id.*hom.*9.6(2.78E; M.31.344B); cf.*ib.*9.5(78B; M.341C); ψ. τίς εἶναι λέγει κακάς; εἰ μέν, ὅτι συγγίνονται κακοῖς προνοητικῶς...τοῦτο οὐ κακόν, ἀλλ' ἀγαθόν...εἰ δὲ τὸ κακύνεσθαι ψ. φαμεν, ἐν τίνι κακύνονται, εἰ μὴ ἐν τῇ τῶν ἀγαθῶν ἕξεων...ἐλλείψει; Dion.Ar.*d.n.*4.24(M.3.725D–728A); ἆρα ἡ ψ. τῶν κακῶν αἰτία, καθάπερ τὸ πῦρ τοῦ θερμαίνειν...ἡ ἀγαθὴ μὲν ἡ τῆς ψ. φύσις, ταῖς δὲ ἐνεργείαις, ποτὲ μὲν οὕτως ἔχει, ποτὲ οὕτως; εἰ μὲν φύσει καὶ τὸ εἶναι αὐτῆς κακόν, καὶ πόθεν αὐτῇ τὸ εἶναι; ἢ ἐκ τῆς δημιουργικῆς τῶν ὅλων ὄντων ἀγαθῆς αἰτίας; ἀλλ' εἰ ἐκ ταύτης, πῶς κατ' οὐσίαν κακόν; *ib.*4.30(732A); **2.** causes leading soul into sin κάθοδον αὐτῇ [sc. ἀκολασίᾳ] διδόντες εἰς ψ. διὰ τῶν αἰσθήσεων Clem.*paed.*2.8(p.197.19; M.8.473B); *ib.*3. 11(p.266.32; 628A); αἱ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀναδόσεις καχεξίαν προστρίβονται ψυχῇ, κατασκεδαννύουσαι τὰ εἴδωλα τῆς ἡδονῆς ἐπίπροσθε τῆς ψ. ἐπισκοτοῦσι γοῦν τῷ φωτὶ τῷ νοερῷ ἐπισπωμένης τῆς ψ. τὰς ἐκ τῆς ἐπιθυμίας ἀναδόσεις id.*str.*2.20(p.175.26f.; M.8.1060A,B); id.*g.d.s.*20(p.172.25; M.9.624D); Or. *fr.52 in Lam.*(p.257.26; M.13. 636B) cit. s. αἴσθησις; δείξει τῆς τρυφῆς τὴν ἀηδίαν, καὶ τὴν ζημίαν... τὰς νόσους καταλέγοντα ὅσας ἐναπομόργνυται τῇ ψ. πολλῷ πλείους καὶ χαλεπωτέρας οὔσας τῶν σωματικῶν Chrys.*virg.*71(1.325B); τὰ φαιδρά σε τῆς γῆς μὴ τερπέτω,...ἄγκιστρα γάρ ἐστι τὴν ψ. ὡς ἰχθὺν δελεάζοντα Nil.*sent.*20(M.79.124IC); διὰ τεσσάρων πραγμάτων ἡ ψ. μιαίνεται· διὰ τὸ περιπατεῖν ἐν πόλει, καὶ μὴ φυλάττειν τοὺς ὀφθαλμούς, καὶ τὸ ἔχειν φιλίαν μετὰ γυναικὸς ὅλως, καὶ τὸ ἔχειν φιλίαν μετὰ τῶν ἐνδόξων τοῦ κόσμου, καὶ τὸ ἀγαπῆσαι τοὺς κατὰ σάρκα γονεῖς ἐν ὁμιλίαις...διὰ τεσσάρων πραγμάτων σκοτίζεται ἡ ψ.· διὰ τοῦ μισῆσαι τὸν πλησίον, καὶ ἐξουδενῶσαι, καὶ ζηλῶσαι, καὶ γογγύσαι. διὰ τεσσάρων πραγμάτων γίνεται ἔρημος ἡ ψ.· διὰ τὸ περιέρχεσθαι ἀπὸ τόπου εἰς τόπον, καὶ ἀγαπῆσαι τὸν περισπασμόν, καὶ ἀγαπῆσαι τὴν ὕλην, καὶ διὰ κνιπείαν Esaias *or.*7; τὸ ἀγαπᾶν τὴν χρείαν τοῦ κόσμου ποιεῖ τὴν ψ. σκοτισθῆναι *ib.*16; ἀρχὴ κακῶν τῇ ψ. ἡ φιλαυτία γέγονεν Thal.*cent.*2.4(M.91.1437B); πονηρὸν ἔργον ψ. λογικῆς, καταλιμπάνειν τὸν κτίσαντα, καὶ λατρεύειν τῷ σώματι *ib.*2.7(1437C); view that body itself is cause of sin to soul, as Origenists maintain, Epiph.*haer.*64.21(p.433.20; M.41.1136D); *ib.* 64.52(p.482.2; 1157A); v. ἁμαρτία; τίς οὖν ἀκριβῆς ἐστιν ἀντίδικος;... τὸ σῶμα τῆς ψ.· οὗτος ἀντίδικός ἐστι τοῦ ἐν σοὶ πνεύματος ‡Chrys. *Herod.*2(8.290E); not generally held and expressly denied e.g. by Chrys.*hom.39.9 in 1Cor.*(10.376B); cf. ποῦ γὰρ καθ' ἑαυτὴν ἡ σὰρξ ἁμαρτῆσαι δυνήσεται ἐὰν μὴ τὴν ψ. ἔχῃ προηγουμένην;...ὥσπερ γὰρ ζεῦγος βοῶν λυθέντων ἀπ' ἀλλήλων τοῦ ζυγοῦ, οὐδέτερος αὐτῶν κατ' ἰδίαν ἀροῦν δύναται· οὕτως οὐδὲ ψ. καὶ σῶμα, λυθέντα τῆς συζυγίας, καθ' ἑαυτὰ ποιῆσαί τι δύναται †Just.*fr.res.*8(M.6.1584D); τὸ σῶμα οὐχ ἁμαρτάνει καθ' ἑαυτό, ἀλλὰ διὰ τοῦ σώματος ἡ ψ. Cyr.H.*catech.*4.23; **3.** consequences of sin; **a.** separation from God and grace πτέρωσις γὰρ ἡ τῆς ψ. πνεῦμα τὸ τέλειον, ὅπερ ἀπορρίψασα διὰ τὴν ἁμαρτίαν ἔπτηξεν ὥσπερ νεοσσὸς καὶ χαμαιπετὴς ἐγένετο Tat.*orat.*20(p.22.12; M.6.852A); εἰς δὲ ἀκάθαρτον ψ. θεοῦ χάρις οὐ παραδύεται Clem.*q.d.s.*16 (p.170.1; M.9.620C); οὔτε ψ. ταῖς βιωτικαῖς προειλημμένην μερίμναις, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι, δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου πνεύματος τὰς ἐλλάμψεις Bas.*ep.*210.6(3.317C; M.32.777B); ψ. γὰρ ἡ ἀκμὴν ζῶσα ἐν τῷ...σκότει τῆς ἁμαρτίας... οὐκ ἔστι τοῦ σώματος τοῦ Χριστοῦ Mac.Aeg.*hom.*1.6(M.34.456D); **b.** weakening of its powers, sterility, etc. πᾶσα ψ. ἡ μὴ ἡλισμένη τῷ ἁγίῳ πνεύματι...σέσηπται, καὶ δυσωδίας πολλῆς λογισμῶν πονηρῶν ἐμπέπλησται...καὶ τῶν παθῶν τῶν ἐν τοιαύτῃ ψ. ἐνοικούντων *ib.* 1.5(456A); Chrys.*hom.4.1 in Ac.*9:1(3.130D); id.*hom.2.3 in Tit.*(11. 740E); id.*hom.10.5 in Rom.*(9.526D,E); **c.** hardening and death ὅρα ὅτι ἔστιν τις καὶ ψ. νεκρουμένη τὰ μέλη, ὥστε μὴ αἰσθάνεσθαι ἀπὸ τῶν μαστίγων, κἂν ἐπίπονα προσφέρηταί τινα. δεινὰ προσφέρεται, ἀλλ' οὐκ αἰσθανθήσεται ἡ δεῖνα ψ., ἄλλη δὲ αἰσθανθήσεται Or.*hom.6.2 in Jer.* (p.49.14ff.; M.13.325D); ref. Mt.13:5f. αὕτη ἡ πέτρα ἀνθρωπίνη ἐστὶ ψ. διὰ τὴν ἀμέλειαν σκληρυνθεῖσα id.*princ.*3.1.14(p.219.4; M.11.276A); ψ. δὲ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, καὶ ἡμεῖς ἐροῦμεν αὐτὴν θνητήν id.*Jo.*13.61(59; p.293.13; M.14.516C); ὁ Ἀδὰμ παραβὰς τὴν ἐντολὴν τοῦ θεοῦ...ἐπώλησεν ἑαυτὸν τῷ διαβόλῳ· καὶ ἐνεδύσατο τὴν ψ. ὁ πονηρός...τούτου τοίνυν ἕνεκεν σῶμα λέγεται ἡ ψ. τοῦ σκότους τῆς πονηρίας Mac.Aeg.*hom.*1.7(M.34.457A); πᾶσα γὰρ ἁμαρτία, θάνατός ἐστι ψ. Gr.Naz.*or.*37.23(M.36.308B); ὁ δὲ τῆς ψ. [sc. θάνατος]... φοβερός. οὐ γὰρ ἐὰν διαλυθῇ, καθάπερ τὸ σῶμα αὐτὴν παραπέμπει, ἀλλὰ καταδεθεῖσαν πάλιν ἀφθάρτῳ σώματι, εἰς τὸ πῦρ ἐμβιβάζει ἄσβεστον. οὗτος τοίνυν ἐστὶν ὁ ψ. θάνατος. ὥσπερ οὖν ἔστι ψ. θάνατος, οὕτω καὶ σφαγὴ ψ. τί ἐστι ψ. σφαγή; καὶ αὐτὸ νέκρωσις. τί δὲ νέκρωσις ψ.; ὥσπερ γὰρ τὸ σῶμα τότε νεκροῦται, ὅταν ἔρημον αὐτὸ καταλίπῃ τῆς οἰκείας ἐνεργείας ἡ ψ.· οὕτω καὶ ἡ ψ. τότε νεκροῦται, ὅταν ἔρημον αὐτὴν καταλίπῃ τῆς οἰκείας ἐνεργείας τὸ πνεῦμα τὸ ἅγιον Chrys.*hom. 18.3 in Eph.*(11.130B,C); cf.*ib.*18.2(130A); id.*hom.19.1 in Gen.*(4.161D); id.*exp.in Ps.*129(5.368B); Pall.*v.Chrys.*8(p.47.27; M.47.28); πεπωρωμένη ψ. μαστιζομένη οὐκ αἰσθάνεται, καὶ εἰς συναίσθησιν ἐλθεῖν τοῦ εὐεργέτου οὐκ ἀνέχεται Thal.*cent.*2.61(M.91.1444B); *ib.*2.64(1444C); heresy as death of soul, †Bas.*Is.*233(1.556A; M.30.525C); **4.** struggle of soul with evil ἐν τῇ καρδίᾳ τῶν ἀγωνιζομένων θέατρον τῶν πονηρῶν πνευμάτων παλαιόντων τῇ ψ., καὶ θεοῦ καὶ ἀγγέλων θεωρούντων τὸν ἀγῶνα· λοιπὸν καθ' ἑκάστην ὥραν κτίζονται ὑπὸ τῆς ψ. πολλοὶ λογισμοὶ νεαροί· ὁμοίως καὶ ὑπὸ τῆς κακίας ἔνδον. καὶ γὰρ ἡ ψ. πολλοὺς ἀποκρύφους ἔχει λογισμούς...καὶ αὐτὴ ἡ κακία λογισμοὺς ἔχει πολλούς ...καὶ καθ' ὥραν γεννᾷ λογισμοὺς νεαροὺς κατὰ τῆς ψ. καὶ γὰρ ὁ νοῦς ἡνίοχός ἐστι καὶ ζεύγνυσι τὸ ἅρμα τῆς ψ. κατέχων ἡνίας τῶν λογισμῶν· καὶ ὧδε τρέχει κατὰ τοῦ ἅρματος τοῦ σατανᾶ, ὅπου καὶ αὐτὸς ἕζευξε κατὰ τῆς ψ. Mac.Aeg.*hom.*40.5(M.34.765B); ἀδύνατον ψ. δι' ἑαυτῆς... διαπεράσαι τὴν πικρὰν θάλασσαν τῆς ἁμαρτίας...εἰ μὴ τὸ ἐλαφρὸν...τοῦ Χριστοῦ πνεῦμα δέξεται *ib.*44.6(781D); τῶν πονηρῶν πνευμάτων ἀεὶ ἀντιπραττόντων τῇ τῶν ψ. σωτηρίᾳ Pall.*v.Chrys.*12(p.72.32; M.47.41); **5.** good and bad souls contrasted τὴν μὲν τοῦ φαύλου...ἐν τῇ κακίᾳ ψ. φήσομεν καταλείπεσθαι ὑπὸ τοῦ θεοῦ, τὴν δὲ τοῦ βουλομένου ζῆν κατ' ἀρετὴν...ἀποφανούμεθα πληροῦσθαι ἢ μετέχειν θείου πνεύματος Or.*Cels.*4.5(p.278.2; M.11.1036A); οἶδα ψ. οἰκουμένην, οἶδα ψ. ἔρημον. εἰ γὰρ οὐκ ἔχει τὸν θεόν, ⟨εἰ⟩ οὐκ ἔχει τὸν Χριστόν...εἰ οὐκ ἔχει τὸ πνεῦμα τὸ ἅγιον ψ., ἔρημός ἐστιν. οἰκουμένη δέ ἐστιν, ὅτε πεπλήρωται θεοῦ, ὅτε ἔχει τὸν Χριστόν, ὅτε πνεῦμα ἅγιόν ἐστιν ἐν αὐτῇ id.*hom.8.1 in Jer.*(p.55.21ff.; M.13.336C); αἱ μὲν σωμασκοῦσαι ψ. τὸν αἰσθητὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρός ἀπάτην τῶν θεωμένων, αἱ δὲ ἀγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν κόσμον ἐξάπτονται Meth.*symp.*7.2(p.73.6; M.18.128B); ψ., ἢ κηρὸς ὡς φιλόθεος, ἢ πηλός, ὡς φιλόϋλος...πᾶσα ψ. φιλόϋλος... ἀπὸ θεοῦ νουθετουμένη, καὶ ὡς πηλὸς κατὰ γνώμην ἀντιτυποῦσα σκληρύνεται...πᾶσα δὲ φιλόθεος, ὡς κηρὸς ἁπαλύνεται, καὶ τοὺς τῶν θείων τύπους...εἰσδεχομένη, γίνεται θεοῦ κατοικητήριον ἐν πνεύματι Max.*cap.theol.*1.12(M.90.1088B).

C. soul's way to perfection; **1.** its beginning; **a.** baptismal exorcisms and faith ἄνευ ἐπορκισμῶν οὐ δύναται καθαρθῆναι ψ. ... τῶν ἐπορκιζόντων διὰ πνεύματος θείου ἐμβαλλόντων τὸν φόβον, καὶ ὥσπερ ἐν χώνῃ, τῷ σώματι, τὴν ψ. ἀναζωπυρούντων· φεύγει μὲν ὁ ἐχθρὸς δαίμων...καὶ λοιπὸν ἡ ψ. καθαρθεῖσα τῶν ἁμαρτημάτων ἔχει

τὴν σωτηρίαν Cyr.H.*procatech.*9; ἀναγέννησιν δὲ οὐ σωμάτων λέγω, ἀλλὰ ψυχῆς τὴν πνευματικὴν ἀναγέννησιν. τὰ μὲν γὰρ σώματα διὰ τῶν φαινομένων γονέων γεννῶνται, αἱ δὲ ψ. διὰ τῆς πίστεως ἀναγεννῶνται id.*catech.*1.2; **b.** repentance εἴ τίς γε ἱκανός ἐστι κινῆσαι ψ. ἀκροατοῦ μάλιστα ἡμαρτηκότος, τοιούτους εὔχεται λόγους λέγειν, οἵτινες ἀπὸ δυνάμεως...ἀπαγγελλόμενοι ἱερῶν σείσουσι τὴν ψ. τοῦ ἀκούοντος καὶ κινήσουσιν ἐπὶ πένθος Or.*hom.*20.6 *in Jer.*(p.186.6ff.; M.13.513B); ὁ τὰ τοιαῦτα δάκρυα [sc. of repentance] σταλάζων, οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψ., τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν Chrys.*exp.in Ps.*6(5.46C); **c.** through Passion and example of Christ τοῦ πάθους, οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψ. ἀπὸ πάσης πονηρίας ἀνθρώπων Just. *dial.*41.1(M.6.564B); τὰς ᾠδὰς διαρρήξας [sc. Christ] πύλας ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψ., ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος, δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας πρὸς τὴν τελειότητα τοῦ πνεύματος καταντῆσαι Mac.Aeg.*pat.*18(M.34.880B); τὴν ἡμετέραν ψ. προσερχομένην τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ, δεῖ τυθῆναι ὑπ' αὐτοῦ, καὶ τῷ φρονήματι ἀποθανεῖν, καὶ...τῇ ἁμαρτίᾳ id.*hom.*1.6(M.34.456C); **2.** instruments and means of its progress; **a.** help given by God συνεξάπτει δὲ ἡ γραφὴ τὸ ζώπυρον τῆς ψ. καὶ συντείνει τὸ οἰκεῖον ὄμμα πρὸς θεωρίαν Clem.*str.*1.1(p.8.11; M.8.697A); *ib.*2.11(p.139.7; 985A); Mac.Aeg.*hom.*41.2(M.34.768D–769A); ὥσπερ γὰρ ἵππος, ἕως μὲν ἂν ἐν ταῖς ὕλαις τοῖς ἀγρίοις ζώοις συννέμηται, ἀνυπότακτος ἀνθρώποις ἐστίν· ἐπὰν δὲ πρὸς τὸ ἡμερωθῆναι κρατηθῇ, προτιθέασιν αὐτῷ βαρὺν χαλινόν, ἕως οὗ μάθῃ εὐτάκτως...περιπατεῖν· εἶτα γυμνάζεται ὑπὸ ἐμπείρου καθιστοῦ, ἵνα καὶ εἰς πόλεμον εὔχρηστος γένηται... τὸν αὐτὸν τρόπον καὶ ἡ ψ. ἀπὸ τῆς παραβάσεως οὖσα ἀγρία καὶ ἀνυπότακτος, ἐν ἐρημίᾳ τοῦ κόσμου πελάζεται μετὰ θηρίων...ὅταν δὲ ἀκούσῃ λόγον θεοῦ, καὶ πιστεύσῃ, χαλιναγωγουμένη ὑπὸ τοῦ πνεύματος, ἀποτίθεται τὸν ἄγριον ἦθος...ἡνιοχουμένη ὑπὸ τοῦ ἐπιβάτου Χριστοῦ ...οὕτως ἡ ψ. ἐνδυομένη τὸν θώρακα τῆς δικαιοσύνης,...διδάσκεται πολεμεῖν τοῖς ἐχθροῖς αὐτοῖς *ib.*23.2(661A,B); Nil.*epp.*1.132(M.79.140A); λήψῃ θεὸν τὸν τῆς σῆς ψ. κατέχοντα οἴακα, καὶ ἀκινδύνως κυβερνῶντά σε Jo.Clim.*scal.*28(M.88.1133C); divine–human co-operation τῆς ψ. τίς ἐστιν εὐθηνία τῆς πεπληρωμένης παντοδαπῶν ἔργων· ἣν πρῶτον μὲν γεωργηθῆναι δεῖ φιλοπόνως, καὶ τότε ταῖς ἀφθόνοις τῶν οὐρανίων ὑδάτων ἐπιρροίαις πιανθῆναι, ὥστε καρποφορῆσαι Bas.*hom. in Ps.*29(1.128C; M.29.316B); **b.** virtue ψ. δὲ αὔξειν διὰ πίστεως καὶ γνώσεως Clem.*str.*3.4(p.208.9; M.8.1132A); *ib.*5.12(p.379.26; M.9.120B); προκοπὴ γὰρ ψ., προκοπὴ ταπεινώσεως Bas.*reinunt.*10(2.211B; M.31.648A); ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψίλεια· τοῦτο τὸ μέγιστον τῆς ψ. περιβόλαιον Chrys.*hom.*21.6 *in Gen.*(4.191D); τέσσαρες ἀρεταί εἰσιν αἱ ἁγνίζουσαι τὴν ψ., ἡ σιωπή, καὶ τὸ φύλαξαι τὰς ἐντολάς, καὶ ἡ στενοχωρία, καὶ ἡ ταπεινοφροσύνη...τέσσαρες ἀρεταὶ περιτειχίζουσι τὴν ψ. ... ὁ ἔλεος, καὶ ἡ ἀοργησία, καὶ ἡ μακροθυμία, καὶ τὸ ἀποτινάξαι πάντα σπόρον ἐπερχόμενον τῆς ἁμαρτίας Esaias *or.*7; exeg. Ex.1:21 διδάσκει ἡμᾶς...ἡ γραφή, ὅτι ὁ φόβος τοῦ θεοῦ παρασκευάζει τὴν ψ. φυλάττειν τὰς ἐντολάς, καὶ διὰ τῶν ἐντολῶν οἰκοδομεῖται ὁ τῆς ψ. οἶκος...πῶς δὲ οἰκοδομεῖται ὁ οἶκος τῆς ψ., ἀπὸ τοῦ αἰσθητοῦ οἴκου δυνάμεθα μαθεῖν...χρῄζει γὰρ ὁ θέλων οἰκοδομῆσαι τὸν οἶκον τοῦτον, πανταχόθεν ἀσφαλίσασθαι αὐτόν...οὕτως ἐστὶ καὶ ἐπὶ τῆς ψ. χρῄζει γὰρ ὁ ἄνθρωπος μηδενὸς μέρους τῆς οἰκοδομίας αὐτοῦ ἀμελεῖν Dor.*doct.*14(M.88.1773A,B); ἀγάπη καὶ ἐγκράτεια ψ. καθαίρουσι Thal. *cent.*1.11(M.91.1429A); ἡ δὲ τῶν ἐντολῶν τήρησις, ψ. ποιεῖ τὴν κάθαρσιν *ib.*2.77(1445A); practice of virtue being natural to soul, Bas.*hex.*9.4 (1.83E; M.29.196C); **c.** asceticism κενοῖ τῆς ὕλης τὴν ψ. ἡ νηστεία καὶ καθαρὰν καὶ κούφην σὺν καὶ τῷ σώματι παρίστησι τοῖς θείοις λόγοις Clem.*ecl.*14(p.140.28; M.9.705A); οὐκ ἀγαθὸν τῇ ψ. αἰσθητὸν βρῶμα ἢ πόμα. ἡ γὰρ σὰρξ προστρεφομένη πολεμεῖ τῇ ψ. Dion.Al.*fr.*(p.224.3); τὴν σεαυτοῦ ψ. ἀσφαλίζου, νηστείαις, προσευχαῖς, ἐλεημοσύναις Cyr.H. *catech.*4.37; κάθαρσις δὲ ψ. ... τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν Bas.*leg.lib.gent.*7(2.181E; M.31.581C); ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψ., μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψ. ἐκλυούσης ἐν ἀκροάμασι μελῶν πρὸς ἡδονὴν πεποιημένων μήτε ῥήμασιν εὐτραπελῶν καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύει τῆς ψ. τὸν τόνον πέφυκε id.*ep.*2.2(3.72C; M.32.228A); **d.** prayer and γνῶσις· ἡ γνῶσις ἴδιωμα ψ. τυγχάνει λογικῆς εἰς τοῦτο ἀσκουμένης, ἵνα διὰ τῆς γνώσεως εἰς ἀθανασίαν ἐπιγραφῇ Clem.*str.*6.8(p.466.12; M.9.289C); *ib.*7.7(p.29.28; 453C); ἄγονοι...ἐπὶ πολὺ γεγενημέναι ψ., ἠσθημέναι τῆς στειρώσεως τῶν ἰδίων ἡγεμονικῶν καὶ τῆς ἀγονίας τοῦ νοῦ ἑαυτῶν, ἀπὸ τοῦ ἁγίου πνεύματος διὰ ἐπιμόνου εὐχῆς κυήσασαι σωτηρίους λόγους, θεωρημάτων ἀληθείας πεπληρωμένους, γεγεννήκασιν Or.*or.*13.3 (p.327.7; M.11.456A); *ib.*13.5(p.330.4; 459A); ἡ εὐχὴ καλὴ μὲν καὶ καθ' ἑαυτήν· καλλίων δὲ...γίνεται, ὅταν μετὰ...ζεύσῃς ψ. ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψ. γένηται καὶ πῦρ ἀνάπτῃ σφοδρόν Chrys.*exp.in Ps.*140(5.431A); φέγγος ψυχῆς ἡ γνῶσίς ἐστιν Thal.*cent.*1.51(M.91.1432D); *ib.*2.2(1437B); τέλος γὰρ τῆς κατὰ ψυχὴν λογικῆς ἐνεργείας, ἡ ἀληθὴς γνῶσίς ἐστι Max.*ep.*31(M.91.625A); **e.** temptations εἰς ταῦτα δὲ τὰ μέτρα ψ. ἐλθεῖν, οὔτε ὑφ' ἕν, οὔτε ἀδοκιμάστως ἐστίν, ἀλλὰ διὰ πόνων πολλῶν καὶ ἀγώνων, καὶ χρόνων καὶ σπουδῆς, μετὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων τὴν πνευματικὴν αὔξησιν...λαμβάνει Mac.Aeg. *hom.*10.5(M.34.544C); ψ. ζέουσα...οὐχ ὑπό τινων κωλυτικῶν ἐμποδίζεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπὶ πλεῖον αἴρεται Chrys.*hom.*43.2 *in Gen.*(4.437C); πλεῖστα χαρίσματα θεῖα μετὰ τὴν συνοχὴν καὶ τὴν θλῖψιν εὑρίσκομεν ἐν τῇ ψ. κυϊσκόμενα Nil.*epp.*3.182(M.79.469C); id.*Eulog.*19(M.79.1117B); **f.** true doctrine as soul's food ὃ γάρ ἐστιν ἐν σώμασι τροφή, τοῦτο ἐν ψ. λόγος Gr.Naz.*or.*17.1(M.35.965A); *ib.*42.8(M.36.468B); ὥσπερ γὰρ τρέφεται τὰ σώματα, οὕτω τρέφεται καὶ ἡ ψ.· ἀλλὰ τὸ μὲν σῶμα ἄρτῳ, ἡ δὲ ψ. λόγῳ Chrys.*hom.*4.1 *in Is.*6:1(6.121D); ἡ ψ. χρῄζει τῆς πνευματικῆς τροφῆς id.*hom.*4.6 *in Gen.*(4.29B); καθάπερ ἐφ' ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν χορηγεῖς...οὕτω καὶ τὴν ψ. μὴ περιορᾷν λιμῷ φθειρομένην, καὶ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως *ib.*21.6(191B); ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψ. ... ταύτην οὖν λέγει τὴν τροφήν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν id.*exp.in Ps.*110(5.272B); οὐ δίκαιόν ἐστιν...τὴν τῆς ψ. βρῶσιν καταλιπόντας, τὸ σῶμα πρὸ τῆς ψ. διαναπαῦσαι Leont.N.*v.Jo.Eleem.*1(p.7.10f.); **3.** soul's way from the sensible to the spiritual and from discursive thought to contemplation γυμνάσιον μέν φαμεν εἶναι τῆς ψ. τὴν ἀνθρωπίνην σοφίαν, τέλος δὲ τὴν θείαν Or.*Cels.*6.13(p.83.17; M.11.1309B); οὐ ταὐτόν ἐστι νοσοῦντας τὴν ψ. ἐπὶ θεραπείαν καλεῖν καὶ ὑγιαίνοντας ἐπὶ τὴν τῶν θειοτέρων γνῶσιν καὶ ἐπιστήμην. καὶ ἡμεῖς δὲ ἀμφότερα ταῦτα γινώσκοντες, κατ' ἀρχὰς μὲν προκαλούμενοι ἐπὶ τὸ θεραπευθῆναι τοὺς ἀνθρώπους...ἐπὰν δὲ οἱ προκόπτοντες τῶν προτραπέντων παραστήσωσι τὸ κεκαθάρθαι ὑπὸ τοῦ λόγου καὶ ὅση δύναμις βέλτιον βεβιωκέναι, τὰ τηνικάδε καλοῦμεν αὐτοὺς ἐπὶ τὰς παρ' ἡμῖν τελετάς *ib.*3.59(p.254.4; 997D); ἡ γὰρ ψ. συντραφεῖσα σώματι...ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο. ὅθεν καὶ τοῖς προφήταις περὶ θεοῦ διαλεγομένοις ἐγένετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν...ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψ. ἐκ τῶν ἀνθρωπίνων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα Chrys.*exp.in Ps.*43(5.149A,B); ὅταν ἡμῶν ἡ ψ. ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινεῖται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις, ὅταν ἡ ψ. θεοειδὴς γινομένη, δι' ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ Dion.Ar.*d.n.*4.11(M.3.708D); commented ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περί τινος τῶν αἰσθητῶν...καὶ γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου. εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψ. πρὸς τὰ νοητὰ κινεῖται διὰ τῶν ὀρθῶν ἐνεργειῶν, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται· ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχῃ, τότε καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταὶ εἰσιν, ὡς καὶ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψ. διανοεῖται, λοιπὸν ἡνωμένη θεῷ Max.*schol.d.n.*4.11(M.4.261C,D); **4.** threefold way and threefold movement of soul, first adumbrated in a twofold 'perfection' ἡ γνωστικὴ ψ. ἀγιάζεται κατὰ τὴν ἀποχὴν τῶν γεωδῶν πυρώσεων...ὁ δὲ ἐν τῷ σώματι καθαρισμὸς τῆς ψ. πρῶτος οὗτός ἐστιν, ἡ ἀποχὴ τῶν κακῶν, ἣν τινες τελείωσιν ἠγοῦνται, καὶ ἔστιν ἁπλῶς τοῦ κοινοῦ πιστοῦ...ἡ τελείωσις αὕτη· τοῦ δὲ γνωστικοῦ μετὰ τὴν ἄλλοις νομιζομένην τελείωσιν ἡ δικαιοσύνη εἰς ἐνέργειαν εὐποιΐας προβαίνει Clem.*str.*6.7(p.462.6ff.; M.9.281B); fully developed ἐδιδάχθημεν γὰρ πολλαχοῦ τῆς γραφῆς καὶ παιδικὴν κατάστασιν τῆς ψ.· καὶ ἄλλην ἀκμαστικήν· καὶ ἄλλην ἤδη πρεσβύτου. οἷον, ὡς παρὰ Παύλου μεμαθήκαμεν, οἱ ἐν Κορίνθῳ νήπιοι ἦσαν· διόπερ καὶ γάλακτος ἔτι ἐδέοντο...νεανίσκος δὲ κατὰ ψ. ἐστιν ὁ πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς κατηρτισμένος πρὸς τὸ τέλειον, ὁ τῷ πνεύματι ζέων...πρεσβύτερος δὲ κατὰ ψ., ὁ τετελειωμένος κατὰ τὴν φρόνησιν Bas.*hom.*12.13(2.108E–109A; M.31.412C–413A); ψ. δὲ κίνησίς ἐστι, κυκλικὴ μὲν ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω, καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων ἡ ἐνοειδὴς συνέλιξις...ἑλικοειδῶς δὲ ἡ ψ. κινεῖται καθ' ὅσον οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεται γνώσεις, οὐ νοερῶς καὶ ἑνιαίως, ἀλλὰ λογικῶς καὶ διεξοδικῶς...τὴν κατ' εὐθεῖαν δέ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα καὶ ἑνικῇ νοερότητι κινουμένη...ἀλλὰ πρὸς τὰ περὶ ἑαυτὴν προϊοῦσα, καὶ ἀπὸ τῶν ἔξωθεν Dion.Ar.*d.n.*4.9(M.3.705A); interpreted, Max. *schol.d.n.*4.9(M.4.256–257D); **5.** relation between body and soul in progress to perfection βαπτίσθητε τὴν ψ. ἀπὸ ὀργῆς...καὶ ἰδοὺ τὸ σῶμα καθαρόν ἐστι Just.*dial.*14.2(M.6.504D); ἐπιδεκτικὸν γίνεται τῆς... ψ. τὸ οἰκητήριον τοῦτο καὶ πνεύματος ἁγίου κατὰ τὸν τῆς ψ. τε καὶ σώματος ἁγιασμὸν καταξιοῦται τῷ τοῦ σωτῆρος καταρτισμῷ τελειούμενον Clem.*str.*4.26(p.320.26f.; M.8.1373A); εἰ δὲ ἡ ψ. ... τοῖς θείοις ἐντραφῇ μαθήμασιν, υἱός ἐστι ἐλευθέρων ,καὶ ὁρμὰς ἔχει λογισμῶν...τά τε σώματι

καθήκοντα, καὶ ὅσα τῇ ψ. κατάλληλα Olymp.*Eccl.*10:16f.(M.93.604B); διὰ γὰρ τοῦ σώματος τούτου περισπᾶται ἡ ψ. ἀπὸ τῶν παθῶν αὐτῆς Dor. *doct.*12.2(M.88.1752A); ἀρεταὶ ψ. εἰσιν αὗται· ἀγάπη, ταπείνωσις, πραΰτης, μακροθυμία...ἀρεταὶ δὲ σώματος...νηστεία, χαμευνία, ἀγρυπνία Max.*qu.dub.*1(M.90.785C); διῃρημένης γὰρ εἰς ψ. τε καὶ αἴσθησιν τῆς τε λύπης καὶ ἡδονῆς· ὁ τὴν τῆς ψ. περιποιούμενος ἡδονήν, τὴν δὲ τῆς αἰσθήσεως καταδεχόμενος λύπην, δόκιμος γίνεται καὶ τέλειος id. *qu.Thal.*58(M.90.593D); **6.** relation between soul and νοῦς: ἐπειδὴ νεκροῦται ὁ νοῦς, ὅσον ἡ ψ. μεριμνᾷ τὰ ἔξωθεν, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως. ἐὰν οὖν ἡ ψ. ἀκούσῃ τοῦ λόγου τοῦ Ἰησοῦ...τότε ἐγείρεται ὁ νοῦς, καὶ ἵσταται, ἕως οὗ ἀπορρίψῃ αὐτὰ ἐκ τοῦ οἴκου αὐτοῦ, προσέχων τῇ ψ. αὐτοῦ ἀδιαλείπτως, καὶ φυλάττων αὐτὴν μὴ ὑποστρέψαι εἰς τὰ ὀπίσω ἐπὶ τοὺς ἀδικήσαντας αὐτήν. ἡ ψ. γὰρ ὁμοία ἐστὶ γυναικὶ νεάνιδι οὔσῃ μετὰ ἀνδρός, ἥτις ὅταν ἀπέλθῃ ἐπὶ ξένης ὁ ἀνὴρ αὐτῆς, ἄφοβος καὶ ἀναίσχυντος γίνεται... ἐπὰν δὲ ἔλθῃ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν οἶκον αὐτοῦ, παραχρῆμα φοβουμένη ἀφίσταται ἀπὸ τῶν πραττομένων ὑπ' αὐτῆς, καὶ φροντίζει κατὰ τὸ θέλημα τοῦ ἀνδρός...τοιοῦτός ἐστιν ὁ νοῦς. ἐὰν ἐγερθῇ, φροντίζει τῆς ψ. καὶ φυλάττει αὐτὴν...ἕως γεννήσῃ μετ' αὐτοῦ καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς, καὶ λοιπὸν οἱ ἀμφότεροι μία καρδία γίνονται, καὶ ὑποτάσσεται ἡ ψ. τῷ νοΐ Esaias *or.*25; τὸ αἰσθητὸν γύναιον σημαίνει ψ. πρακτικήν· ᾗ ὁ νοῦς συγγενόμενος ἀποτίκτει τὰς ἀρετάς Thal.*cent.*2.27(M.91.1440C); ψ. καθαρὰ ἡ τὸν θεὸν ἀγαπῶσα, καὶ νοῦς ἔστιν καθαρὸς ὁ ἀγνοίας χωρισθείς *ib.*2.79(1445A); ἀνάγνωσις καὶ προσευχὴ νοῦν καθαίρουσιν· ἀγάπη δὲ καὶ ἐγκράτεια τὸ παθητικὸν τῆς ψ. *ib.*2.84(1445C).

D. the perfect soul; **1.** possessing various virtues: prudence, Clem.*str.*7.12(p.52.10,14; M.9.500C,D); obedience and purity, id. *q.d.s.*18(p.171.26; M.9.624A); Meth.*symp.*11(p.139.27; M.18.217D); Nil.*epp.*3.185(M.79.469D); humility, Mac.Aeg.*hom.*10.4(M.34.541D); simplicity, Gr.Nyss.*anim.et res.*(M.46.93C–96A); sobriety and vigilance, Chrys.*David* 1.5(4.756E); id.*hom.23.2 in Gen.*(4.207D); ψ. πραεῖα θρόνος ἁπλότητος...ψ. ἠπία χωρήσει λόγους σοφίας...ψ. εὐθὺς σύμβιος ταπεινώσεως...ψ. πραέων πλησθήσονται γνώσεως Jo.Clim. *scal.*26(M.88.981A,B); ψ. δέ ἐστι τελεία, ἡ ταῖς ἀρεταῖς ἀνακραθεῖσα Thal.*cent.*2.54(M.91.1444A); **2.** in its relation to Christ; **a.** in gen. παρόντος αὐτῷ τοῦ πατρὸς καὶ συμβασιλεύοντος τῷ πατρὶ τοῦ Χριστοῦ ἐν τῇ τετελειωμένῃ ψ. Or.*or.*25.1(p.357.7; M.11.496C); id.*mart.*49(p.45.8; M.11.633A); cf. *cum ipse utique qui est dominus et creator animae Christus Jesus indumentum sanctis esse dicatur* [cf.Rom.13:14]... *sicut ergo Christus indumentum est animae, ita...anima indumentum esse dicitur corporis,* id.*princ.*2.3.2(p.115.15ff.; M.11.189B); ἡ ψ. ἡμῶν κατ' αὐτὸν [sc. Χριστόν] μεμορφῶσθαι Bas.*ep.*159(3.247E; M. 32.620B); χρὴ...ἀτενίζειν ἡμᾶς εἰς αὐτὸν [sc. κύριον] πιστεύοντας, καὶ ἀγαπῶντας αὐτὸν...ἵνα γράψας τὴν ἑαυτοῦ εἰκόνα τὴν ἐπουράνιον, ἀποστείλῃ ἐν ταῖς ψ. ἡμῶν Mac.Aeg.*hom.*30.4(M.34.724C); τὴν ψ. μεταπλασθῆναι κατὰ τὴν γνώμην πρὸς τὴν θείαν ὁμοίωσιν, καὶ γενέσθαι ...πνεύματος ἁγίου...οἰκητήριον,...ἵνα θεῷ τῆς ψ. κατὰ τὴν χάριν τῆς κλήσεως ἄσυλον φυλαττούσης ἐν ἑαυτῇ τῶν δωρηθέντων καλῶν τὴν ὑπόστασιν· καθ' ἣν ἀεὶ θέλων Χριστὸς γεννᾶται μυστικῶς, διὰ τῶν σωζομένων σαρκούμενος· καὶ μητέρα παρθένων ἀπεργαζόμενος τὴν γεννῶσαν ψ. Max.*or.dom.*(M.90.889B,C); **b.** as a bride συνεχῶς ἡ ψ. τὸν νυμφίον λόγον ἐπιζητεῖ· καὶ εὑροῦσα πάλιν ἑτέροις ἀποροῦσα ζητεῖ· κἀκεῖνα θεωρήσασα ποθεῖ τὴν ἑτέρων ἀποκάλυψιν· καὶ τυχοῦσα τούτων, ἐπ' ἄλλοις εὔχεται τὸν νυμφίον ἐπιδημεῖν Or.*schol.in Cant.*5:9(M.17. 273C); *ib.*6:7f.(277C,D); φησὶ πρὸς τὴν νύμφην ψ. θεὸς εἶναι ζηλωτής id. *mart.*9(p.10.4; M.11.576B); ψ. ἣν ἂν μνηστεύσηται νύμφην ὁ ἐπουράνιος νυμφίος Χριστός, πρὸς τὴν ἑαυτοῦ μυστικὴν...κοινωνίαν...ἐν πολλῇ σπουδῇ γνησίως ἀρέσκειν ὀφείλει τῷ αὐτῆς μνηστῆρι Χριστῷ...καὶ τὸ πνεῦμα ἐν μηδενὶ λυπεῖν...ἰδοὺ ἡ τοιαύτη ψ. πάντων τῶν τοῦ κυρίου ἀγαθῶν δέσποινα καθίσταται, καὶ αὐτὸ τὸ ἔνδοξον τῆς θεότητος αὐτοῦ, σῶμα αὐτῆς τυγχάνει Mac.Aeg.*hom.*15.2(M.34.576C,D); v. νύμφη, νυμφίος; **3.** in its relation to H. Ghost πνεῦμα δὲ τοῦ θεοῦ...παρὰ δέ τισι τοῖς δικαίως πολιτευομένοις καταγινόμενον καὶ συμπεριπλεκόμενον τῇ ψ. διὰ προαγορεύσεων ταῖς λοιπαῖς ψ. τὸ κεκρυμμένον ἀνήγγειλε Tat. *orat.*13(p.15.2; M.6.836A); χρὴ...ἡμᾶς...ζευγνύναι τε τὴν ψ. τῷ πνεύματι τῷ ἁγίῳ καὶ τὴν κατὰ θεὸν συζυγίαν πραγματεύεσθαι *ib.*15(p.16.5; 837A); τὸ πνεῦμα ᾠκείωται τῇ ὑπ' αὐτοῦ φερομένῃ ψ. Clem.*paed*1.2 (p.168.10; M.8.412A); κεκοσμημένη ψ. ἁγίῳ πνεύματι *ib.*3.11(p.272.4; 640A); ἡ ψ. δὲ ἐπαιρομένη καὶ τῷ πνεύματι ἑπομένη τοῦ τε σώματος χωριζομένη καὶ οὐ μόνον ἑπομένη τῷ πνεύματι ἀλλὰ καὶ ἐν αὐτῷ γινομένη,...πῶς οὐχὶ ᾗδη ἀποτιθεμένη τὸ εἶναι ψ. πνευματικὴ γίνεται; Or. *or.*9.2(p.319.4ff.; M.11.444D); ἄγγελοι...χαίρουσι τῇ ψ. τῇ ἐκ πνεύματος γεννηθείσῃ, καὶ γενομένῃ πνεῦμα. τοῦτο γὰρ τὸ σῶμα ὁμοίωμα τυγχάνει τῆς ψ., ἡ δὲ ψ. εἰκὼν τοῦ πνεύματος ὑπάρχει· καὶ ὥσπερ τὸ σῶμα χωρὶς τῆς ψ. νεκρόν ἐστι...οὕτως ἄνευ τῆς ἐπουρανίου ψ., χωρὶς τοῦ θείκοῦ πνεύματος, νεκρὰ τυγχάνει ἀπὸ τῆς βασιλείας ἡ ψ. Mac.Aeg.*hom.*30.3 (M.34.724A); ὅταν ἡ ψ. σου κοινωνήσῃ τῷ πνεύματι, καὶ εἰσέλθῃ ψ. ἐπουράνιος εἰς τὴν ψ. σου, τότε εἶ τέλειος ἄνθρωπος *ib.*32.6(737C); *ib.*32. 9(740B); ἐὰν ἀναμφιβόλῳ...κινήσει ἡ ψ. πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ θεοῦ...εἰδέναι δεῖ τοῦ ἁγίου πνεύματος εἶναι τὴν ἐνέργειαν. ἡδυνομένη γὰρ ὅλη ὑπ' ἐκείνης...γλυκύτητος οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν, ἐπειδὴ ἀνευδότῳ εὐφραίνεται χαρᾷ Diad.*perf.*33(p.36.18); **4.** attaining perfect contemplation ὅταν γὰρ ψ. γενέσεως ὑπεξαναβᾶσα καθ' ἑαυτήν τε ᾖ καὶ ὁμιλῇ τοῖς εἴδεσιν...οἷον ἄγγελος ᾗδη γενόμενος σὺν Χριστῷ τε ἔσται, θεωρητικὸς ὤν Clem.*str.*4.25(p.317.15; M.8.1364C); ἐκείνας φημὶ τὰς γνωστικὰς ψ., τῇ μεγαλοπρεπείᾳ τῆς θεωρίας ὑπερβαινούσας ἑκάστης ἁγίας τάξεως τὴν πολιτείαν...οὐκ ἐν κατόπτροις...ἔτι τὴν θεωρίαν ἀσπαζομένας τὴν θείαν, ἐναργῆ δὲ ὡς ἔνι μάλιστα καὶ ἀκριβῶς εἰλικρινῆ τὴν ἀκόρεστον ὑπερφυῶς ἀγαπώσαις ψ. ἑστιωμένας θέαν *ib.*7.3 (p.10.7ff.; M.9.416C); πύργοι δὲ ἐκλήθησαν, οἱ τὰ ἀρεστὰ τῷ νυμφίῳ ποιοῦντες, σκοπευτήριον ἔχοντες τὴν θεωρητικὴν ψ., ἐκ μετεώρου σκοπεύουσαν ἅπαντα Or.*schol.in Cant.*7:4(M.17.281C); ψ. τὸ λογικὸν ἔχουσι διεξοδικῶς μὲν καὶ κύκλῳ περὶ τὴν τῶν ὄντων ἀλήθειαν περιπορευόμεναι, καὶ τῷ μεριστῷ καὶ τῷ παντοδάπῳ τῆς ποικιλίας ἀπολειπόμεναι τῶν ἑνιαίων νοῶν· τῇ δὲ τῶν πολλῶν εἰς τὸ ἓν συνελίξει, καὶ τῶν ἰσαγγέλων νοήσεων, ἐφ' ὅσον ψυχαῖς οἰκεῖον καὶ ἐφικτόν, ἀξιούμεναι Dion.Ar.*d.n.*7.2(M.3.868B,C); commented, Max.*schol.d.n.*7.2 (M.4.345C); **5.** ref. mystical union; **a.** in gen. φθάνει δὲ ἡ θεία δύναμις, καθάπερ φῶς, ὅλην διϊδεῖν τὴν ψ. ... εἰς τὸ βάθος τῆς ψ. ἀπάσης τὸ φῶς τῆς δυνάμεως ἐκλάμπει Clem.*str.*7.7(p.29.8,12; M.9.453A,B); ἐνταῦθα ...τῆς γνωστικῆς ψ. ἡ τελείωσις, πάσης καθάρσεως τε καὶ λειτουργίας ὑπεκβᾶσαν σὺν τῷ κυρίῳ γίγνεσθαι *ib.*7.10(p.42.1; 481A); ἡ γνωστικὴ ψ. ... καθαρὰ τέλεον γενομένη...πνευματικὴ γὰρ ὅλη γενομένη πρὸς τὸ συγγενὲς χωρήσασα ἐν πνευματικῇ τῇ ἐκκλησίᾳ μένει εἰς τὴν ἀνάπαυσιν τοῦ θεοῦ *ib.*7.11(p.49.16ff.; 496A); ἡ τῷ κυρίῳ προσκολληθεῖσα ψ. εἰς τὸ γενέσθαι πρὸς αὐτὸν ἓν πνεῦμα Gr.Nyss.*virg.*15(p.310.10; M.46. 381C); δεῖ γὰρ τὴν ψ. τὴν ἐν ἀληθείᾳ πιστεύουσαν Χριστῷ, μετατεθῆναι ...εἰς ἑτέραν θείαν φύσιν, καὶ καινὴν αὐτὴν ἀπεργασθῆναι διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματος Mac.Aeg.*hom.*44.5(M.34.781B); ἐπαναπαύεται ὁ κύριος τῇ ἀγαθῇ τῆς ψ. προαιρέσει, θρόνου δόξης αὐτὴν ἐργαζόμενος, ἐπικαθήμενός τε καὶ ἐπαναπαυόμενος ἐπ' αὐτὴν...ἐστὶν ἡ ψ. ἡ βαστάζουσα τὸν θεόν, μᾶλλον δὲ βασταζομένη ὑπὸ τοῦ θεοῦ *ib.*33.2(741D); αἱ ψ., τοὺς παντοδαποὺς αὐτῶν λόγους ἑνοῦσαι, καὶ πρὸς μίαν νοερὰν συνάγουσαι καθαρότητα, προβαίνουσιν οἰκείως ἑαυταῖς, ὁδῷ καὶ τάξει διὰ τῆς ἄὐλου...νοήσεως ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν Dion.Ar. *d.n.*11.2(M.3.949D); ἆρα τὰ θεῖα οὐ πάσχει καὶ πᾶσα ψ., ἡ τὴν θείαν καταξιωθεῖσα κομίσασθαι εἰρήνην; Max.*myst.*5(M.91.680D); cf.id.*carit.*3. 98(M.90.1048A); **b.** through *via negativa* αὐτοί [sc. θεόλογοι] τὴν διὰ τῶν ἀποφάσεων ἄνοδον προτετιμήκασιν, ὡς ἐξιστῶσαν τὴν ψ. τῶν ἑαυτῇ συμφύλων, καὶ διὰ πασῶν τῶν θείων νοήσεων ὁδεύουσαν, ὧν ἐξήρηται τὸ ὑπὲρ πᾶν ὄνομα...ἐπ' ἐσχάτων δὲ τῶν ὅλων αὐτῷ συνάπτουσαν Dion. Ar.*d.n.*13.3(981B); **c.** likened to union of iron with fire ἔοικε γὰρ ἡ ψ. σιδήρῳ, ὅτι ἐὰν ἀμεληθῇ ἰοῦται, ἐπειδὰν δὲ πυρωθῇ τὸ πῦρ καθαρίζει αὐτό. καὶ ὅσον ἐστὶν εἰς τὸ πῦρ, ὅμοιον τοῦ πυρός ἐστι, καὶ οὐδεὶς δύναται αὐτὸ κατέχειν, ὅτι πῦρ ἐστι. τοιαύτη ἐστὶν ἡ ψ. ὅσον μένει μετὰ τοῦ θεοῦ καὶ ἀδολεσχεῖ αὐτῷ, πῦρ γίνεται καὶ κατακαίει πάντας τοὺς ἐχθροὺς αὐτῆς...καὶ ἀγνίζει αὐτὴν ἐν καινότητι ὡς τὸ σίδηρον Esaias *or.*25; ὁπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ᾖ ἡ ψ., τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην, ὡς σίδηρον καθάπαξ τῷ πυρὶ πεπυρακτωμένην ὅλην καθίστησι, καὶ ἔστι ψ. μὲν ἡ αὐτή, οὐκέτι δὲ καὶ ἀπτή, ὡς οὐδὲ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς ‡Max.*cap.al.*103(M.90. 1424B); **d.** effects of union γυμνὴν τῆς ὑλικῆς δορᾶς γενομένην τὴν γνωστικὴν ψ. ἄνευ τῆς σωματικῆς φλυαρίας καὶ τῶν παθῶν πάντων...τῷ φωτὶ καθιερωθῆναι ἀνάγκη Clem.*str.*5.11(p.371.8; 104A); αἱ τῶν ἐναρέτων ἀνθρώπων ἐπίνοιαι κατὰ ἐπίπνοιαν θείαν γίγνονται, διατιθεμένης πως τῆς ψ. καὶ διαδιδομένου τοῦ θείου θελήματος εἰς τὰς ἀνθρωπίνας ψ. *ib.*6.17(p.513.3f.; 389A); exeg. Lam.1:1 Ἱερουσαλὴμ εὐθηνοῦσα...ἡ θεία ἐστὶ ψ. καὶ οὐ θαυμαστόν, εἰ οὐ μόνον οἰκία...ἀλλὰ πασῶν πόλεων διαφέρουσα καὶ παρὰ θεῷ τετιμημένη Ἱερουσαλὴμ χρηματίζει ἡ τελεία ψ. Or.*fr.8 in Lam.*(pp.237.29,238.3; M.13.609A,B); *ib.*19(p.242.27; 616C); ψυχῆς γὰρ μυστήριον ἐθεώρει [sc. Ezech.], τῆς μελλούσης δέχεσθαι τὸν ἑαυτῆς κύριον, καὶ θρόνος δόξης αὐτῷ γενέσθαι. ψ. γὰρ ἡ καταξιωθεῖσα κοινωνῆσαι τῷ πνεύματι τοῦ φωτὸς αὐτοῦ...ὅλη φῶς γίνεται, καὶ ὅλη πρόσωπον, καὶ ὅλη ὀφθαλμός Mac.Aeg.*hom.*1.2(M.34. 452A); ψ. ἡ ἔχουσα τὸν δεσπότην αὐτῆς πρὸς ἑαυτὴν καὶ ἐν αὐτῇ καταμένοντα, πάσης ὡραιότητος καὶ εὐπρεπείας γέμει *ib.*33.3(744A); τὴν μεγάλην καὶ φιλόσοφον ψ. οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δακεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι...τοιαύτη ἦν ἡ τοῦ Παύλου ψ., πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς Chrys.*hom.*3.1 *in Phil.*(11.211D); cf.id.*hom.*9.3 *in 1 Thess.* 11.490B,C); ἡ γὰρ τῆς ψ. ἀνδρεία οὐκ ἐν τῇ ἡσυχίᾳ δείκνυται μόνον τοῦ στόματος, ἀλλὰ καὶ ἐν τῇ τῶν λογισμῶν ἀνδραγαθίᾳ, καὶ τῇ τῶν ὕβρεων,

καὶ ἀδικιῶν εὐσταθείᾳ Nil.*Eulog.*18(M.79.1117A); ‡Nil.*perist.*3(M.79.905C); *ἐνοειδῆ γενομένην ψ.*, καὶ *πρὸς ἑαυτὴν καὶ τὸν θεὸν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλὰ κατ' ἐπίνοιαν αὐτὴν ἔτι διαιρῶν λόγος, τῷ...ἑνὶ λόγῳ τε καὶ θεῷ κατεστεμμένην τὴν κεφαλήν· ἐν ᾧ κατὰ μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἐνοειδῶς...ὑφεστήκασιν* Max. *myst.*5(M.91.681B).

E. senses of the soul, v. *αἰσθητήριον*; **1.** definitions *ἡ σύνεσις ὄψις ἐστὶ ψ.* Clem.*paed.*1.9(p.135.9; M.8.341C); *ὀφθαλμὸν...τὸν τῆς ψ. φησι, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικόν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἴωθεν* Chrys.*exp.in Ps.*6(5.46E); **2.** in gen. *ἐμβλέψωμεν τοῖς ὄμμασιν τῆς ψ. εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα* 1*Clem.*19.3; *οἱ τῆς ψ. ὀφθαλμοί* Just.*dial.*134.5(M.6.788B); *ὑπεχέτω τὰ ὦτα τῆς ψ.* Clem.*str.*7.16(p.72.36; M.9.541C); *ἀνοίξαντος τοῦ λόγου τοὺς ὀφθαλμοὺς τῆς ψ. ἡμῶν* Or.*Cels.*6.67(p.137.15; M.11.1400C); **3.** needing purification and enlightenment *τό τε ἴδιον τοῦ ἀνθρώπου, τὸ ὄμμα τῆς ψ., ἐκκαθαίρειν* Clem.*paed.*2.1(p.154.7; M.8.377C); *ὁ δὲ λόγος ὁ ὑγιής, ὃς ἔστιν ἥλιος ψ., δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ νοῦ αὐτῆς κατανγάζεται τὸ ὄμμα* id.*prot.*6(p.52.15; M.8.173B); *τὸν ὀφθαλμὸν τῆς ψ. ἀποκαθαρθῆναι, ὥστε πᾶσαν τὴν ἀπὸ τῆς ἀγνοίας ἐπισκότησιν, οἱονεί τινα λήμην, ἀφαιρεθέντα, δύνασθαι ἐνατενίζειν τῷ κάλλει τῆς δόξης τοῦ θεοῦ, οὐ μικροῦ ἔργου κρίνω* Bas. *ep.*150.1(3.239E; M.32.601B); *εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν...μοχθηρῶν ὑπολήψεων, οὐκ ἄν μοι δοκεῖ ἄλλην εὑρεῖν, ἢ τὸ μὴ ἀκριβῶς ἡμῶν γεγυμνάσθαι τὰ τῆς ψ. αἰσθητήρια πρὸς τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διάκρισιν* Gr.Nyss.*virg.*11(p.292.22; M.46.364D); **4.** apprehending the divine *Χριστιανὸς...εὐχόμενος, μύσας τοὺς τῆς αἰσθήσεως ὀφθαλμοὺς καὶ ἐγείρας τοὺς τῆς ψ., ὑπεραναβαίνει τὸν ὅλον κόσμον* Or.*Cels.*7.44(p.196.1; M.11.1485B); ref. Christ *ἐγὼ δέ φημι ὅτι καὶ μετὰ τὴν ἐνανθρώπησιν ἀεὶ εὑρίσκεται τοῖς ἔχουσιν ὀφθαλμοὺς ψ. ὀξυδερκεστάτους θεοπρεπέστατος καὶ ἀληθῶς θεόθεν πρὸς ἡμᾶς κατελθών* *ib.*3.14(p.213.26; 937A); *ὁ δὲ κεκωφωμένος τὴν τῆς ψ. ἀκοὴν ἀναισθητεῖ λέγοντος θεοῦ* *ib.*2.72(p.194.18; 909A); *τὰ τῆς κεκαθαρμένης ψ. ὄμματα ὑπὸ νοεροῦ φωτὸς καταυγαζόμενα* Eus.*Is.*6:1 (M.24.125A); *τοὺς ὀφθαλμοὺς τῆς ψ. διανοίγοντος εἰς κατανόησιν ὧν βούλεται θεαμάτων* †Bas.*Is.*proem.3(1.380B; M.30.124B); *αἰσθητήρια δὲ τάχα μὲν τὰ τῆς ψ. κινήματα καὶ διανοήματα, καὶ τούτων μάλιστα, ὅσα ἐκ τῆς αἰσθήσεως, οἷς ὁ δίκαιος σπαράσσεται, καὶ θερμαίνεται...καὶ οὐδὲ καθεκτός ἐστι διὰ τὴν ζέσιν τοῦ πνεύματος* Gr.Naz.*or.*17.1(M.35.965A); *μακάριος μὲν μοναχός, ὁ τοῖς τῆς ψ. ὄμμασιν ταῖς νοεραῖς δυνάμεσιν ἐνατενίζειν δυνάμενος* Jo.Clim.*scal.*7(M.88.809A); **5.** relation between physical and spiritual senses, exeg. Gen.3:5ff. *διηνοίχθησαν...αὐτῶν οἱ ὀφθαλμοὶ τῆς αἰσθήσεως, οὓς καλῶς ἦσαν μύσαντες, ἵνα μὴ περισπώμενοι ἐμποδίζωνται βλέπειν τῷ τῆς ψ. ὀφθαλμῷ· οὓς δὲ τέως εἶχον βλέποντας τῆς ψ. ὀφθαλμοὺς καὶ εὐφραινομένους ἐπὶ τῷ θεῷ...τούτους οἶμαι διὰ τὴν ἁμαρτίαν ἔμυσαν* Or.*Cels.*7.39(p.190.2f.; M.11.1476C); contrasted with Jo.9:39 *μὴ βλέποντας μὲν αἰνιττόμενος τοὺς τῆς ψ. ὀφθαλμούς, οὓς ὁ λόγος ποιεῖ βλέπειν, βλέποντας δὲ τοὺς τῶν αἰσθήσεων· τούτους δὲ ἐτύφλου ὁ λόγος, ἵνα ἀπερισπάστως ἡ ψ. βλέπῃ ἃ δεῖ. παντὸς οὖν τοῦ κατὰ τρόπον Χριστιανίζοντος ὁ τῆς ψ. ἐγήγερται ὀφθαλμὸς καὶ ὁ τῆς αἰσθήσεως μέμυκε· καὶ ἀνάλογον τῇ ἐγέρσει τοῦ κρείττονος ὀφθαλμοῦ καὶ τῇ μύσει τῶν ὁρατῶν τῆς αἰσθήσεως νοεῖται καὶ θεωρεῖται ὁ ἐπὶ πᾶσι θεὸς καὶ ὁ υἱὸς αὐτοῦ* *ib.* (p.190.9ff.; 1476D–1477A); exeg. Cant.4:9ff. *ἐκαρδίωσας ἡμᾶς...ἑνὶ ἀπὸ ὀφθαλμῶν σου τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν...διασὴν γὰρ ὄψεως δύναμιν εἶναι παντὶ που καταφανές, μίαν μὲν ψ., θατέραν δὲ σώματος* Meth.*symp.*7.2(p.72.24; M.18.128A).

F. types and symbols of soul; **1.** exeg.; ref. Exodus *ταῦτα...μυστήριόν ἐστι ψ., τῆς ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ λυτρωθείσης* Mac. Aeg.*hom.*47.5(M.34.800B); *ib.*47.9(801C); *ἐξάγει οὖν τὴν ψ. ἐξ Αἰγύπτου καὶ τῆς ἐν αὐτῇ δουλείας...ἀπολαμβάνει γὰρ ἐξιοῦσα τοῦ σκότους ἡ ψ. τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, ἤγουν τοὺς ἰδίους ἀγαθοὺς λογισμούς* *ib.*47.10(801D); *ἀπαίρουσιν υἱοὶ Ἰσραὴλ τὰ πάσχα ποιήσαντες· προκόπτει ἡ ψ., λαβοῦσα ζωὴν πνεύματος ἁγίου* *ib.*47.11(804A); ref. Is.1:2 *εἰπὼν...οὐρανὸν τὴν τοῦ γνωστικοῦ ψ.* Clem.*str.*4.26(p.323.14; M.8.1377B); Is.4:2 *γῆν πολλαχοῦ τὴν ψ. ὁ λόγος λέγει τὴν ὑποδεχομένην τὰ τοῦ λόγου σπέρματα* †Bas.*Is.*1.19(1.391B; M.30.149A); Is.5:1ff. *ἀμπελὼν δὲ ἡ ψ., τὴν καρποφορίαν ἀξίαν τῆς ἐξ ἀρχῆς φυτείας καὶ τῆς τοῦ θεοῦ γεωργίας ἀπαιτουμένη* *ib.*1.21(1.393E; M.156B); Is.6:3 *Χερουβίμ...σύμβολον δ' ἐστὶ λογικῆς μὲν τὸ πρόσωπον ψ.* Clem.*str.*5.6 (p.351.4; M.9.61C); Jer.4:19 *κοιλίαν μὲν τὴν ἑαυτοῦ ψ. ὀνομάζων, κατὰ τοὺς τῆς τροπῆς νόμους. οὕτω γὰρ εὑρίσκω πολλαχοῦ τῆς γραφῆς, εἴτε ὡς ἀπόκρυφον καὶ ἄόρατον (τὸ γὰρ αὐτὸ καὶ ψ. καὶ γαστρὸς τὸ κρύπτεσθαι)* Gr.Naz.*or.*17.1(M.35.965A); Cant.6.7f. *εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψ. εὐαρέστους τῷ θεῷ γεγενημένας...παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους...ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν...τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψ.* Meth.*symp.*7.4(p.75.11; M.18.129C); Jo.2:14 *Ἰησοῦς...εἰσέρχεται εἰς τὴν Ἱεροσόλυμα καλουμένην ψ. ... τοῦ τ' ἐπὶ τὴν θεραπείαν τῆς ψ. ἀνάγοντος τὰ γεγραμμένα καὶ ἐπ' αὐτὴν αὐτὰ ἀλληγοροῦντος...μόνος δὲ εἰς τὴν Ἱεροσόλυμα ψ. οὐκ ἔρχεται, ἀλλ' οὐδὲ μετὰ ὀλίγων τινῶν* Or.*Jo.*10.28(18; p.201.23ff.; M.14.357B,C); **2.** Church as type of soul *εἰκόνα...εἶναι δύνασθαι τὴν ἁγίαν ἐκκλησίαν ἐδίδασκεν...τῆς ψ. καθ' ἑαυτὴν τῷ λόγῳ θεωρουμένης* Max. *myst.*5(M.91.672D); *κατὰ τὴν θεωρίαν εἰκαζομένη τῇ ψ. ἡ ἁγία...ἐκκλησία...καὶ πάντα συνάγουσα πρὸς τὸ τελούμενον ἐπὶ τοῦ θείου θυσιαστηρίου μυστήριον· ὅπερ διὰ τῶν κατὰ τὴν ἐκκλησίαν ἐπιτελουμένων ὁ δυνηθεὶς...σοφῶς μυηθῆναι, ἐκκλησίαν ὄντως θεοῦ, καὶ θείαν τὴν ἑαυτοῦ ψ. κατεστήσατο* *ib.*(681C,D); **3.** *ψ.* as term for spiritual sense of scripture, v. *γραφή*.

III. soul of Christ; **A.** outside Christol. controversies; **1.** in gen. *Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψ.* Just.*2apol.*10.1 (M.6.460B); *περὶ δὲ τοῦ Ἰησοῦ εἴποιμεν ἄν, ἐπεὶ συμφέρον ἦν τῷ τῶν ἀνθρώπων γένει παραδέξασθαι αὐτὸν ὡς υἱὸν θεοῦ, θεὸν ἐληλυθότα ἐν ἀνθρωπίνῃ ψ. καὶ σώματι* Or.*Cels.*3.29(p.226.27; M.11.957A); *εἰ...σῶμα θνητὸν καὶ ψ. ἀνθρωπίνην ἀναλαβὼν ὁ ἀθάνατος θεὸς λόγος δοκεῖ τῷ Κέλσῳ ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι, μανθανέτω ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος, οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σῶμα ἢ ἡ ψ.* *ib.*4.15 (p.285.15,18; 1048A); *ib.*6.47(p.119.5; 1372C); cf. *filius dei...suscepit non solum corpus humanum, ut quidam putant, sed et animam, nostrarum quidem animarum similem per naturam, proposito vero et virtute similem sibi et talem, qualis omnes voluntates...verbi ac sapientiae indeclinabiliter posset implere,* id.*princ.*4.4.4(31; p.353.11; M.11.405B); *illa anima, quae quasi ferrum in igne sic semper in verbo,...semper in deo, posita est, omne quod agit, quod sentit, quod intelligit, deus est, ib.*2.6.6(p.145.18; 214A); exeg. Ps.21:21 *μονογενῆ δὲ τὴν ἰδίαν ψ. εἶπεν, ὡς μόνην ἁμαρτίαν μὴ γνοῦσαν· ἀλλὰ καὶ ὅτι μόνη διὰ παντὸς εἶχε τοῦ θεοῦ λόγου τὴν ἕνωσιν* id.*Ps.*21:21(p.477); *θεὸς σαρκὶ διὰ μέσης ψ. ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι* Gr.Naz.*or.*2.23(M.35.432B); *πάντα ὑπὲρ πάντων γενόμενος...σῶμα, ψ., νοῦς* *ib.*30.21(M.36.132B); *σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψ. νοερᾷ διὰ τὴν ἐμὴν ψ. μίγνυται* *ib.*45.9 (633C); *ὁ ἀχώρητος, χωρεῖται, διὰ μέσης ψ. νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι* *ib.*(636A); Justn.*conf.*(p.74.27; M.86.997B) cit. s. *ὑπόστασις*; **2.** Origen's doctrine of pre-existence applied to soul of Christ *τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ ψ. ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ πληρώματι ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα, τῷ ἀπεστάλθαι ἀπὸ τοῦ πατρός, ἀνέλαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα* Or.*Jo.* 20.19(17; p.351.26; M.14.616A); *ib.*19.22(5; p.324.14; 568C); cf. *haec vero anima, quae in Jesu fuit, priusquam sciret malum, elegit bonum...oleo ergo laetitiae ungitur, cum verbo dei immaculata foederatione conjuncta est et per hoc sola omnium animarum peccati incapax fuit,* id.*princ.*4.4.4(31; p.354.10ff.; M.11.405C); *ὥσπερ ὁ υἱὸς καὶ πατὴρ ἓν εἰσιν, οὕτω καὶ ἦν εἴληφεν ὁ υἱὸς ψ. καὶ αὐτὸς ἓν εἰσιν* *ib.*4.4.4(31; p.354.16; 406A); rejected *εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίσαντες πρὸ τῆς Μαρίας...τινὰ ἐσχηκέναι ψ. ἀνθρωπίνην τὸν λόγον* Ath.*ep.Epict.*8(p.13.9; M.26.1064B); **3.** soul as mediating between his body and his Godhead, cf. *illa anima...ab initio creaturae et deinceps inseparabiliter ei...inhaerens utpote sapientiae et verbo dei...et tota totum recipiens...facta est cum ipso principaliter unus spiritus...hac ergo substantia animae inter deum carnemque mediante (non enim possibile erat dei naturam corpori sine mediatore misceri) nascitur, ut diximus, deus-homo...sed neque rursum anima illa utpote substantia rationabilis, contra naturam habuit capere deum,* Or.*princ.*2.6.3(p.142.4ff.; M.11.211C,D); **4.** discussion whether his soul, regarded as an independent creature, is subject to change *εἰ δ' ἐπὶ τῆς Ἰησοῦ ψ. λαμβάνει τις τὴν μεταβολήν, αὐτῆς εἰς σῶμα ἐλθούσης, πευσόμεθα, πῶς λέγει μεταβολήν. εἰ μὲν γὰρ τῆς οὐσίας, οὐ δίδοται οὐ μόνον ἐπ' ἐκείνης, ἀλλ' οὐδὲ περὶ ἄλλου λογικῆς ψ.· εἰ δ' ὅτι πάσχει τι ὑπὸ τοῦ σώματος ἀνακεκραμένη αὐτῷ καὶ ἀπὸ τοῦ τόπου, εἰς ὃν ἐλήλυθε, καὶ τί ἄτοπον ἀπαντᾷ τῷ λόγῳ, ἀπὸ πολλῆς φιλανθρωπίας καταβιβάζοντι σωτῆρα τῷ γένει τῶν ἀνθρώπων;* id.*Cels.*4.18(p.288.1; M.11.1049D); **5.** ascent of his soul *ὅρα εἰ μὴ μυστικώτερον καὶ οὐ τοπικῶς περὶ τῆς Ἰησοῦ ψ. ἀκούσει τό· Ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν· ἡ γὰρ νοητὴ ἀνάβασις ἐκείνης τῆς ψ. ὑπερπεπήδηκεν καὶ πάντας τοὺς οὐρανούς καί, ὡς ἔστιν εἰπεῖν, ἤδη ἐφθασεν πρὸς αὐτὸν τὸν θεόν* id.*Jo.*19.22(5; p.323.28ff.; M.14.568B); **6.** symbol of his soul: leaven in eucharist *ἡ γὰρ ζύμη ἀντὶ ψ. τῷ φυράματι γίνεται* ‡Jo.D.*azym.* proem.(M.95.388A); **7.** acc. Carpocrates *τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγενῆσθαι...τὴν δὲ ψ. αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγονυῖαν, διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγεννήτου θεοῦ*

περιφορᾷ...τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψ. ἐνόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι, καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις ἐπιτετελεκέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσει πάθη προσόντα τοῖς ἀνθρώποις. τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψ. δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων, ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια Iren.*haer.*1.25.1(M.7.680A,B).

B. denials of Christ's human soul outside Apollinarian controversy; **1.** Eusebius: *Marcell.*2.4(p.57.8; M.24.821A) cit. s. σάρξ; ἐνοικῶν δ' ἐν τῇ σαρκὶ ὁ λόγος...εἰ μὲν τοῦ πατρὸς ἐκτὸς ἦν, ζῶν καὶ ὑφεστὼς καὶ τὴν σάρκα κινῶν ψυχῆς δίκην id.*e.th.*1.20(p.87.26; M.24.877A); *ib.*(p.88.5; 877B); where he speaks of Christ's ψ. he only reproduces scriptural passages, e.g.*d.e.*3.2(p.105.27ff.; M.22.1181Dff.); *ib.*10.1(p.449.27ff.; 724Bff.); cf. θεὸς...ἅτε ψ. ἀψύχῳ σώματι, τῇ τῶν σωμάτων ἀλόγῳ φύσει τὸν αὐτοῦ λόγον ἐμβαλών *l.C.*12(p.231.30; M.20.1389C); **2.** Lucian of Antioch and Arians Λουκιανὸς γὰρ καὶ πάντες Λουκιανισταὶ ἀρνοῦνται τὸν υἱὸν τοῦ θεοῦ ψ. εἰληφέναι Epiph.*anc.*33(p.42.20; M.43.77A); discussion of views, *ib.*35,36(p.44.26ff.; 80Dff.); teaching opposed, Eust.*fr.*56(p.91; M.18.689D) cit. s. ὁμογενής; ἡ ψ. τὴν συγγενῆ ψ. [sc. of penitent thief] ὁδηγοῦσα *ib.*(p.91; 692A); **3.** Pseudo-Ignatius ἐάν τις...νομίζῃ τὸν κύριον, οὐχὶ θεὸν μονογενῆ... ἀλλ' ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζῃ, ὁ τοιοῦτος ὄφις ἐστίν ‡Ign.*Philad.*6; ‡Ign.*Phil.*5; cf. τινὲς...ἀσεβοῦσι, ψιλὸν ἄνθρωπον εἶναι φανταζόμενοι τὸν κύριον, ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζοντες *Const. App.*6.26.2.

C. in Apollinarian controversy; **1.** Apollinarius' denial of a human soul in Christ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ καὶ οὐκ ἀνθρωπίνης ψ. κατασκευῇ Apoll.*corp.et div.*(p.190.19; M.*PL.*8.875A); ἤρκει καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληρούσης τῆς θείας ἐνεργείας τὸν τῆς ψ. τόπον καὶ τοῦ ἀνθρωπίνου νοός id.*fr.*2(p.204.8)ap.Anast.S.*monoph.*(M.89.1181D); εἰπὼν γὰρ ὅτι ὁ λόγος σὰρξ ἐγένετο, οὐ προσέθηκε καὶ ψ. ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν τῷ ἅμα κατοικεῖν...οὐκοῦν οὐ ψ. ἀνθρωπίνης ἐπελάβετο ὁ λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σαλομῶντος ναός *ib.*(p.204.11ff.; 1184A); v. νοῦς; **2.** orthodox refutation; **a.** salvation of whole man requires a human soul in Saviour οὐδὲ γὰρ οἷόν τε ἦν, τοῦ κυρίου δι' ἡμᾶς ἀνθρώπου γενομένου, ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ, οὐδὲ σώματος μόνου, ἀλλὰ καὶ ψ. ἐν αὐτῷ τῷ λόγῳ σωτηρία γέγονεν Ath.*tom.*7(M.26.804B) but cf. infra f; ὅπου κεκράτητο ἡ ψ. ἡ ἀνθρωπίνη ἐν θανάτῳ, ἐκεῖ ἐπιδείκνυται ὁ Χριστὸς τὴν ἀνθρωπίνην ψ. ἰδίαν οὖσαν, ἵνα καὶ παρῇ ὡς ἄνθρωπος ὁ ἀκράτητος ἐν θανάτῳ, ὡς θεός· ἵνα...ὅπου ἐβασίλευσεν ὁ θάνατος ἐν μορφῇ ψ. ἀνθρωπίνης, παρὼν ὁ ἀθάνατος ἐπιδείξηται τὴν ἀθανασίαν ‡Ath.*Apoll.*1.17(M.28.1124C); πῶς ἡ κράτησις τοῦ θανάτου τελείαν ἐλάμβανε τὴν λύσιν, εἰ τὸ κατὰ φρόνησιν ἁμαρτῆσαν, τὴν ψ. Χριστὸς ἀναμάρτητον οὐ συνεστήσατο ἐν ἑαυτῷ; ἔτι οὖν βασιλεύει ὁ θάνατος τοῦ ἔσωθεν ἀνθρώπου· τίνος γὰρ ἄλλου καὶ ἐβασίλευσέ ποτε, οὐχὶ ψ. τῆς ἐν φρονήσει ἁμαρτησάσης...ὑπὲρ ἧς τὴν ἰδίαν ψ. τέθεικεν ὁ Χριστὸς λύτρον ἀντιδιδούς; *ib.*1.19(1125C,D); τῷ σώματι καὶ τῇ ψ. ἑαυτὸν ἐπιμερίσας, διὰ μὲν τῆς ψ. ἀνοίγει τῷ λῃστῇ τὸν παράδεισον Gr.Nyss.*Apoll.*17(M.45.1156A); ὁ μονογενὴς θεός, αὐτὸς ἀνίστησι τὸν ἀνακραθέντα ἄνθρωπον αὐτῷ, καὶ χωρίσας τοῦ σώματος τὴν ψ., καὶ ἑνώσας πάλιν ἀμφότερα, καὶ οὕτως ἡ κοινὴ γίνεται σωτηρία τῆς φύσεως *ib.*(1156C); **b.** full humanity of Christ requires a human soul ὁ γὰρ ἐκ ψ. νοερᾶς καὶ σώματος συνεστηκώς, ἄνθρωπος λέγεται· ᾧ δὲ μὴ συνεπινοεῖται τὰ δύο, πῶς ἡ τοῦ ἀνθρώπου κλῆσις ἐφαρμοσθήσεται; *ib.*2(M.45.1128B); ὁ ἀνθρωπίνην σάρκα, καὶ ταύτην ἔμψυχον, προσοικίζων τῷ λόγῳ, οὐδὲν ἕτερον, ἢ ὅλον συνάπτει τὸν ἄνθρωπον· οὐδὲν γὰρ ἄλλο παρὰ τὴν νοερὰν φύσιν τῆς ἀνθρωπίνης ψ. ἐστιν ἰδίωμα... ὁ τοίνυν λέγων ἄνθρωπον εἶναι τὸν προσειλημμένον, ἔμψυχον δὲ τοῦτον διδούς, οὐδὲν ἕτερον ἢ καὶ νοητὴν αὐτῷ προεμαρτύρησε δύναμιν, ὅπερ ἴδιον τῆς ἀνθρωπίνης ἐστὶ ψ. *ib.*7(1137B); **c.** proof from Christ's human emotions εἰ δὲ ἐπ' ἀληθείας εἴρηται, ἀλλοτρία δὲ καθόλου ἡ ψ. τοῦ κυρίου ἐγεγόνει τῆς ἰδίας νοήσεως, θεὸν τὸν λόγον ἔχουσα νοῦν, τετράφθαι τὸ ἄτρεπτον εἰς λύπην...καὶ ταραχήν, τὸ ἐννοεῖν, ἀσεβές ἐστι...ἀλλὰ δείκνυσι τὸν νοῦν ὁ κύριος εἰρηκώς· ἡ ψ. μου τετάρακται. εἰ δὴ ψ. ἰδίας νόησιν ὁ κύριος ἐπιδείκνυται, εἰς συμπάθειαν τῆς ἡμετέρας ψ., ἵνα οὕτω καὶ αὐτοῦ νοήσωμεν εἶναι τὸ πάθος, καὶ αὐτὸν ἀπαθῆ ὁμολογῶμεν. ὥσπερ γὰρ τῷ αἵματι τῆς σαρκὸς αὐτοῦ ἐλυτρώσατο ἡμᾶς, οὕτω καὶ τῇ νοήσει τῆς ψ. αὐτοῦ τὴν νίκην ὑπὲρ ἡμῶν ἐπιδείκνυται ‡Ath.*Apoll.*1.16(M.28.1121B,C); **d.** from death and descent into Hades ὁ κύριος...παραδοὺς τὸ πνεῦμα, τὸ ἔσωθεν τοῦ ἰδίου σώματος, τουτέστι τὴν ψ. ἐσήμανε· περὶ ἧς καὶ εἴρηκεν, ὅτι τίθημι ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν. ὥστε τὴν ἔκπνευσιν οὐκ ἄν τις εἴποι θεότητος μετάστασιν, ἀλλὰ ψ. ἀποχώρησιν. εἰ γὰρ κατὰ μετάστασιν θεότητος ὁ θάνατος γέγονε καὶ ἡ τοῦ σώματος νέκρωσις, ἴδιον ἄρα θάνατον ἀπέθανε, καὶ οὐ τὸν ἡμέτερον. καὶ πῶς εἰς ᾅδου κατῆλθεν ἀπαρακαλύπτῳ τῇ θεότητι; ποῦ οὖν ἡ ψ., ἣν ἐπηγγείλατο ὁ κύριος τιθέναι ὑπὲρ τῶν προβάτων...εἰ δὲ ψ. ἀποχώρησις γέγονε, διὰ τοῦτο εἴρηται, ὅτι τὸν ἡμέτερον ἀπεδέξατο θάνατον *ib.*1.18(1125B,C); **e.** refutation of Apollinarian idea that ψ. belongs to the 'outer man' τί οὖν περὶ τῆς ψ. ἐρεῖτε, ὅτι καὶ τὸ σῶμα καὶ ἡ ψ. ὁ ἔξωθέν ἐστιν ἄνθρωπος, ὡς ἂν εἴποι τις, τὸ αἷμα καὶ τὴν σάρκα; ἀλλ' ὥσπερ τὸ σῶμα καὶ τὸ αἷμα οὐ διαφεύγουσι τὴν ψηλάφησιν...δείξατε ἡμῖν καὶ τὴν ψ. μὴ διαφεύγουσαν ταῦτα...ἤ, εἰ μὴ δύνασθε δεῖξαι,...οὔτε ὁρᾶται ψ., οὔτε ἀποκτείνεται ὑπὸ ἀνθρώπου...οὐ μόνον ἐφ' ἡμῖν τούτων δεικνυμένων, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ θανάτῳ τοῦ Χριστοῦ ἐδείκνυτο· τὸ μέν τοι [sc. σῶμα], μέχρι τάφου φθάσαν· ἡ δέ [sc. ψ.], μέχρι ᾅδου διαβᾶσα *ib.*1.13(1116D–1117A); **f.** rejection of thesis that Christ had only an animal, but not an intellectual, soul τὴν νοερὰν τοῦ ἀνθρώπου φύσιν, ἥτις νοεῖται ψ.,... ἄφευκτον ταύτην τῆς ἁμαρτίας διοριζόμενοι· κἂν ὅτι μάλιστα καὶ ψ. σαρκικὴν γεγράφατε, πόθεν μαθόντες οὐ συνεπίσταμαι...πῶς εἰ σαρκικὴ ἡ ψ. καθ' ὑμᾶς, οὐ συνθνήσκει τῷ σώματι *ib.*2.8(1144C,D).

D. in Monothelite controversy; **1.** in gen. ὅρα...τὸ...πεπλανημένον τῶν αἱρετικῶν· πάντα τὰ συγγενῆ ὄντα τῶν ἀλόγων ἀνελλιπῶς ὁμολογοῦσιν ἐν Χριστῷ...τὰ δὲ τῆς νοερᾶς καὶ ἀθανάτου ψ. ἰδιώματα... ταῦτα ὡς πονηρὰ ὄντα ὁμολογεῖν ἐν Χριστῷ...οὐκ ἀνέχονται Anast.S.*serm.imag.*3(M.89.1168A); **2.** comparison with soul of Adam ἐπιδημήσας οὖν ὁ τοῦ θεοῦ λόγος ἐπὶ τὸ ἀνακαινίσαι τὸν Ἀδάμ, τοιαύτην ἑαυτῷ ψ. ἐδημιούργησεν, οἵαν ἀπαρχῆς ἐξ ἑαυτοῦ διὰ τοῦ ἐμφυσήματος τῷ Ἀδὰμ μετέδωκεν *ib.*(1169D); ἡ μὲν γὰρ τοῦ Ἀδὰμ ψ. ἐκ θεοῦ τὴν ὕπαρξιν διὰ τοῦ ἐμφυσήματος ἔσχεν· ἡ δὲ τοῦ Ἐμμανουὴλ ψ. ἔνθεον, καὶ σύνθεον, καὶ ὁμόθεον τὴν οὐσίωσιν ἔσχεν *ib.*(1172A); **3.** proof of orth. position from descent into Hades τίς τὰς ἀπ' αἰῶνος δεσμίους ψ. τῶν κεκοιμημένων ἀνθρώπων ἐπεσκέψατο; πρόδηλον, ὅτι ἡ...Χριστοῦ τοῦ θεοῦ ψ. τὰς ὁμοουσίους αὐτῆς ψ. τὰς λογικὰς ἐπεσκέψατο *ib.*(1172D); αὕτη [sc. the soul of Christ] βοήσασα...ἐξέλθετε, ὡς τόπον ἀναπληροῦσα τελείου ἀνθρώπου τοῦ ἐκ ψ. συνισταμένου καὶ σώματος...ἡ νοερὰ τὰς νοερὰς ἐπιβλέψασα, ψ. τὰς ψ. ... πῶς γὰρ ἂν καὶ ἐδέξαντο τὸ τῆς ἁγίας ψ. κήρυγμα, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῶν λογικῆς θελήσεως; *ib.*(1173A); *ib.*(1173D); **4.** from Christ's obedience, *ib.*(1173C) cit. s. ἀθελής.

ψυχικός, A. *of the soul, spiritual*; **1.** in gen. ἐν νόσῳ ψ. ὑπάρχοντα Just.*dial.*30.1(M.6.537C); Clem.*str.*6.12(p.481.30; M.9.320C); *ib.*7.16(p.67.3; 532A); Or.*fr.25 in Jer.*(p.210.18; M.13.592C); τῶν ψ. ... κακῶν *ib.*36(p.217.4; 600D); ὑπὸ ψ. μοιχείας καὶ θάνατος γίνεται *Hom.Clem.*3.28; Chrys.*hom.27.2 in Mt.*(7.327D); ἵνα...ἡμᾶς ἐλευθερώσῃ ψ. ἀρρωστημάτων Cyr.*Lc.*4:38(M.72.552C); *ib.*6:41(601D); τὰς ψ. ... ἕξεις Dion.Ar.*e.h.*2.1(M.3.392A); *ib.*3.3.5(432A); opp. σωματικός, Clem.*str.*7.7(p.28.26; M.9.453D); φυσικός, id.*paed.*3.2(p.243.11; M.8.573A); Didym.*Trin.*2.27(M.39.765A); κοσμικός, Ath.*exp.Ps.*118:170(M.27.508B); **2.** ref. senses of soul τοῖς ψ. ... ὄμμασι Or.*fr.94 in Jo.*(p.557.30); ὀφθαλμοὶ...οἱ δὲ ψ. εἰς μῆκος ἀποτείνονται Adam.*dial.*2.11(p.78.22; M.11.1777A); Sophr.H.*ep.syn.*(M.87.3197A); **3.** ὁ ψ. *the spiritual man* ἔλαιον ὁ ἐπιχεόμενος λόγος τοῦ ψ., τοῦ τὴν ἀγαθὴν πρᾶξιν ἐργαζομένου Or.*comm.ser.in Mt.*63(p.147.16; M.17.304C); **4.** ref. spiritual life ἐν ταῖς διδασκαλίαις αὐτῶν εὑρηκὼς...πολλὴν ψ. λυσιτέλειαν Thdr.Stud.*test.*(M.99.1816C); **5.** ref. spiritual sense of scripture, Or.*princ.*4.2.5(p.314.13; M.11.368A); **6.** ref. Christ's resurrection body ψ. ὃν γέγονε πνευματικόν, καὶ ἐκ γῆς γενόμενον, τὰς οὐρανίους διέβη πύλας Ath.*ep.Epict.*9(p.15.10; M.26.1065B).

B. *natural, carnal, material-minded*, opp. spiritual, **1.** in gen. οἱ ψ. opp. τοῖς πνεύματι θεοῦ φρουρουμένοις, Tat.*orat.*15(p.16.31; M.6.840A); acc. Thales, of demons, opp. God as νοῦς, Athenag.*leg.*23.2(M.6.941B); Clem.*paed.*1.6(p.108.24; M.8.288A) cit. s. πνευματικός; cf.id.*str.*2.3(p.118.17; M.8.941B); Or.*Jo.*13.61(59; p.293.25ff.; M.14.516D); combined with ἐπίγειος and δαιμονιώδης, id.*fr.46 in Jo.*(p.521.19); id.*hom.12.1 in Jer.*(p.85.22; M.13.377A); ἐκκλησία...ἀναγεννῶσα τοὺς ψ. εἰς πνευματικούς Meth.*symp.*8.6(p.88.11; M.18.148B); Ath.*ep.Serap.*1.32(M.26.605B); ψ. πάθη id.*inc.*50.4(M.25.185C); in discussion of 'Second Adam' Christology, ‡Ath.*Apoll.*1.8(M.26.1105B) cit. s. πνευματικός; τὸ δὲ τοὺς δοκοῦντας εἶναι πιστούς, τούτους εὑρίσκεσθαι ψ., τοῦτό ἐστιν τὸ θρήνων ἄξιον Chrys.*hom.63.3 in Jo.*(8.379D); ἐγκόσμιον...καὶ δαιμονιώδη καὶ ψ. σοφίαν Cyr.*Ps.*9:23(M.69.780A); ψ. πάθη Diad.*perf.*81(p.104.24); γνώμη [sc. self-will] ἐν τοῖς ψ. κρατεῖ Thdt.*qu.53 in 4 Reg.*(1.547); **2.** of the body ἡ τοῦ ψ. σώματος ἰδιότης, ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἀλλοιοῦσθαι Gr.Nyss.*anim.et res.*(M.46.156B); **3.** of sin ψ. τι ἁμάρτημα CNic.(325)*can.*2; **4.** ref. state of the unbaptized ἅπερ οὐκ ἐφυλαξάμεθα ψ. ὑπάρχοντες, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες ἐν τῇ δυνάμει τηρήσωμεν τοῦ θεοῦ Diad.*perf.*78(p.100.3); **5.** ref. scriptural passages alluding to natural experiences of incarnate Logos, ‡Ath.

